# ARISTOPHANIS
# FABVLAE

RECOGNOVIT
BREVIQVE ADNOTATIONE CRITICA INSTRVXIT

N. G. WILSON

COLLEGII LINCOLNIENSIS APVD OXONIENSES SOCIVS

## TOMVS I

ACHARNENSES EQVITES NVBES
VESPAE PAX AVES

OXONII

E TYPOGRAPHEO CLARENDONIANO
MMVII

OXFORD
UNIVERSITY PRESS

Great Clarendon Street, Oxford OX2 6DP

Oxford University Press is a department of the University of Oxford.
It furthers the University's objective of excellence in research, scholarship,
and education by publishing worldwide in

Oxford New York

Auckland Cape Town Dar es Salaam Hong Kong Karachi
Kuala Lumpur Madrid Melbourne Mexico City Nairobi
New Delhi Shanghai Taipei Toronto

With offices in

Argentina Austria Brazil Chile Czech Republic France Greece
Guatemala Hungary Italy Japan Poland Portugal Singapore
South Korea Switzerland Thailand Turkey Ukraine Vietnam

Oxford is a registered trade mark of Oxford University Press
in the UK and in certain other countries

Published in the United States
by Oxford University Press Inc., New York

© Oxford University Press 2007

The moral rights of the author have been asserted
Database right Oxford University Press (maker)

First published 2007

All rights reserved. No part of this publication may be reproduced,
stored in a retrieval system, or transmitted, in any form or by any means,
without the prior permission in writing of Oxford University Press,
or as expressly permitted by law, or under terms agreed with the appropriate
reprographics rights organizations. Enquiries concerning reproduction
outside the scope of the above should be sent to the Rights Department,
Oxford University Press, at the address above

You must not circulate this book in any other binding or cover
and you must impose this same condition on any acquirer

British Library Cataloguing in Publication Data
Data available

Library of Congress Cataloging in Publication Data
Data available

Typeset by RefineCatch Limited, Bungay, Suffolk
Printed in Great Britain
on acid-free paper by
Biddles Ltd., King's Lynn, Norfolk

ISBN 978–0–19–872180–2

1 3 5 7 9 10 8 6 4 2

# PREFACE

This edition does not aspire to be the definitive text of Aristophanes. There are in fact very few classical authors of whom it can be said that a definitive edition exists or may be expected. But I am confident that what is now offered to Hellenists is a useful step forward.

For a somewhat more detailed account of the manuscript tradition than I give here the reader is referred to the introduction of the volume which is being issued in conjunction with this edition, *Aristophanea* (Oxford, 2007), 1–14; I summarize here what seems to me to be the essential information.

There are quite a large number of fragments surviving from papyrus and parchment copies made in the Hellenistic and Roman imperial periods. Although a few of them have produced an occasional good reading, none of them is of truly outstanding importance for the constitution of the text. Of the medieval manuscripts only R (Ravenna, Biblioteca Classense 429), from the middle of the tenth century, preserves all eleven plays. Despite many slips by the copyist it offers a text of high quality. Next to it in importance is V (Venice, Biblioteca Marciana gr. 474), from the end of the eleventh century. Though its text is excellent it lacks *Acharnians*, *Lysistrata*, *Thesmophoriazusae*, and *Ecclesiazusae*. The only other surviving witnesses of any note from the period that was brought to an end by the sack of Constantinople by the Crusaders in 1204 are K (Milan, Biblioteca Ambrosiana C 222 inf.), written *c.*1180–86, which includes only *Plutus*, *Clouds*, and *Frogs* (the so-called triad), and Md1 (Madrid, Biblioteca Nacional 4683), probably of much the same date, which offers an incomplete text of the same three plays and part of *Knights*, the latter not written by the original scribe. Neither is as important as the relatively early date might suggest. From the fourteenth century there are a few manuscripts that contain at least one play from outside the triad and are usually cited by editors: *Θ* (Florence, Biblioteca Medicea Laurenziana, Conventi Soppressi 140,

triad and *Knights*), U (Vaticanus Urbinas gr. 141, triad and *Birds*), M (Biblioteca Ambrosiana L 39 sup., triad and *Knights*), E (Modena, Biblioteca Estense, 127 = α.U.5.10, triad, *Knights*, *Birds* and *Acharnians*), Γ (Florence, Laurentianus 31.15 + Leiden, Vossianus gr. F 52, *Knights*, *Birds*, *Acharnians*, *Ecclesiazusae*, *Lysistrata*, and *Peace*), and A (Paris, Bibliothèque nationale de France, grec 2712, triad, *Knights*, *Birds*, *Acharnians*, and *Ecclesiazusae* 1–444). However, if these manuscripts had not come down to us, the editor's task would not have been significantly more difficult. The medieval editor Demetrius Triclinius, active *c.*1320, produced his own recension of eight plays, in which he was able to effect numerous minor corrections of metrical faults in the text. His work is best represented in the fifteenth-century copy L (Oxford, Bodleian Library, Holkham gr. 88). Other manuscripts need to be cited occasionally for interesting readings. Most notable is B (Paris, grec 2715), now known to have been written by an intelligent Greek refugee, Andronicus Callistus, who lived in Italy from 1441. Its good readings are quite likely to be his own conjectures.

The principles on which this edition is based can be indicated briefly as follows.

(i) As far as the papyri are concerned I have accepted the reports of their readings from the original publications and have not made my own fresh collation.

(ii) With regard to the medieval and Renaissance manuscripts, I have usually accepted published reports of their readings as valid; but it did seem worth while to verify a considerable number of variants that aroused suspicion or curiosity. In a number of cases I have been able to give a more accurate statement; even the Ravenna manuscript, which can be easily consulted in the facsimile and is not written in a difficult hand, had not been correctly reported in all passages. One should also note that there is no modern edition of the *Plutus* based on a full examination of the manuscript tradition, which is richer for that play than for any other. It is therefore possible that further investigations into the manuscripts would reveal that late Byzantine or Italian humanists anticipated some of the simpler conjectures made by later scholars. I

decided that it was worth while collating the text of this play in K (Biblioteca Ambrosiana C 222 inf.) but I did not feel it appropriate to invest the large amount of time needed for a full inquiry into other, much more recent, witnesses. The likelihood of obtaining significant results was small and the inevitable further delay in publishing this edition seemed a high price to pay. In the matter of sigla there is one point I should draw attention to: I use P to refer to papyri, and so some of the lesser manuscripts in the Paris collection are indicated by Par.

(iii) I have been sparing in my citations of the secondary tradition. Apart from the *Suda* lexicon, which contains a very large number of quotations from the plays and demonstrates by its variant readings that it drew on a copy extremely similar to the Ravenna manuscript, there are not many ancient or medieval citations that help the editor. Many testimonia to single words or phrases are of dubious value, because they merely confirm that the words in question had become tags for writers of Atticist *Kunstprosa* in late antiquity or the Byzantine period, and one cannot feel much confidence that these writers were conscious in every case of the identity of the source they were drawing on.

(iv) Questions of orthography cause editors difficulty. When the evidence of inscriptions seems particularly compelling I have accepted it. I am not sure how much weight to give to rules stated by Atticist lexicographers such as Moeris. It may be that attempts to formulate rules for every word are doomed to failure. In particular I note Sir Kenneth Dover's remark on *Clouds* 92 'Possibly Attic was not consistent.' It is notorious that English orthography was far from fixed in early times.

(v) A kindred question concerns usage. A prima facie example of inconsistency or at least of fluidity of usage, is seen at *Thesmophoriazusae* 570. There Aristophanes appears to use the strong aorist of *χέζω*, whereas at *Ecclesiazusae* 808 we find the weak form. I think it unwise to assume that inconsistency or gradual and perhaps conscious change of usage cannot have occurred. This does of course conflict with the well-known and valuable maxim *Ὅμηρον ἐξ Ὁμήρου σαφηνίζειν.*

(vi) The apparatus criticus deliberately excludes mention of the way in which the manuscripts attribute lines to speakers. Commentators are still far too inclined to give weight to the evidence of the manuscripts in these matters. *Ratio et res ipsa* must be the basis for decisions.

(vii) The apparatus records a fair number of conjectures because I believe that there are many places where the text is not quite as certain as is generally assumed. Since no one has taken the trouble to compile a repertory of conjectures on the text of this author, it is almost inevitable that some good ideas have escaped my notice, and that some which I do record were made earlier than is stated in this edition. As in the Oxford Classical Text of Sophocles the name of Blaydes appears surprisingly often. Although I was brought up to despise him, in recent years I have been obliged to recant; there is no doubt in my mind that a modest percentage of his suggestions are correct and many others deserve consideration. There is one other respect in which my experience of editing the text of tragedy has been repeated. When Sir Hugh Lloyd-Jones and I set out to edit Sophocles our intention was to offer a better choice of readings in difficult passages and we did not expect to make many fresh conjectures. That was my original plan for Aristophanes; but the reader will find a number of my own proposals, some in the text itself. I have tried to strike a balance between the conservatism that attributes inexcusably careless writing to great authors and the opposite extreme of believing that texts need surgery every few lines. Critics who adopt a conservative approach do not allow for the deterioration of texts that was inevitable in the period of almost two thousand years when all copies had to be made by hand; such critics underestimate the difficulty of producing truly accurate copies and consequently run the risk of imputing to the leading writers of antiquity a mediocrity of intellectual and stylistic standards which cannot be reconciled with their status as classics. But I recognise that when so many textual matters have to be discussed it is impossible to achieve consensus on all points.

# PREFACE

It is a pleasure to acknowledge extremely valuable help of various kinds that I have received from Professor Colin Austin, Dr Leofranc Holford-Strevens, Sir Hugh Lloyd-Jones, Dr Christos Simelidis, and Professor Alan Sommerstein.

N.G.W.

*Oxford*
*December 2005*

*AXAPNHC*

# PAPYRI

| | |
|---|---|
| P. Berol. 13231 + 21201, saec. V vel VI (continet frustula vv. 593–975) | (P19) |
| P. Berol. 21200, saec. VI (continet vv. 76–8) | (P71) |
| P. Michigan inv. 5607a, saec. IV (continet vv. 446–55, 474–94) | (P59) |
| P. Oxy. 4510, saec. II (continet frustula vv. 55–825) | (P73) |

# CODICES

| | |
|---|---|
| R | Ravennas 429 |
| A | Parisinus gr. 2712 |
| *Γ* | Laurentianus 31.15 |
| E | Estensis gr. 127 (α. U. 5. 10) |
| *Φ* | consensus codicum A*Γ*E |
| L | Oxoniensis Holkhamensis gr. 88 |

*Rarius citantur*

| | |
|---|---|
| B | Parisinus gr. 2715 |
| H | Hauniensis 1980 |
| Vp2 | Vaticanus Palatinus gr. 67 |
| p | consensus codicum H et Vp2 |
| Vp3 | Vaticanus Palatinus gr. 128 |
| C | Parisinus gr. 2717 |
| c | consensus codicum Vp3 et C |
| Vb1 | Vaticanus Barberinianus gr. 45, ab Ioanne Scutariota exaratus |
| Vv17 | Vaticanus gr. 2181 |
| *Δ* | Laurentianus 31.16 |

# ΥΠΟΘΕCΕΙC

## I

Ἐκκληcία ὑφέcτηκεν Ἀθήνηcιν ἐν τῷ φανερῷ, καθ' ἣν πολεμοποιοῦντας τοὺς ῥήτορας καὶ προφανῶς τὸν δῆμον ἐξαπατῶντας Δικαιόπολίς τις τῶν αὐτουργῶν ἐξελέγχων παρειcάγεται. τούτου δὲ διά τινος, Ἀμφιθέου καλουμένου, cπειcαμένου κατ' ἰδίαν τοῖς Λάκωcιν, Ἀχαρνικοὶ γέροντες πεπυcμένοι τὸ πρᾶγμα προcέρχονται διώκοντες ἐν χοροῦ cχήματι· καὶ μετὰ ταῦτα θύοντα τὸν Δικαιόπολιν ὁρῶντες, ὡς ἐcπειcμένον τοῖς πολεμιωτάτοις καταλεύcειν ὁρμῶcιν· ὁ δὲ ὑποcχόμενος ὑπὲρ ἐπιξήνου τὴν κεφαλὴν ἔχων ἀπολογήcαcθαι, ἐφ' ᾧτε, ἂν μὴ πείcῃ τὰ δίκαια λέγων, τὸν τράχηλον ἀποκοπήcεcθαι, ἐλθὼν ὡς Εὐριπίδην αἰτεῖ πτωχικὴν cτολήν. καὶ cτολιcθεὶς τοῖς Τηλέφου ῥακώμαcι παρῳδεῖ τὸν ἐκείνου λόγον, οὐκ ἀχαρίτως καθαπτόμενος Περικλέους περὶ τοῦ Μεγαρικοῦ ψηφίcματος. παροξυνθέντων δέ τινων ἐξ αὐτῶν ἐπὶ τῷ δοκεῖν cυνηγορεῖν τοῖς πολεμίοις, εἶτα ἐπιφερομένων, ἐνιcταμένων δὲ ἑτέρων ὡς τὰ δίκαια αὐτοῦ εἰρηκότος, ἐπιφανεὶς Λάμαχος θορυβεῖν πειρᾶται. εἶτα γενομένου διελκυcμοῦ κατελεγχθεὶς ὁ χορὸς ἀπολύει τὸν Δικαιόπολιν καὶ πρὸς τοὺς θεατὰς διαλέγεται περὶ τῆς τοῦ ποιητοῦ ἀρετῆς καὶ ἄλλων τινῶν. τοῦ δὲ Δικαιοπόλιδος ἄγοντος καθ' ἑαυτὸν εἰρήνην τὸ μὲν πρῶτον Μεγαρικός τις παιδία ἑαυτοῦ διεcκευαcμένα εἰς χοιρίδια φέρων ἐν cάκκῳ

I. 1 ὑφέcτηκεν RE$^{pc}$cL: ἐφ- AΓE$^{ac}$ 3 ἐξαπατῶντας Brunck: ἐξάπτοντας codd. 8 πολεμιωτάτοις Φ: -ικωτάτοις cett. καταλεύcειν EΓ: κατακέλευcιν cett. 10 ἀπολογήcαcθαι RΦc: -ήcεcθαι L 13 ἀχαρίτως Φc: -ίcτως RL 14 περὶ REP$^{pc}$Γ$^{pc}$: om. cett. 18 κατελεγχθεὶς Meineke: κατενεχθεὶς codd. 19 θεατὰς Elmsley: δικαcτὰς codd. 22 διεcκευαcμένα R: παρ- cett.

πράϲιμα παραγίνεται· μετὰ δὲ τοῦτον ἐκ Βοιωτῶν ἕτεροϲ ἐγχέλειϲ τε καὶ παντοδαπῶν ὀρνίθων γόμον ἀνατιθέμενοϲ εἰϲ τὴν ἀγοράν. οἷϲ ἐπιφανέντων τινῶν ϲυκοφαντῶν ϲυλλαβόμενόϲ τινα ἐξ αὐτῶν ὁ Δικαιόπολιϲ καὶ βαλὼν εἰϲ ϲάκκον, τοῦτον τῷ Βοιωτῷ ἀντίφορτον ἐξάγειν ἐκ τῶν Ἀθηνῶν παραδίδωϲι, καὶ προϲαγόντων αὐτῷ πλειόνων καὶ δεομένων μεταδοῦναι τῶν ϲπονδῶν, καθυπερηφανεῖ. παροικοῦντοϲ δὲ αὐτῷ Λαμάχου, καὶ ἐνεϲτηκυίαϲ τῆϲ τῶν Χοῶν ἑορτῆϲ, τοῦτον μὲν ἄγγελοϲ παρὰ τῶν ϲτρατηγῶν ἥκων κελεύει ἐξελθόντα μετὰ τῶν ὅπλων τὰϲ εἰϲβολὰϲ τηρεῖν· τὸν δὲ Δικαιόπολιν παρὰ τοῦ Διονύϲου τοῦ ἱερέωϲ τιϲ καλῶν ἐπὶ δεῖπνον ἔρχεται. καὶ μετ' ὀλίγον ὁ μὲν τραυματίαϲ καὶ κακῶϲ ἀπαλλάττων ἐπανήκει, ὁ δὲ Δικαιόπολιϲ δεδειπνηκὼϲ καὶ μεθ' ἑταίραϲ ἀναλύων. τὸ δὲ δρᾶμα τῶν εὖ ϲφόδρα πεποιημένων, καὶ ἐκ παντὸϲ τρόπου τὴν εἰρήνην προκαλούμενον. ἐδιδάχθη ἐπὶ Εὐθύνου ἄρχοντοϲ ἐν Ληναίοιϲ διὰ Καλλιϲτράτου· καὶ πρῶτοϲ ἦν· δεύτεροϲ Κρατῖνοϲ Χειμαζομένοιϲ. οὐ ϲῴζονται. τρίτοϲ Εὔπολιϲ Νουμηνίαιϲ.

## II

## ΑΡΙϹΤΟΦΑΝΟΥϹ ΓΡΑΜΜΑΤΙΚΟΥ

Ἐκκληϲίαϲ οὔϲηϲ παραγίνονταί τινεϲ
πρέϲβειϲ παρὰ Περϲῶν καὶ παρὰ Ϲιτάλκουϲ πάλιν,
οἱ μὲν ϲτρατιὰν ἄγοντεϲ, οἱ δὲ χρυϲίον·
παρὰ τῶν Λακεδαιμονίων τε μετὰ τούτουϲ τινὲϲ
ϲπονδὰϲ φέροντεϲ, οὓϲ Ἀχαρνεῖϲ οὐδαμῶϲ
εἴαϲαν, ἀλλ' ἔβαλλον. ὧν καθάπτεται

23 τοῦτον RE: τούτων ΑΓ: τοῦτο cL 24 γόμον Blaydes: γόνον codd. 26 τινα E: τιναϲ cett. 27 Ἀθηνῶν R: Ἀθηναίων cett. 28 προϲαγόντων RΓ$^{ac}$E$^{ac}$cL: προϲαποϲτελλόντων ΑΓ$^{pc}$E$^{pc}$ 34–5 ἐπανήκει post ἀναλύων Φ 37 προκαλούμενον RΦ: -ουμένων Kassel: ϲπουδαζόντων cett. Εὐθύνου cL: Εὐθυμένουϲ cett. 39 οὐ ϲῴζονται post Νουμηνίαιϲ transp. Elmsley

II. 6 ἔβαλλον Wagner: ἐξέβαλον codd.

*ϲκληρῶϲ ὁ ποιητήϲ, αὐτὸ τὸ ψήφιϲμά τε*
*Μεγαρικὸν ἱκανῶϲ φηϲι καὶ τὸν Περικλέα*
*οὐ τὸν Λάκωνα τῶνδε πάντων αἴτιον,*
*ϲπονδὰϲ λύϲιν τε τῶν ἐφεϲτώτων κακῶν.*

7–10 *αὐτὸ ... κακῶν* om. R 8 post *Μεγαρικὸν* add. *ὡϲ Γ* 9 *οὐ τὸν Λάκωνα* Nauck : *οὐκ τῶν Λακώνων* codd. *τῶνδε* Musurus: *τόνδε* codd.

## *ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟϹ ΠΡΟϹΩΠΑ*

*ΔΙΚΑΙΟΠΟΛΙϹ*
*ΚΗΡΥΞ*
*ΑΜΦΙΘΕΟϹ*
*ΠΡΕϹΒΕΥΤΗϹ*
*ΨΕΥΔΑΡΤΑΒΑϹ*
*ΘΕΩΡΟϹ*
*ΧΟΡΟϹ ΑΧΑΡΝΕΩΝ*
*ΘΥΓΑΤΗΡ ΔΙΚΑΙΟΠΟΛΙΔΟϹ*
*ΘΕΡΑΠΩΝ ΕΥΡΙΠΙΔΟΥ*
*ΕΥΡΙΠΙΔΗϹ*
*ΛΑΜΑΧΟϹ*

*ΜΕΓΑΡΕΥϹ*
*ΚΟΡΑ ΘΥΓΑΤΕΡΕ ΤΟΥ ΜΕΓΑΡΕΩϹ*
*ϹΥΚΟΦΑΝΤΗϹ*
*ΘΗΒΑΙΟϹ*
*ΝΙΚΑΡΧΟϹ*
*ΘΕΡΑΠΩΝ ΛΑΜΑΧΟΥ*
*ΔΕΡΚΕΤΗϹ*
*ΠΑΡΑΝΥΜΦΟϹ*
(vel eius *ΟΙΚΕΤΗϹ*)
*ΑΓΓΕΛΟΙ*

# *ΑΧΑΡΝΗϹ*

## *ΔΙΚΑΙΟΠΟΛΙϹ*

*ὅϲα δὴ δέδηγμαι τὴν ἐμαυτοῦ καρδίαν,*
*ἥϲθην δὲ βαιά, πάνυ γε βαιά, τέτταρα·*
*ἃ δ' ὠδυνήθην, ψαμμακοϲιογάργαρα.*
*φέρ' ἴδω, τί δ' ἥϲθην ἄξιον χαιρηδόνοϲ;*
*ἐγᾦδ' ἐφ' ᾧ γε τὸ κέαρ ηὐφράνθην ἰδών·*
*τοῖϲ πέντε ταλάντοιϲ οἷϲ Κλέων ἐξήμεϲεν.*
*ταῦθ' ὡϲ ἐγανώθην, καὶ φιλῶ τοὺϲ ἱππέαϲ*
*διὰ τοῦτο τοὔργον· ἄξιον γὰρ Ἑλλάδι.*
*ἀλλ' ὠδυνήθην ἕτερον αὖ τραγῳδικόν,*
*ὅτε δὴ 'κεχήνη προϲδοκῶν τὸν Αἰϲχύλον,*
*ὁ δ' ἀνεῖπεν, "εἴϲαγ', ὦ Θέογνι, τὸν χορόν".*
*πῶϲ τοῦτ' ἔϲειϲέ μου δοκεῖϲ τὴν καρδίαν;*
*ἀλλ' ἕτερον ἥϲθην, ἡνίκ' ἐπὶ Μόϲχῳ ποτὲ*
*Δεξίθεοϲ εἰϲῆλθ' ᾀϲόμενοϲ Βοιώτιον.*
*τῆτεϲ δ' ἀπέθανον καὶ διεϲτράφην ἰδών,*
*ὅτε δὴ παρέκυψε Χαῖριϲ ἐπὶ τὸν ὄρθιον.*
*ἀλλ' οὐδεπώποτ' ἐξ ὅτου 'γὼ ῥύπτομαι*
*οὕτωϲ ἐδήχθην ὑπὸ κονίαϲ τὰϲ ὀφρῦϲ*
*ὡϲ νῦν, ὁπότ' οὔϲηϲ κυρίαϲ ἐκκληϲίαϲ*
*ἑωθινῆϲ ἔρημοϲ ἡ Πνὺξ αὑτηί,*
*οἱ δ' ἐν ἀγορᾷ λαλοῦϲι κἄνω καὶ κάτω*
*τὸ ϲχοινίον φεύγουϲι τὸ μεμιλτωμένον.*
*οὐδ' οἱ πρυτάνειϲ ἥκουϲιν, ἀλλ' ἀωρίαν*
*ῥέγκουϲιν, εἶτα δ' ὠϲτιοῦνται πῶϲ δοκεῖϲ*

2 *γε* Elmsley: *δὲ* codd. 3 *ψαμμακοϲιογάργαρα* A, Macrobius 5.20.13, Hsch. *ψ* 59, Su. *ψ* 22, Greg. Cor. ad Hermog. 1345, Eust. 986.52, Isaac Tzetzes, *de metris Pindaricis* p. 27.7 Drachmann: *ψαμμο-* cett. 5 sunt qui post *ἐγᾦδ'* interpungant *ηὐφράνθην* anon. *de comoedia* 28: *εὐ-* codd. 18 post *κονίαϲ* add. *γε* L 23 *ἀωρίαν*] *-ίᾳ* Su. *α* 2854 24 *ῥέγκουϲιν* Robertson: *ἥκοντεϲ* codd.: *ἥξουϲιν* Haupt: *εὕδουϲιν* R. J. T. Wagner (cf. *Lys.* 15) *δ' ὠϲτιοῦνται*] *διωϲτιοῦνται* Dobree

ἥκοντεϲ ἀλλήλοιϲι περὶ πρώτου ξύλου,
ἀθρόοι καταρρέοντεϲ· εἰρήνη δ' ὅπωϲ
ἔϲται προτιμῶϲ' οὐδέν· ὦ πόλιϲ πόλιϲ.
ἐγὼ δ' ἀεὶ πρώτιϲτοϲ εἰϲ ἐκκληϲίαν
νοϲτῶν κάθημαι· κᾆτ', ἐπειδὰν ὦ μόνοϲ,
ϲτένω, κέχηνα, ϲκορδινῶμαι, πέρδομαι,
ἀπορῶ, γράφω, παρατίλλομαι, λογίζομαι,
ἀποβλέπων εἰϲ τὸν ἀγρὸν εἰρήνηϲ ἐρῶν,
ϲτυγῶν μὲν ἄϲτυ τὸν δ' ἐμὸν δῆμον ποθῶν,
ὃϲ οὐδεπώποτ' εἶπεν "ἄνθρακαϲ πρίω",
οὐκ "ὄξοϲ", οὐκ "ἔλαιον", οὐδ' ᾔδει "πρίω",
ἀλλ' αὐτὸϲ ἔφερε πάντα χὠ πρίων ἀπῆν.
νῦν οὖν ἀτεχνῶϲ ἥκω παρεϲκευαϲμένοϲ
βοᾶν, ὑποκρούειν, λοιδορεῖν τοὺϲ ῥήτοραϲ,
ἐάν τιϲ ἄλλο πλὴν περὶ εἰρήνηϲ λέγῃ.
ἀλλ' οἱ πρυτάνειϲ γὰρ οὑτοιὶ μεϲημβρινοί.
οὐκ ἠγόρευον; τοῦτ' ἐκεῖν' οὑγὼ 'λεγον·
εἰϲ τὴν προεδρίαν πᾶϲ ἀνὴρ ὠϲτίζεται.

ΚΗΡΥΞ

πάριτ' εἰϲ τὸ πρόϲθεν,
πάριθ', ὡϲ ἂν ἐντὸϲ ἦτε τοῦ καθάρματοϲ.

ΑΜΦΙΘΕΟϹ

ἤδη τιϲ εἶπε;

Κη. τίϲ ἀγορεύειν βούλεται;
Αμ. ἐγώ.
Κη. τίϲ ὤν;
Αμ. Ἀμφίθεοϲ.
Κη. οὐκ ἄνθρωποϲ;
Αμ. οὔ,

25 ἥκοντεϲ Holford-Strevens: ἐλθόντεϲ codd. περὶ] περὶ τοῦ Su. ω 247, quo recepto ἀλλήλοιϲ Meineke 31 λογίζομαι] λυγίζομαι Bergk 36 Πρίων scribere maluit Lotz 39 πλὴν] πρὶν ΑΓ 46 οὔ] οὐκ B, Biset, sed cf. 421

ἀλλ' ἀθάνατοϲ. ὁ γὰρ Ἀμφίθεοϲ Δήμητροϲ ἦν
καὶ Τριπτολέμου· τούτου δὲ Κελεὸϲ γίγνεται·
γαμεῖ δὲ Κελεὸϲ Φαιναρέτην τήθην ἐμήν,
ἐξ ἧϲ Λυκῖνοϲ ἐγένετ'· ἐκ τούτου δ' ἐγὼ
ἀθάνατόϲ εἰμ'· ἐμοὶ δ' ἐπέτρεψαν οἱ θεοὶ
ϲπονδὰϲ ποιῆϲαι πρὸϲ Λακεδαιμονίουϲ μόνῳ.
ἀλλ' ἀθάνατοϲ ὤν, ἄνδρεϲ, ἐφόδι' οὐκ ἔχω·
οὐ γὰρ διδόαϲιν οἱ πρυτάνειϲ.

Κη. οἱ τοξόται.

Αμ. ὦ Τριπτόλεμε καὶ Κελεέ, περιόψεϲθέ με;

Δι. ὦνδρεϲ πρυτάνειϲ, ἀδικεῖτε τὴν ἐκκληϲίαν
τὸν ἄνδρ' ἀπάγοντεϲ, ὅϲτιϲ ἡμῖν ἤθελε
ϲπονδὰϲ ποιῆϲαι καὶ κρεμάϲαι τὰϲ ἀϲπίδαϲ.

Κη. κάθηϲο, ϲίγα.

Δι. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ,
ἢν μὴ περὶ εἰρήνηϲ γε πρυτανεύϲητέ μοι.

Κη. οἱ πρέϲβειϲ οἱ παρὰ βαϲιλέωϲ.

Δι. ποίου βαϲιλέωϲ; ἄχθομαι 'γὼ πρέϲβεϲι
καὶ τοῖϲ ταὧϲι τοῖϲ τ' ἀλαζονεύμαϲι.

Κη. ϲίγα.

Δι. βαβαιάξ. ὠκβάτανα, τοῦ ϲχήματοϲ.

## ΠΡΕϹΒΕΥΤΗϹ

ἐπέμψαθ' ἡμᾶϲ ὡϲ βαϲιλέα τὸν μέγαν
μιϲθὸν φέρονταϲ δύο δραχμὰϲ τῆϲ ἡμέραϲ
ἐπ' Εὐθυμένουϲ ἄρχοντοϲ.

Δι. οἴμοι τῶν δραχμῶν.

Πρ. καὶ δῆτ' ἐτρυχόμεϲθα διὰ Καϋϲτρίων
πεδίων ὁδοιπλανοῦντεϲ ἐϲκηνημένοι,

50 post ἐγὼ interpungunt quidam 52 ποιῆϲαι Elmsley, cf. sch. RL: ποιεῖϲθαι codd. et sch. ΕΓ 53 ἄνδρεϲ R: ὦνδρεϲ cett. 55 sententiam interruptam esse credidit Blaydes 58 ποιῆϲαι] ποιεῖϲθαι R 59 ϲίγα] ϲῖγα RL 60 πρυτανεύϲητε] -εύητε P73, Meineke (nisi error typographicus est) 62 'γὼ $Γ^2E^2$ et voluit R: γὰρ ὡϲ Φc: γὰρ L 68 ἐτρυχόμεϲθα] -μεθα L, Bentley διὰ Bentley: διὰ τῶν ΦcL: παρὰ τῶν R 69–70 virgulam post ἁρμαμαξῶν, non post ἐϲκηνημένοι, posuit Russo

ἐφ' ἁρμαμαξῶν μαλθακῶς κατακείμενοι,
ἀπολλύμενοι.
Δι. σφόδρα γὰρ ἐσῳζόμην ἐγὼ
παρὰ τὴν ἔπαλξιν ἐν φορυτῷ κατακείμενος.
Πρ. ξενιζόμενοι δὲ πρὸς βίαν ἐπίνομεν
ἐξ ὑαλίνων ἐκπωμάτων καὶ χρυσίδων
ἄκρατον οἶνον ἡδύν.
Δι. ὦ Κραναὰ πόλις,
ἆρ' αἰσθάνῃ τὸν κατάγελων τῶν πρέσβεων;
Πρ. οἱ βάρβαροι γὰρ ἄνδρας ἡγοῦνται μόνους
τοὺς πλεῖστα δυναμένους φαγεῖν τε καὶ πιεῖν.
Δι. ἡμεῖς δὲ λαικαστάς γε καὶ καταπύγονας.
Πρ. ἔτει τετάρτῳ δ' εἰς τὰ βασίλει' ἤλθομεν·
ἀλλ' εἰς ἀπόπατον ᾤχετο στρατιὰν λαβών,
κἄχεζεν ὀκτὼ μῆνας ἐπὶ χρυσῶν ὀρῶν,—
Δι. πόσου δὲ τὸν πρωκτὸν χρόνου ξυνήγαγεν;
τῇ πανσελήνῳ;
Πρ. —κᾆτ' ἀπῆλθεν οἴκαδε.
εἶτ' ἐξένιζε, παρετίθει θ' ἡμῖν ὅλους
ἐκ κριβάνου βοῦς—
Δι. καὶ τίς εἶδε πώποτε
βοῦς κριβανίτας; τῶν ἀλαζονευμάτων.
Πρ. καὶ ναὶ μὰ Δί' ὄρνιν τριπλάσιον Κλεωνύμου
παρέθηκεν ἡμῖν· ὄνομα δ' ἦν αὐτῷ φέναξ.
Δι. ταῦτ' ἄρ' ἐφενάκιζες σὺ δύο δραχμὰς φέρων.
Πρ. καὶ νῦν ἄγοντες ἥκομεν Ψευδαρτάβαν,
τὸν βασιλέως ὀφθαλμόν.
Δι. ἐκκόψειέ γε
κόραξ πατάξας, τόν τε σὸν τοῦ πρέσβεως.

71 γὰρ] γ' ἄρ' Brunck, cf. sch. RE 78 δυναμένους] δυνατοὺς Elmsley φαγεῖν Morel: καταφαγεῖν codd. et P71 ut videtur τε om. L καὶ πιεῖν] κἀμπιεῖν Rennie 79 γε Elmsley: τε codd. 84 verba τῇ πανσελήνῳ; Dicaeopolidi tribuit Elmsley, legato codd. 85 παρετίθει θ' Athenaeus 130 F: καὶ παρετίθετ' R: παρετίθει δ' cett., Su. κ 2413 ὅλους $E^{\gamma\rho}$, $\Gamma^{2\gamma\rho}$, LB, Athenaeus: ὀπτοὺς cett. 93 τε A: γε cett.

Κη. ὁ βαϲιλέωϲ ὀφθαλμόϲ.
Δι. ὦναξ Ἡράκλειϲ.
πρὸϲ τῶν θεῶν, ἄνθρωπε ναύφαρκτον βλέπων,
ἢ περὶ ἄκραν κάμπτων νεώϲοικον ϲκοπεῖϲ;
ἄϲκωμ' ἔχειϲ που περὶ τὸν ὀφθαλμὸν κάτω.
Πρ. ἄγε δὴ ϲύ, βαϲιλεὺϲ ἅττα ϲ' ἀπέπεμψεν φράϲον
λέξοντ' Ἀθηναίοιϲιν, ὦ Ψευδαρτάβα.

ΨΕΥΔΑΡΤΑΒΑϹ
ἰαρταμαν ἐξαρξαν ἀπιϲϲονα ϲατρα.
Πρ. ξυνήκαθ' ὃ λέγει;
Δι. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ.
Πρ. πέμψειν βαϲιλέα φηϲὶν ὑμῖν χρυϲίον.
λέγε δὴ ϲὺ μεῖζον καὶ ϲαφῶϲ τὸ χρυϲίον.
Ψε. οὐ λῆψι χρυϲό, χαυνόπρωκτ' Ἰαοναῦ.
Δι. οἴμοι κακοδαίμων, ὡϲ ϲαφῶϲ.
Πρ. τί δαὶ λέγει;
Δι. ὅ τι; χαυνοπρώκτουϲ τοὺϲ Ἰάοναϲ λέγει,
εἰ προϲδοκῶϲι χρυϲίον ἐκ τῶν βαρβάρων.
Πρ. οὔκ, ἀλλ' ἀχάναϲ ὅδε γε χρυϲίου λέγει.
Δι. ποίαϲ ἀχάναϲ; ϲὺ μὲν ἀλαζὼν εἶ μέγαϲ.
ἀλλ' ἄπιθ'· ἐγὼ δὲ βαϲανιῶ τοῦτον μόνοϲ.
ἄγε δὴ ϲύ, φράϲον ἐμοὶ ϲαφῶϲ πρὸϲ τουτονί,
ἵνα μή ϲε βάψω βάμμα Ϲαρδιανικόν·
βαϲιλεὺϲ ὁ μέγαϲ ἡμῖν ἀποπέμψει χρυϲίον; [ἀνανεύει
ἄλλωϲ ἄρ' ἐξαπατώμεθ' ὑπὸ τῶν πρέϲβεων; [ἐπινεύει

95 πρὸϲ τῶν] τί πρὸϲ van Leeuwen ναύφαρκτον Dindorf e Photii lexico: ναύφρακτον codd. βλέπων Page: βλέπειϲ codd. 96 ἢ Bothe: ἡ codd. 97 που] γοῦν Robertson 100 ἐξαρξαν] -αϲ R ἀπιϲϲονα ϲατρα] πιϲόναϲτρα R 101 ξυνήκαθ'] ξυνῆκαϲ Lotz: ξυνίεθ' Cobet 104 λῆψι L: λῆψει vel -η cett. Ἰαοναῦ] Ἰαον, οὔ Bergler 105 δαὶ Elmsley: δ' αὖ fere codd. 107 χρυϲίον] χρυϲὸν Elmsley 108 ὅδε Bentley: ὁδί codd. 110 ἄπιθ'] ἄπιτ' R, fort. recte 111 τουτονί] τουτογί Robertson 112 Ϲαρδιανικόν RE, Su. β 89, ϲ 130: Ϲαρδανιακόν Hsch., fere cett. post 113, 114 parepigraphas seclusit Bentley, sed v. Taplin, *PCPS* 23 (1971), 121–32.

Ἑλληνικόν γ' ἐπένευϲαν ἄνδρεϲ οὑτοιί,
κοὐκ ἔϲθ' ὅπωϲ οὐκ εἰϲὶν ἐνθένδ' αὐτόθεν.
καὶ τοῖν μὲν εὐνούχοιν τὸν ἕτερον τουτονὶ
ἐγᾦδ' ὅϲ ἐϲτι, Κλειϲθένηϲ ὁ Ϲιβυρτίου.
ὦ θερμόβουλον πρωκτὸν ἐξυρημένε.
τοιόνδε γ', ὦ πίθηκε, τὸν πώγων' ἔχων
εὐνοῦχοϲ ἡμῖν ἦλθεϲ ἐϲκευαϲμένοϲ;
ὁδὶ δὲ τίϲ ποτ' ἐϲτίν; οὐ δήπου Ϲτράτων;

Κη. ϲίγα, κάθιζε.
τὸν βαϲιλέωϲ ὀφθαλμὸν ἡ βουλὴ καλεῖ
εἰϲ τὸ πρυτανεῖον.

Δι. ταῦτα δῆτ' οὐκ ἀγχόνη;
κἄπειτ' ἐγὼ δῆτ' ἐνθαδὶ ϲτραγγεύομαι;
τοὺϲ δὲ ξενίζειν οὐδέποτέ γ' ἴϲχει θύρα;
ἀλλ' ἐργάϲομαί τι δεινὸν ἔργον καὶ μέγα.
ἀλλ' Ἀμφίθεόϲ μοι ποῦ 'ϲτιν;

Αμ. οὑτοϲὶ πάρα.

Δι. ἐμοὶ ϲὺ ταυταϲὶ λαβὼν ὀκτὼ δραχμὰϲ
ϲπονδὰϲ ποιῆϲαι πρὸϲ Λακεδαιμονίουϲ μόνῳ
καὶ τοῖϲι παιδίοιϲι καὶ τῇ πλάτιδι·
ὑμεῖϲ δὲ πρεϲβεύεϲθε καὶ κεχήνετε.

Κη. προϲίτω Θέωροϲ ὁ παρὰ Ϲιτάλκουϲ.

## ΘΕΩΡΟϹ

ὁδί.

Δι. ἕτεροϲ ἀλαζὼν οὗτοϲ εἰϲκηρύττεται.

Θε. χρόνον μὲν οὐκ ἂν ἦμεν ἐν Θρᾴκῃ πολύν, —

115 ἄνδρεϲ Elmsley: ἅ- codd. 116 κοὐκ R: οὐκ cett. 118 ὅϲ ΦL: ὅϲτιϲ R: ὡϲ cett. 119 ἐξυρημένε Su. κ 1756, ϲ 1186, Gray: ἐξηυρ- codd. 120 γ' ὦ R: δ' ὦ E, Su. ϲ 1186: θ' ὦ ΑΓ: δή Su. κ 1756, Daubuz 126 ϲτραγγεύομαι Kuster: ϲτραγεύγομαι R: ϲτρατεύομαι cett. 127 γ' ἴϲχει Elmsley: ἴϲχει R: ἴϲχει γ' ἡ Su. ι 717: γ' ἴϲχ' ἡ ΦL: ἴϲχ' ἡ c 131 ποιῆϲαι Γ[ac]P: ποίηϲαι vel πόηϲαι cett.: ποίηϲον Elmsley 133 κεχήνετε Herodianus ap. Choeroboscum ii. 83.16–17: -ατε codd. 135 εἰϲκηρύττεται] εἰϲκεκήρυκται R 136 ἂν ἦμεν] ἔμειν' ἂν Elmsley

Δι. μὰ Δί᾽ οὐκ ἄν, εἰ μιϲθόν γε μὴ ᾽φερεϲ πολύν.
Θε. εἰ μὴ κατένειψε χιόνι τὴν Θρᾴκην ὅλην
καὶ τοὺϲ ποταμοὺϲ ἔπηξ᾽,—
Δι. ὑπ᾽ αὐτὸν τὸν χρόνον,
ὅτ᾽ ἐνθαδὶ Θέογνιϲ ἠγωνίζετο.
Θε. τοῦτον μετὰ Ϲιτάλκουϲ ἔπινον τὸν χρόνον·
καὶ δῆτα φιλαθήναιοϲ ἦν ὑπερφυῶϲ
ὑμῶν τ᾽ ἐραϲτὴϲ ἦν ἀληθήϲ, ὥϲτε καὶ
ἐν τοῖϲι τοίχοιϲ ἔγραφ᾽ "Ἀθηναῖοι καλοί."
ὁ δ᾽ υἱόϲ, ὃν Ἀθηναῖον ἐπεποιήμεθα,
ἤρα φαγεῖν ἀλλᾶνταϲ ἐξ Ἀπατουρίων,
καὶ τὸν πατέρ᾽ ἠντεβόλει βοηθεῖν τῇ πάτρᾳ·
ὁ δ᾽ ὤμοϲε ϲπένδων βοηθήϲειν ἔχων
ϲτρατιὰν τοϲαύτην ὥϲτ᾽ Ἀθηναίουϲ ἐρεῖν,
"ὅϲον τὸ χρῆμα παρνόπων προϲέρχεται."
Δι. κάκιϲτ᾽ ἀπολοίμην, εἴ τι τούτων πείθομαι
ὧν εἶπαϲ ἐνταυθοῖ ϲὺ πλὴν τῶν παρνόπων.
Θε. καὶ νῦν ὅπερ μαχιμώτατον Θρᾳκῶν ἔθνοϲ
ἔπεμψεν ὑμῖν.
Δι. τοῦτο μέν γ᾽ ἤδη ϲαφέϲ.
Κη. οἱ Θρᾷκεϲ ἴτε δεῦρ᾽, οὓϲ Θέωροϲ ἤγαγεν.
Δι. τουτὶ τί ἐϲτι τὸ κακόν;
Θε. Ὀδομάντων ϲτρατόϲ.
Δι. ποίων Ὀδομάντων; εἰπέ μοι, τουτὶ τί ἦν;
τίϲ τῶν Ὀδομάντων τὸ πέοϲ ἀποτεθρίακεν;
Θε. τούτοιϲ ἐάν τιϲ δύο δραχμὰϲ μιϲθὸν διδῷ,
καταπελτάϲονται τὴν Βοιωτίαν ὅλην.
Δι. τοιϲδὶ δύο δραχμὰϲ τοῖϲ ἀπεψωλημένοιϲ;
ὑποϲτένοι μέντἂν ὁ θρανίτηϲ λεὼϲ

137 v. om. Φ 138 κατένειψε Φ: -νιψε cett. 139–40 personarum vices distinxit Nauck 142 ἦν L: γ᾽ ἦν cett. 143 τ᾽] γ᾽ p ἦν] ὡϲ (ἀληθῶϲ) Dobree ἀληθήϲ] -ῶϲ Φ 146 ἀλλᾶνταϲ] -οϲ ΑΓ 147 ἠντεβόλει Cobet: ἠντι- codd. 153 ἔθνοϲ RΦ: γένοϲ L 154 μέν γ᾽] μέντ᾽ R ϲαφέϲ] -ῶϲ AB 158 ἀποτεθρίακεν Hsch., Su. α 3586, ο 44, π 987, sch.: -ρακεν vel -ρακεν ἄν fere codd. 159 τιϲ δύο δραχμὰϲ R: τιϲ δραχμὰϲ δύο Φϲ: δραχμὰϲ δύο τιϲ L

ὁ ϲωϲίπολιϲ. οἴμοι τάλαϲ, ἀπόλλυμαι,
ὑπὸ τῶν Ὀδομάντων τὰ ϲκόροδα πορθούμενοϲ.
οὐ καταβαλεῖτε τὰ ϲκόροδ’;
Θε. ὦ μόχθηρε ϲύ,
οὐ μὴ πρόϲει τούτοιϲιν ἐϲκοροδιϲμένοιϲ.
Δι. ταυτὶ περιείδεθ’ οἱ πρυτάνειϲ πάϲχοντά με
ἐν τῇ πατρίδι, καὶ ταῦθ’ ὑπ’ ἀνδρῶν βαρβάρων;
ἀλλ’ ἀπαγορεύω μὴ ποιεῖν ἐκκληϲίαν
τοῖϲ Θρᾳξὶ περὶ μιϲθοῦ· λέγω δ’ ὑμῖν ὅτι
διοϲημία ’ϲτὶ καὶ ῥανὶϲ βέβληκέ με.
Κη. τοὺϲ Θρᾷκαϲ ἀπιέναι, παρεῖναι δ’ εἰϲ ἔνην·
οἱ γὰρ πρυτάνειϲ λύουϲι τὴν ἐκκληϲίαν.
Δι. οἴμοι τάλαϲ, μυττωτὸν ὅϲον ἀπώλεϲα.
ἀλλ’ ἐκ Λακεδαίμονοϲ γὰρ Ἀμφίθεοϲ ὁδί.
χαῖρ’, Ἀμφίθεε.
Αμ. μήπω γε, πρίν ⟨γ’⟩ ἂν ϲτῶ τρέχων·
δεῖ γάρ με φεύγοντ’ ἐκφυγεῖν Ἀχαρνέαϲ.
Δι. τί δ’ ἐϲτίν;
Αμ. ἐγὼ μὲν δεῦρό ϲοι ϲπονδὰϲ φέρων
ἔϲπευδον· οἱ δ’ ὤϲφροντο πρεϲβῦταί τινεϲ
Ἀχαρνικοί, ϲτιπτοὶ γέροντεϲ, πρίνινοι,
ἀτεράμονεϲ, Μαραθωνομάχαι, ϲφενδάμνινοι.
ἔπειτ’ ἀνέκραγον πάντεϲ, “ὦ μιαρώτατε,
ϲπονδὰϲ φέρειϲ, τῶν ἀμπέλων τετμημένων;”
κἀϲ τοὺϲ τρίβωναϲ ξυνελέγοντο τῶν λίθων·
ἐγὼ δ’ ἔφευγον· οἱ δ’ ἐδίωκον κἀβόων.
Δι. οἱ δ’ οὖν βοώντων. ἀλλὰ τὰϲ ϲπονδὰϲ φέρειϲ;
Αμ. ἔγωγέ φημι, τρία γε ταυτὶ γεύματα.

165 *οὐ κατα-*] *οὐκ ἀπο-* *Φ* (sed corr. in E) *μοχθηρὲ* hoc accentu pc 167 *περιείδεθ’*] *περιόψεϲθ’* Blaydes 171 *διοϲημία ’ϲτι* P73, Elmsley ex Su. δ 1205: *-μί’ ἐϲτι* codd. 176 suppl. Bergk: *ἄν* ⟨*γε*⟩ Brunck *ϲτῶ*] *ϲτῶ’ γὼ* Robertson: *ϲωθῶ* van Herwerden 178 *τί δ’ ἐϲτίν*] *τί ἐϲτιν* Elmsley *ἐγὼ μὲν δεῦρό ϲοι* R et fortasse P73: *ἐγὼ μέν ϲοι δεῦρο* *Φ*: *ϲοὶ μὲν δεῦρ’ ἐγώ* L 180 *ϲτιπτοὶ*] *ϲτυπτοὶ* $R^{ac}$A: *ϲτεριφνοὶ* Erotianus 181 *Μαραθωνομάχαι* R$Γ^2E^2$L, Su. α 4343: *-μάχοι* *Φ*, Phrynichus, *praep. soph.* 11.4–12

αὗται μέν εἰϲι πεντέτειϲ. γεῦϲαι λαβών.
Δι. αἰβοῖ.
Αμ. τί ἐϲτιν;
Δι. οὐκ ἀρέϲκουϲίν μ', ὅτι
ὄζουϲι πίττηϲ καὶ παραϲκευῆϲ νεῶν.
Αμ. ϲὺ δ' ἀλλὰταϲδὶ τὰϲ δεκέτειϲ γεῦϲαι λαβών.
Δι. ὄζουϲι χαὖται—πρέϲβεων εἰϲ τὰϲ πόλειϲ,
ὀξύτατον, ὥϲπερ διατριβῆϲ τῶν ξυμμάχων.
Αμ. ἀλλ' αὑταιί τοί ϲοι τριακοντούτιδεϲ
κατὰ γῆν τε καὶ θάλατταν.
Δι. ὦ Διονύϲια,
αὗται μὲν ὄζουϲ' ἀμβροϲίαϲ καὶ νέκταροϲ
καὶ μὴ 'πιτηρεῖν "ϲιτί' ἡμερῶν τριῶν",
κἀν τῷ ϲτόματι λέγουϲι "βαῖν' ὅπῃ 'θέλειϲ".
ταύταϲ δέχομαι καὶ ϲπένδομαι κἀκπίομαι,
χαίρειν κελεύων πολλὰ τοὺϲ Ἀχαρνέαϲ.
Αμ. ἐγὼ δὲ φευξοῦμαί γε τοὺϲ Ἀχαρνέαϲ. 203
Δι. ἐγὼ δὲ πολέμου καὶ κακῶν ἀπαλλαγεὶϲ 201
ἄξω τὰ κατ' ἀγροὺϲ εἰϲιὼν Διονύϲια.

## ΧΟΡΟϹ

τῇδε πᾶϲ ἕπου, δίωκε, καὶ τὸν ἄνδρα πυνθάνου [ϲτρ.
τῶν ὁδοιπόρων ἁπάντων· τῇ πόλει γὰρ ἄξιον
ξυλλαβεῖν τὸν ἄνδρα τοῦτον. ἀλλά μοι μηνύϲατε,
εἴ τιϲ οἶδ' ὅποι τέτραπται γῆϲ ὁ τὰϲ ϲπονδὰϲ φέρων.
ἐκπέφευγ', οἴχεται
φροῦδοϲ. οἴμοι τάλαϲ τῶν ἐτῶν τῶν ἐμῶν·
οὐκ ἂν ἐπ' ἐμῆϲ γε νεότητοϲ, ὅτ' ἐγὼ φέρων
ἀνθράκων φορτίον
ἠκολούθουν Φαΰλλῳ τρέχων, ὧδε φαύλωϲ ἂν ὁ

189 ἀρέϲκουϲιν L: -ϲι cett. 194 τοί ϲοι Dobree, duce Bothe: ϲοι ϲπονδαὶ R: ϲπονδαὶ cett.: γάρ ϲοι vel δή ϲοι Elmsley 197 post 198 traiecit Reiske 197 καὶ] fortasse τοῦ 198 ὅπῃ] ὅποι AB 199 ϲπένδομαι] ϲπείϲομαι Meineke 203 φευξοῦμαι R: -ομαι cett. v. post 200 traiecit Elmsley 202 ἄξω R: αὔξω cett. 206 μηνύϲατε R: μηνύετε cett.

cπονδοφόροc οὗτοc ὑπ' ἐμοῦ τότε διωκόμενοc
ἐξέφυγεν, οὐδ' ἂν ἐλαφρῶc ἂν ἀπεπλίξατο.

νῦν δ' ἐπειδὴ cτερρὸν ἤδη τοὐμὸν ἀντικνήμιον [ἀντ.
καὶ παλαιῷ Λακρατείδῃ τὸ cκέλοc βαρύνεται,
οἴχεται. διωκτέοc δέ· μὴ γὰρ ἐγχάνῃ ποτὲ
μηδέ περ γέρονταc ὄνταc ἐκφυγὼν Ἀχαρνέαc,
ὅcτιc, ὦ Ζεῦ πάτερ
καὶ θεοί, τοῖcιν ἐχθροῖcιν ἐcπείcατο,
οἷcι παρ' ἐμοῦ πόλεμοc ἐχθοδοπὸc αὔξεται
τῶν ἐμῶν χωρίων·
κοὐκ ἀνήcω πρὶν ἂν cχοῖνοc αὐτοῖcιν ἀντεμπαγῶ
⟨καὶ cκόλοψ⟩ ὀξύc, ὀδυνηρόc, ἐπίκωποc, ἵνα
μήποτε πατῶcιν ἔτι τὰc ἐμὰc ἀμπέλουc.

ἀλλὰ δεῖ ζητεῖν τὸν ἄνδρα καὶ βλέπειν Βαλλήναδε
καὶ διώκειν γῆν πρὸ γῆc, ἕωc ἂν εὑρεθῇ ποτέ·
ὡc ἐγὼ βάλλων ἐκεῖνον οὐκ ἂν ἐμπλήμην λίθοιc.
Δι. εὐφημεῖτε, εὐφημεῖτε.
Χο. cῖγα πᾶc. ἠκούcατ', ἄνδρεc, ἆρα τῆc εὐφημίαc;
οὗτοc αὐτόc ἐcτιν ὃν ζητοῦμεν. ἀλλὰ δεῦρο πᾶc
ἐκποδών· θύcων γὰρ ἁνήρ, ὡc ἔοικ', ἐξέρχεται.
Δι. εὐφημεῖτε, εὐφημεῖτε.
προΐτω 'c τὸ πρόcθεν ὀλίγον ἡ κανηφόροc.
ὁ Ξανθίαc τὸν φαλλὸν ὀρθὸν cτηcάτω.
κατάθου τὸ κανοῦν, ὦ θύγατερ, ἵν' ἀπαρξώμεθα.

217 ἐξέφυγεν del. Bentley 220 Λακρατείδῃ Bentley: -τίδῃ codd. ἐγχάνῃ] ἐγχάνοι Brunck 222 ὄνταc L: om. cett. 230 ἀντεμπαγῶ R, Su. c 648 et 1813: ἄτ' ἐμπαγῶ cett. 231 lacunam statuit Hermann: suppl. R. Klotz e Su. c 648 232 ἔτι om. R 234 Βαλλήναδε v.l. ap. sch. EΓ: Παλλήναδε codd. 236 ἐμπλήμην RΓ$^{ac}$: -είμην cett. 238 cῖγα c, Bentley: cίγα cett. ἆρα] ἄρτι Halbertsma 239 αὐτόc] οὗτοc dubitanter Dobree, Boutens e sch. 240 ἁνήρ Elmsley, duce Brunck: ἀ- codd. 242 προΐτω 'c F. A. Wolf: πρόϊθ' ὡc codd.

ΘΥΓΑΤΗΡ

ὦ μῆτερ, ἀνάδοϲ δεῦρο τὴν ἐτνήρυϲιν,
ἵν' ἔτνοϲ καταχέω τοὐλατῆροϲ τουτουί.

Δι. καὶ μὴν καλόν γ' ἔϲτ'. ὦ Διόνυϲε δέϲποτα,
κεχαριϲμένωϲ ϲοι τήνδε τὴν πομπὴν ἐμὲ
πέμψαντα καὶ θύϲαντα μετὰ τῶν οἰκετῶν
ἀγαγεῖν τυχηρῶϲ τὰ κατ' ἀγροὺϲ Διονύϲια,
ϲτρατιᾶϲ ἀπαλλαχθέντα· τὰϲ ϲπονδὰϲ δέ μοι
καλῶϲ ξυνενεγκεῖν τὰϲ τριακοντούτιδαϲ.
ἄγ', ὦ θύγατερ, ὅπωϲ τὸ κανοῦν καλὴ καλῶϲ
οἴϲειϲ, βλέπουϲα θυμβροφάγον. ὡϲ μακάριοϲ
ὅϲτιϲ ϲ' ὀπύϲει κἀκποιήϲεται γαλᾶϲ
ϲοῦ μηδὲν ἥττουϲ βδεῖν, ἐπειδὰν ὄρθροϲ ᾖ.
πρόβαινε, κἀν τὤχλῳ φυλάττεϲθαι ϲφόδρα
μή τιϲ λαθών ϲου περιτράγῃ τὰ χρυϲία.
ὦ Ξανθία, ϲφῷν δ' ἐϲτὶν ὀρθὸϲ ἑκτέοϲ
ὁ φαλλὸϲ ἐξόπιϲθε τῆϲ κανηφόρου·
ἐγὼ δ' ἀκολουθῶν ᾄϲομαι τὸ φαλλικόν·
ϲὺ δ', ὦ γύναι, θεῶ μ' ἀπὸ τοῦ τέγουϲ. πρόβα.

Φάληϲ, ἑταῖρε Βακχίου,
ξύγκωμε, νυκτοπεριπλάνητε, μοιχέ, παιδεραϲτά,
ἕκτῳ ϲ' ἔτει προϲεῖπον εἰϲ τὸν δῆμον ἐλθὼν ἄϲμενοϲ,
ϲπονδὰϲ ποιηϲάμενοϲ ἐμαυτῷ, πραγμάτων τε καὶ μαχῶν
καὶ Λαμάχων ἀπαλλαγείϲ.
πολλῷ γάρ ἐϲθ' ἥδιον, ὦ Φάληϲ Φάληϲ,
κλέπτουϲαν εὑρόνθ' ὡρικὴν ὑληφόρον,
τὴν Ϲτρυμοδώρου Θρᾷτταν ἐκ τοῦ φελλέωϲ,

247 post ἔϲτ' sic interpungunt EB, Brunck 254 οἴϲειϲ R: οἴϲει cett. ὡϲ] ὦ R 256 ἥττουϲ Elmsley: ἧττον fere codd. 263, 271, 276 Φάληϲ hoc accentu Herter: Φαλῆϲ codd. 263 Βακχίου Scaliger: -είου codd. 272 ὑληφόρον] ὑλο- R 273 Φελλέωϲ ut nomen loci interpretari possis, cf. sch. et Dover ad *Nub.* 71

μέϲην λαβόντ᾽, ἄραντα, καταβαλόντα
καταγιγαρτίϲαι.
Φάλης Φάλης,
ἐὰν μεθ᾽ ἡμῶν ξυμπίῃς, ἐκ κραιπάλης
ἕωθεν εἰρήνης ῥοφήϲει τρύβλιον·
ἡ δ᾽ ἀϲπὶϲ ἐν τῷ φεψάλῳ κρεμήϲεται.

Χο. οὗτος αὐτόϲ ἐϲτιν, οὗτος·
βάλλε, βάλλε, βάλλε, βάλλε,
παῖε, παῖε τὸν μιαρόν.
οὐ βαλεῖϲ; οὐ βαλεῖϲ;

Δι. Ἡράκλειϲ, τουτὶ τί ἐϲτι; τὴν χύτραν ϲυντρίψετε. [ϲτρ.
Χο. ϲὲ μὲν οὖν καταλεύϲομεν, ὦ μιαρὰ κεφαλή.
Δι. ἀντὶ ποίαϲ αἰτίαϲ, ὦχαρνέων γεραίτατοι;
Χο. τοῦτ᾽ ἐρωτᾷϲ; ἀναίϲχυντοϲ εἶ καὶ βδελυρόϲ,
ὦ προδότα τῆϲ πατρίδοϲ, ὅϲτιϲ ἡμῶν μόνοϲ
ϲπειϲάμενοϲ εἶτα δύναϲαι πρὸϲ ἔμ᾽ ἀποβλέπειν.
Δι. ἀντὶ δ᾽ ὧν ἐϲπειϲάμην ἠκούϲατ᾽; ἀλλ᾽ ἀκούϲατε.
Χο. ϲοῦ γ᾽ ἀκούϲωμεν; ἀπολεῖ· κατά ϲε χώϲομεν τοῖϲ
λίθοιϲ.
Δι. μηδαμῶϲ, πρὶν ἄν γ᾽ ἀκούϲητ᾽· ἀλλ᾽ ἀνάϲχεϲθ᾽, ὦγαθοί.
Χο. οὐκ ἀναϲχήϲομαι· μηδὲ λέγε μοι ϲὺ λόγον·
ὡϲ μεμίϲηκά ϲε Κλέωνοϲ ἔτι μᾶλλον, ὃν ἐ-
γὼ τεμῶ τοῖϲιν ἱππεῦϲι καττύματα.

275 καταγιγαρτίϲαι ὦ vel -ίϲ᾽ ὦ fere codd.: ὦ del. Brunck 278 ῥοφήϲει Elmsley: -ειϲ codd. 279 κρεμήϲεται] κρεμαϲθήϲεται R 282 alterum παῖε] πᾶϲ Bergk 291 εἶτα L: ἔπειτα P73, cett. πρὸϲ L: νῦν πρὸϲ cett. 292 ἠκούϲατ᾽ Kock: οὐκ ἴϲτε[ P73: οὐκ ἴϲατ᾽ R: οὐκ ἴϲτε A: οὐκ ἴϲτε τε ΓΕ: οὐκ ἴϲτε γ᾽ L: οὐκ ἰϲτέ; W. G. Clark: alii alia, e.g. οὐκ ἴϲτε· τἄλλ᾽ Handley 295 ἀκούϲωμεν Elmsley: -ομεν RΦ: ἀκούϲομ᾽ L κατά ϲε RE: κα̣τά ϲ᾽ ΑΓ: κα̣τά ϲ᾽ αὖ L 296 ἄν γ᾽ $Γ^3$, Bentley: γ᾽ ἂν Φ: γ᾽ R: ἂν L ἀνάϲχεϲθ᾽] -οιϲθ᾽ vel -οιθ᾽ Φ 297 μοι ϲὺ P73, Hermann: ϲύ μοι R: ϲὺ Φ: δὴ ϲὺ L 300–1 locus multum temptatus ἐγὼ codd.: del. Bothe τεμῶ Elmsley: κατατεμῶ P73, codd. post ἱππεῦϲι add. ποτ᾽ ἐϲ P73 et codd. plerique (ποτ᾽ om. Su. κ 817 et 1129, ἐϲ om. L): contextum restituit Dindorf

| | |
|---|---|
| | *coῦ δ' ἐγὼ λόγουc λέγοντοc οὐκ ἀκούcομαι μακρούc,* |
| | *ὅcτιc ἐcπείcω Λάκωcιν, ἀλλὰ τιμωρήcομαι.* |
| Δι. | *ὦγαθοί, τοὺc μὲν Λάκωναc ἐκποδὼν ἐάcατε,* |
| | *τῶν δ' ἐμῶν cπονδῶν ἀκούcατ', εἰ καλῶc ἐcπειcάμην.* |
| Χο. | *πῶc δ' ἔτ' ἂν καλῶc λέγοιc ἄν, εἴπερ ἐcπείcω γ' ἅπαξ* |
| | *οἷcιν οὔτε βωμὸc οὔτε πίcτιc οὔθ' ὅρκοc μένει;* |
| Δι. | *οἶδ' ἐγὼ καὶ τοὺc Λάκωναc, οἷc ἄγαν ἐγκείμεθα,* |
| | *οὐχ ἁπάντων ὄνταc ἡμῖν αἰτίουc τῶν πραγμάτων.* |
| Χο. | *οὐχ ἁπάντων, ὦ πανοῦργε; ταῦτα δὴ τολμᾷc λέγειν* |
| | *ἐμφανῶc ἤδη πρὸc ἡμᾶc; εἶτ' ἐγώ cου φείcομαι;* |
| Δι. | *οὐχ ἁπάντων, οὐχ ἁπάντων· ἀλλ' ἐγὼ λέγων ὁδὶ* |
| | *πόλλ' ἂν ἀποφήναιμ' ἐκείνουc ἔcθ' ἃ κἀδικουμένουc.* |
| Χο. | *τοῦτο τοὔποc δεινὸν ἤδη καὶ ταραξικάρδιον,* |
| | *εἰ cὺ τολμήcειc ὑπὲρ τῶν πολεμίων ἡμῖν λέγειν.* |
| Δι. | *κἂν γε μὴ λέγω δίκαια μηδὲ τῷ πλήθει δοκῶ,* |
| | *ὑπὲρ ἐπιξήνου 'θελήcω τὴν κεφαλὴν ἔχων λέγειν.* |
| Χο. | *εἰπέ μοι, τί φειδόμεcθα τῶν λίθων, ὦ δημόται,* |
| | *μὴ οὐ καταξαίνειν τὸν ἄνδρα τοῦτον εἰc φοινικίδα;* |
| Δι. | *οἷον αὖ μέλαc τιc ὑμῖν θυμάλωψ ἐπέζεcεν.* |
| | *οὐκ ἀκούcεcθ', οὐκ ἀκούcεcθ' ἐτεόν, ὦχαρνηΐδαι;* |
| Χο. | *οὐκ ἀκουcόμεcθα δῆτα.* |
| Δι. | *δεινά γ' ἆρα πείcομαι.* |
| Χο. | *ἐξολοίμην, ἤν ἀκούcω.* |
| Δι. | *μηδαμῶc, ὦχαρνικοί.* |
| Χο. | *ὡc τεθνήξων ἴcθι νυνί.* |
| Δι. | *δήξομἆρ' ὑμᾶc ἐγώ.* |

307 *δ' ἔτ'* Elmsley: *δέ γ'* codd. 308 *βωμὸc . . . πίcτιc*] *πίcτιc . . . βωμὸc Φ* *μένει*] *μέλει* F. W. Schmidt 309 *οἶδ' ἐγὼ*] *οἶδα γὰρ* Blaydes 314 *πόλλ'*] *ἄλλ'* Wecklein: *ῥᾷcτ'* Blaydes *κἀδικουμένουc*] *κἠδικημένουc* Hamaker 317 *λέγω*] *λέξω* R *μηδὲ*] *μήτε* R 321 *οἷον* R: *οἷοc* cett. *τιc*] *ἐφ'* R 323 *γ' ἆρα*] *τἄρα* P73, Elmsley, fort. recte 325 *δήξομἆρ' ὑμᾶc* P73, Bentley: *δήξομαι ἄρ' ὑμᾶc* Vb1: *δείξομ' ὑμᾶc ἄρ'* R: *δήξομαι γὰρ* (vel *γ' ἄρ'*) *ὑμᾶc* codd. plerique: *δήξομαί γ' ὑμᾶc* Porson

ἀνταποκτενῶ γὰρ ὑμῶν τῶν φίλων τοὺc φιλτάτουc·
ὡc ἔχω γ' ὑμῶν ὁμήρουc, οὓc ἀποcφάξω λαβών.
Χο. εἰπέ μοι, τί τοῦτ' ἀπειλεῖ τοὔποc, ἄνδρεc δημόται,
τοῖc Ἀχαρνικοῖcιν ἡμῖν; μῶν ἔχει του παιδίον
τῶν παρόντων ἔνδον εἵρξαc; ἢ 'πὶ τῷ θραcύνεται;
Δι. βάλλετ', εἰ βούλεcθ'· ἐγὼ γὰρ τουτονὶ διαφθερῶ.
εἴcομαι δ' ὑμῶν τάχ' ὅcτιc ἀνθράκων τι κήδεται.
Χο. ὡc ἀπωλόμεcθ'· ὁ λάρκοc δημότηc ὅδ' ἔcτ' ἐμόc.
ἀλλὰ μὴ δράcῃc ὃ μέλλειc, μηδαμῶc, ὦ μηδαμῶc.

Δι. ὡc ἀποκτενῶ. κέκραχθ'· ἐγὼ γὰρ οὐκ ἀκούcομαι. [ἀντ.
Χο. ἀπολεῖc ἄρ' ὁμήλικα τόνδε φιλανθρακέα;
Δι. οὐδ' ἐμοῦ λέγοντοc ὑμεῖc ἀρτίωc ἠκούcατε.
Χο. ἀλλὰ νυνὶ λέγ', εἴ cοι δοκεῖ, τόν γε Λακε-
δαιμόνιον αὐτόθεν ὅτῳ τρόπῳ cοὐcτὶ φίλοc·
ὡc τόδε τὸ λαρκίδιον οὐ προδώcω ποτέ.
Δι. τοὺc λίθουc νύν μοι χαμᾶζε πρῶτον ἐξεράcατε.
Χο. οὑτοιί cοι χαμαί, καὶ cὺ κατάθου πάλιν τὸ ξίφοc.
Δι. ἀλλ' ὅπωc μὴ 'ν τοῖc τρίβωcιν ἐγκάθηνταί που λίθοι.
Χο. ἐκcέcειcται χαμᾶζ'· οὐχ ὁρᾷc cειόμενον;
ἀλλὰ μή μοι πρόφαcιν, ἀλλὰ κατάθου τὸ βέλοc.
ὡc ὅδε γε cειcτὸc ἅμα τῇ cτροφῇ γίγνεται.

Δι. ἐμέλλετ' ἄρα πάντωc ἀνήcειν τῆc βοῆc,
ὀλίγου δ' ἀπέθανον ἄνθρακεc Παρνήccιοι,
καὶ ταῦτα διὰ τὴν ἀτοπίαν τῶν δημοτῶν.

326 ὑμῶν] ὑμῖν Reiske 329 του Brunck (*alicuius* iam Divus): τοῦ codd. 330 τῷ] τίνι Φ 334 ὦ] μὴ Elmsley 336 ἄρ' ὁμήλικα Reisig: ἄρα τὸν ἥλικα codd.: ἄρ' ἀφήλικα Bergk 338 νυνὶ Bentley: νῦν RΦ: γὰρ νῦν L εἰ] εἴ τι R: ὅ τι Elmsley γε Reisig: τε ΦL: om. R, Greg. Cor. *de dial.* p. 129 339 αὐτόθεν Rennie, ὅτῳ Scaliger: αὐτὸν ὅτι τῷ codd., quo recepto τῳ pro τῷ Blaydes φίλοc R: φίλον cett.: utrumque novit sch. 341 λίθουc νύν μοι $Γ^{pc}$, Bentley: νῦν μοι λίθουc cett. 347 πάντωc ἀνήcειν τῆc Dobree, duce Elmsley: πάντεc ἀναcείειν codd. βοῆc] βοήν R s.l. 348 δ' Meineke: τ' codd.: γ' Elmsley ἄνθρακεc Dawes: ἄ- codd. Παρνήccιοι C. Wordsworth (-ήcιοι Elmsley): Παρνάccιοι RΓE: -νάcιοι AL: -νήθιοι Bentley: cf. *IG* $i^3$ 1057 bis

ὑπὸ τοῦ δέους δὲ τῆς μαρίλης μοι ϲυχνὴν
ὁ λάρκος ἐνετίληϲεν ὥϲπερ ϲηπία.
δεινὸν γὰρ οὕτως ὀμφακίαν πεφυκέναι
τὸν θυμὸν ἀνδρῶν ὥϲτε βάλλειν καὶ βοᾶν
ἐθέλειν τ' ἀκοῦϲαι μηδὲν ἴϲον ἴϲῳ φέρον,
ἐμοῦ 'θέλοντος ὑπὲρ ἐπιξήνου λέγειν
ὑπὲρ Λακεδαιμονίων ἅπανθ' ὅϲ' ἂν λέγω·
καίτοι φιλῶ γε τὴν ἐμὴν ψυχὴν ἐγώ.

Χο. τί οὖν οὐ λέγεις, ἐπίξηνον ἐξενεγκὼν θύραζ', [ϲτρ.
ὅ τι ποτ', ὦ ϲχέτλιε, τὸ μέγα τοῦτ' ἔχεις;
πάνυ γὰρ ἐμέ γε πόθος ὅ τι φρονεῖς ἔχει.
ἀλλ' ᾗπερ αὐτὸς τὴν δίκην διωρίϲω,
θεὶς δεῦρο τοὐπίξηνον ἐγχείρει λέγειν.

Δι. ἰδοὺ θεᾶϲθε, τὸ μὲν ἐπίξηνον τοδί,
ὁ δ' ἀνὴρ ὁ λέξων οὑτοσὶ τυννουτοσί.
ἀμέλει μὰ τὸν Δί' οὐκ ἐναϲπιδώϲομαι,
λέξω δ' ὑπὲρ Λακεδαιμονίων ἁμοὶ δοκεῖ.
καίτοι δέδοικα πολλά· τούς τε γὰρ τρόπους
τοὺς τῶν ἀγροίκων οἶδα χαίροντας ϲφόδρα,
ἐάν τις αὐτοὺς εὐλογῇ καὶ τὴν πόλιν
ἀνὴρ ἀλαζὼν καὶ δίκαια κἄδικα·
κἀνταῦθα λανθάνουϲ' ἀπεμπολώμενοι·
τῶν τ' αὖ γερόντων οἶδα τὰς ψυχὰς ὅτι
οὐδὲν βλέπουϲιν ἄλλο πλὴν ψήφῳ δάκνειν.
αὐτός τ' ἐμαυτὸν ὑπὸ Κλέωνος ἅπαθον
ἐπίϲταμαι διὰ τὴν πέρυϲι κωμῳδίαν.
εἰϲελκύϲας γάρ μ' εἰς τὸ βουλευτήριον
διέβαλλε καὶ ψευδῆ κατεγλώττιζέ μου

351 *ἐνετίληϲεν*] *ἐπε-* Su. *ε* 2095, *λ* 124, *μ* 196, Daubuz 354 *φέρον* $Γ^{pc}B^{2}$, Su. *δ* 340, *ο* 315 (excepto cod. G): *-ειν* R: *-ων* cett. 356 v. del. Wilamowitz et Starkie *ὑπὲρ*] *περὶ* Meineke 358 *οὐ* EL et fortasse $Γ^{ac}$: om. $RAΓ^{pc}$ 366 *θεᾶϲθε*] *θέαϲαι* R 369 *ἁμοὶ* Coulon: *ἅ μοι* codd. 375 *τ'*] *δ'* Blaydes 376 *ψήφῳ δάκνειν* Brunck: *ψήφῳ δακεῖν* $Γ^{2}E^{2}$, lm. sch.: *ψηφοδακεῖν* RΦ: *ψηφηδακεῖν* L

κἀκυκλοβόρει κἄπλυνεν, ὥϲτ' ὀλίγου πάνυ
ἀπωλόμην μολυνοπραγμονούμενοϲ.
νῦν οὖν με πρῶτον πρὶν λέγειν ἐάϲατε
ἐνϲκευάϲαϲθαί μ' οἷον ἀθλιώτατον.

Χο. τί ταῦτα ϲτρέφει τεχνάζειϲ τε καὶ πορίζειϲ [ἀντ.
τριβάϲ;
λαβὲ δ' ἐμοῦ γ' ἕνεκα παρ' Ἱερωνύμου
ϲκοτοδαϲυπυκνότριχά τιν' Ἄϊδοϲ κυνῆν·
εἶτ' ἐξάνοιγε μηχανὰϲ τὰϲ Ϲιϲύφου·
ὡϲ ϲκῆψιν ἀγὼν οὗτοϲ οὐχὶ δέξεται.

Δι. ὥρα 'ϲτὶν ἁρμοῖ καρτερὰν ψυχὴν λαβεῖν·
καί μοι βαδιϲτέ' ἐϲτὶν ὡϲ Εὐριπίδην.
παῖ παῖ.

ΘΕΡΑΠΩΝ

τίϲ οὗτοϲ;
Δι. ἔνδον ἔϲτ' Εὐριπίδηϲ;
Θε. οὐκ ἔνδον ἔνδον ἐϲτίν, εἰ γνώμην ἔχειϲ.
Δι. πῶϲ ἔνδον, εἶτ' οὐκ ἔνδον;
Θε. ὀρθῶϲ, ὦ γέρον.
ὁ νοῦϲ μὲν ἔξω ξυλλέγων ἐπύλλια
κοὐκ ἔνδον, αὐτὸϲ δ' ἔνδον ἀναβάδην ποιεῖ
τραγῳδίαν.
Δι. ὦ τριϲμακάρι' Εὐριπίδη,
ὅθ' ὁ δοῦλοϲ οὑτωϲὶ ϲοφῶϲ ὑποκρίνεται.

381 κἄπλυνεν R$\Gamma^2$E$^2$: κἀπέπλυνεν cett. 384 v. del. Valckenaer 385 ϲτρέφει RΦ: -ειϲ L: -ειν c τεχνάζειϲ RΦc: -ει L πορίζειϲ] -ει Blaydes, van Herwerden 390 τιν' Brunck: τὴν codd. 391 εἶτ'] ἀλλ' Su. ϲ 490: εἶ Dobree τὰϲ] τοῦ lm. sch. in P. Oxy. 856 392 ἀγὼν Bentley: ἀ- codd. οὐχὶ δέξεται Cobet: οὐκ εἰϲδέξεται codd.: οὐ προϲδέξεται Su. ϲ 490: οὐκ ἐνδέξεται Olson 393 ἁρμοῖ Robertson, Lloyd-Jones: ἆρά μοι R: ἤδη cett. 396 ⟨τ'⟩ ἐϲτίν Dindorf 399 κοὐκ R: οὐκ cett. 401 οὑτωϲὶ L: οὑτοϲὶ cett. ϲοφῶϲ ὑποκρίνεται R: ϲαφῶϲ ἀπεκρίνατο cett.

ἐκκάλεϲον αὐτόν.

Θε. ἀλλ' ἀδύνατον.

Δι. ἀλλ' ὅμωϲ·
οὐ γὰρ ἂν ἀπέλθοιμ', ἀλλὰ κόψω τὴν θύραν.
Εὐριπίδη, Εὐριπίδιον,
ὑπάκουϲον, εἴπερ πώποτ' ἀνθρώπων τινί·
Δικαιόπολιϲ καλεῖ ϲε Χολλῄδηϲ, ἐγώ.

ΕΥΡΙΠΙΔΗϹ

ἀλλ' οὐ ϲχολή.

Δι. ἀλλ' ἐκκυκλήθητ'.

Ευ. ἀλλ' ἀδύνατον.

Δι. ἀλλ' ὅμωϲ.

Ευ. ἀλλ' ἐκκυκλήϲομαι· καταβαίνειν δ' οὐ ϲχολή.

Δι. Εὐριπίδη—

Ευ. τί λέλακαϲ;

Δι. ἀναβάδην ποιεῖϲ,
ἐξὸν καταβάδην. οὐκ ἐτὸϲ χωλοὺϲ ποιεῖϲ.
ἀτὰρ τί τὰ ῥάκι'; εἰϲ τραγῳδίαϲ ἔχειϲ
ἐϲθῆτ' ἐλεινήν; οὐκ ἐτὸϲ πτωχοὺϲ ποιεῖϲ.
ἀλλ' ἀντιβολῶ πρὸϲ τῶν γονάτων ϲ', Εὐριπίδη,
δόϲ μοι ῥάκιόν τι τοῦ παλαιοῦ δράματοϲ.
δεῖ γάρ με λέξαι τῷ χορῷ ῥῆϲιν μακράν·
αὕτη δὲ θάνατον, ἢν κακῶϲ λέξω, φέρει.

Ευ. τὰ ποῖα τρύχη; μῶν ἐν οἷϲ Οἰνεὺϲ ὁδὶ
ὁ δύϲποτμοϲ γεραιὸϲ ἠγωνίζετο;

Δι. οὐκ Οἰνέωϲ ἦν, ἀλλ' ἔτ' ἀθλιωτέρου.

Ευ. τὰ τοῦ τυφλοῦ Φοίνικοϲ;

Δι. οὐ Φοίνικοϲ, οὔ·

406 ϲε] ϲ' ὁ Brunck Χολλῄδηϲ tituli: Χολλίδηϲ codd. 411 v. om. Φ, 414 ante 412 traiecto χωλοὺϲ] πτοχοὺϲ μόνουϲ R, sed delevit μόνουϲ 412 post ῥάκι' interpunxit Bergk εἰϲ Richards: ἐκ codd.: ἢ 'κ Bergk 413 ἐλεινήν Porson: ἐλεεινήν codd. πτωχοὺϲ R: χωλοὺϲ cett. 414 ϲ' om. Φ 415 τοῦ] του Bergk, anon. ap. *Mnem.* 1 (1852) 414

ἀλλ' ἕτεροϲ ἦν Φοίνικοϲ ἀθλιώτεροϲ.
Ευ. ποίαϲ ποθ' ἁνὴρ λακίδαϲ αἰτεῖται πέπλων;
ἀλλ' ἦ Φιλοκτήτου τὰ τοῦ πτωχοῦ λέγειϲ;
Δι. οὔκ, ἀλλὰ τούτου πολὺ πολὺ πτωχιϲτέρου.
Ευ. ἀλλ' ἦ τὰ δυϲπινῆ θέλειϲ πεπλώματα,
ἃ Βελλεροφόντηϲ εἶχ' ὁ χωλὸϲ ουτοϲί;
Δι. οὐ Βελλεροφόντηϲ· ἀλλὰ κἀκεῖνοϲ μὲν ἦν
χωλόϲ, προϲαιτῶν, ϲτωμύλοϲ, δεινὸϲ λέγειν.
Ευ. οἶδ' ἄνδρα, Μυϲὸν Τήλεφον.
Δι. ναί, Τήλεφον·
τούτου δόϲ, ἀντιβολῶ ϲε, μοι τὰ ϲπάργανα.
Ευ. ὦ παῖ, δὸϲ αὐτῷ Τηλέφου ῥακώματα.
κεῖται δ' ἄνωθεν τῶν Θυεϲτείων ῥακῶν,
μεταξὺ τῶν Ἰνοῦϲ. ἰδού, ταυτὶ λαβέ.
Δι. ὦ Ζεῦ διόπτα καὶ κατόπτα πανταχῇ,
ἐνϲκευάϲαϲθαί μ' οἷον ἀθλιώτατον.
Εὐριπίδη, 'πειδήπερ ἐχαρίϲω ταδί,
κἀκεῖνά μοι δὸϲ τἀκόλουθα τῶν ῥακῶν,
τὸ πιλίδιον περὶ τὴν κεφαλὴν τὸ Μύϲιον.
δεῖ γάρ με δόξαι πτωχὸν εἶναι τήμερον,
εἶναι μὲν ὅϲπερ εἰμί, φαίνεϲθαι δὲ μή·
τοὺϲ μὲν θεατὰϲ εἰδέναι μ' ὅϲ εἰμ' ἐγώ,
τοὺϲ δ' αὖ χορευτὰϲ ἠλιθίουϲ παρεϲτάναι,
ὅπωϲ ἂν αὐτοὺϲ ῥηματίοιϲ ϲκιμαλίϲω.
Ευ. δώϲω· πυκνῇ γὰρ λεπτὰ μηχανᾷ φρενί.
Δι. εὐδαιμονοίηϲ, Τηλέφῳ δ' ἁγὼ φρονῶ.
εὖ γ'· οἷον ἤδη ῥηματίων ἐμπίμπλαμαι.
ἀτὰρ δέομαί γε πτωχικοῦ βακτηρίου.

423 ἁνὴρ Elmsley: ἀ- codd. 429 δεινὸϲ λέγειν om. R 434 ἰδού, ταυτί Euripidi tribuit Bergk, Dicaeopoli Beer 436 v. del. Dobree, duce Brunck 437 post ἐχαρίϲω add. μοι codd.: del. Bentley 441 ὅϲπερ Su. ει 158 codd. A$F^{pc}$VM, φ 172 cod. M: ὥϲπερ codd. 442 ὅϲ L: ὅϲτιϲ RΦ 444 αὐτοὺϲ] -οῖϲ R 446 εὐδαιμονοίηϲ] εὖ ϲοι γένοιτο Athenaeus 186c, sed fortasse Euripidem (fr. 707) citat φρονῶ] νοῶ Athenaeus 447 ἐμπίμπλαμαι Vv17 B: ἐμπιπλ- cett. 448 ἀτὰρ] αὐτὰρ R γε] καὶ L

Ευ. τουτὶ λαβὼν ἄπελθε λαΐνων σταθμῶν.
Δι. ὦ θύμ', ὁρᾷς γὰρ ὡς ἀπωθοῦμαι δόμων,
πολλῶν δεόμενος σκευαρίων· νῦν δὴ γενοῦ
γλίσχρος, προσαιτῶν λιπαρῶν τ'. Εὐριπίδη,
δός μοι σπυρίδιον διακεκαυμένον λύχνῳ.
Ευ. τί δ', ὦ τάλας, σε τοῦδ' ἔχει πλέκους χρέος;
Δι. χρέος μὲν οὐδέν, βούλομαι δ' ὅμως λαβεῖν.
Ευ. λυπηρὸς ἴσθ' ὢν κἀποχώρησον δόμων.
Δι. φεῦ·
εὐδαιμονοίης, ὥσπερ ἡ μήτηρ ποτέ.
Ευ. ἄπελθέ νύν μοι.
Δι. μἀλλά μοι δὸς ἓν μόνον,
κοτυλίσκιον τὸ χεῖλος ἀποκεκρουμένον.
Ευ. φθείρου λαβὼν τόδ'· ἴσθ' ὀχληρὸς ὢν δόμοις.
Δι. οὔπω μὰ Δί' οἶσθ' οἷ' αὐτὸς ἐργάζει κακά.
ἀλλ', ὦ γλυκύτατ' Εὐριπίδη, τουτὶ μόνον
δός μοι, χυτρίδιον σπογγίῳ βεβυσμένον.
Ευ. ὤνθρωπ', ἀφαιρήσει με τὴν τραγῳδίαν·
ἄπελθε ταυτηνὶ λαβών.
Δι. ἀπέρχομαι.
καίτοι τί δράσω; δεῖ γὰρ ἑνός, οὗ μὴ τυχὼν
ἀπόλωλ'. ἄκουσον, ὦ γλυκύτατ' Εὐριπίδη·
τουτὶ λαβὼν ἄπειμι κοὐ πρόσειμ' ἔτι·
εἰς τὸ σπυρίδιον ἰσχνά μοι φυλλεῖα δός.
Ευ. ἀπολεῖς μ'. ἰδού σοι. φροῦδά μοι τὰ δράματα.
Δι. ἀλλ' οὐκέτ', ἀλλ' ἄπειμι. καὶ γάρ εἰμ' ἄγαν

452 *γλίσχρος*] *-ως* Su. λ 579 cod. A *τ'* codd.: del. Bentley *Εὐριπίδη*] *-ην* R*Φ 454 *σε* B, Bentley: *γε* cett., Su. π 1721: om. Su. δ 571, χ 458 458 *μἀλλὰ* Bentley: *μὴ ἀλλὰ* codd. 459 *κοτυλίσκιον* Athenaeus 479 B: *κυλίσκιον* codd., Su. α 3343: *κυλίκιον* Su. κ 2665 codd. GVM: *κυλικεῖον* Su. ibid. codd. AF *ἀποκεκρουμένον* Athenaeus, *γρ.* ap. Su. α 3343, Bachmann, *Anecdota graeca* 126, 1 (*Synagogae* codex B, α 1867): *-σμένον* codd. 460 *φθείρου* R: *φέρου* cett. *τόδ'* R: *ταῦτ'* cett. *ἴσθ'* $Γ^2E^2$L: *ἴσθι δ'* R: om. Φ 461 *οὔπω*] *οὔτοι* Thiersch 462 *τουτὶ μόνον* L: *μόνον τουτί* RΦ: *μόνον τοδί* c 463 post *μοι* interpunxit Olson, post *μόνον* (462) Reisig *σπογγίῳ* R, Su. β 224 : *σφο-* cett.

ὀχληρός, οὐ δοκῶν με κοιράνους ϲτυγεῖν.
οἴμοι κακοδαίμων, ὡς ἀπόλωλ'. ἐπελαθόμην
ἐν ᾧπέρ ἐϲτι πάντα μοι τὰ πράγματα.
Εὐριπίδιον, ὦ γλυκύτατον καὶ φίλτατον,
κάκιϲτ' ἀπολοίμην, εἴ τί ϲ' αἰτήϲαιμ' ἔτι,
πλὴν ἓν μόνον, τουτὶ μόνον, τουτὶ μόνον·
ϲκάνδικά μοι δὸς μητρόθεν δεδεγμένος.
Ευ. ἀνὴρ ὑβρίζει· κλῇε πηκτὰ δωμάτων.
Δι. ὦ θύμ', ἄνευ ϲκάνδικος ἐμπορευτέα.
ἆρ' οἶϲθ' ὅϲον τὸν ἀγῶν' ἀγωνιεῖ τάχα,
μέλλων ὑπὲρ Λακεδαιμονίων ἀνδρῶν λέγειν;
πρόβαινε νῦν, ὦ θυμέ· γραμμὴ δ' αὑτηί.
ἕϲτηκας; οὐκ εἶ, καταπιὼν Εὐριπίδην;
ἐπῄνεϲ'· ἄγε νυν, ὦ τάλαινα καρδία,
ἄπελθ' ἐκεῖϲε, κᾆτα τὴν κεφαλὴν ἐκεῖ
παράϲχεϲ εἰποῦϲ' ἅττ' ἂν αὐτῇ ϲοὶ δοκῇ.
τόλμηϲον, ἴθι, χώρηϲον. ἄγαμαι καρδίας.

Χο. τί δράϲειϲ; τί φήϲειϲ; ⟨εὖ⟩ ἴϲθι νυν
ἀναίϲχυντος ὢν ϲιδηροῦϲ τ' ἀνήρ,
ὅϲτις παραϲχὼν τῇ πόλει τὸν αὐχένα
ἅπαϲι μέλλειϲ εἷϲ λέγειν τἀναντία.
ἀνὴρ οὐ τρέμει τὸ πρᾶγμ'. εἶά νυν,
ἐπειδήπερ αὐτὸς αἱρεῖ, λέγε.

Δι. μή μοι φθονήϲητ', ἄνδρες οἱ θεώμενοι,
εἰ πτωχὸς ὢν ἔπειτ' ἐν Ἀθηναίοις λέγειν
μέλλω περὶ τῆς πόλεως, τρυγῳδίαν ποιῶν.
τὸ γὰρ δίκαιον οἶδε καὶ τρυγῳδία.

472 *με κοιράνουϲ*] *γε τυράννουϲ* R 475 *ὦ* Su. *φ* 453, codd. G, M s.l.: om. cett. (etiam P59) *καὶ* R: *ὦ* cett.: om. Su. *φίλτατον* Elmsley: *φιλτάτιον* codd., Su. 479 *ἀνὴρ* Elmsley: *ἀ-* codd. *κλῇε* Meineke: *κλεῖε* codd. 483 *νῦν*] *νυν* Elmsley 486 *ἄπελθ'*] *ἄγ' ἔλθ'* Meineke 488 *εἰποῦϲ'*] *εἰπέ θ'* Hamaker *δοκῇ* R[pc]E: *-εῖ* cett. 489 *καρδίας*] *καρδία* Porson, ut *ἄγαμαι* 'amabo' significet 490 suppl. Meineke: ⟨*ἀλλ'*⟩ Hermann 494 *ἀνὴρ* Elmsley: *ἀ-* codd. 495 *λέγε* R: *λέγειν* cett. 496 *οἱ*] *ὦ* R

ἐγὼ δὲ λέξω δεινὰ μέν, δίκαια δέ.
οὐ γάρ με νῦν γε διαβαλεῖ Κλέων ὅτι
ξένων παρόντων τὴν πόλιν κακῶϲ λέγω.
αὐτοὶ γάρ ἐϲμεν οὑπὶ Ληναίῳ τ᾽ ἀγών,
κοὔπω ξένοι πάρειϲιν· οὔτε γὰρ φόροι
ἥκουϲιν οὔτ᾽ ἐκ τῶν πόλεων οἱ ξύμμαχοι·
ἀλλ᾽ ἐϲμὲν αὐτοὶ νῦν γε περιεπτιϲμένοι·
{τοὺϲ γὰρ μετοίκουϲ ἄχυρα τῶν ἀϲτῶν λέγω.}
ἐγὼ δὲ μιϲῶ μὲν Λακεδαιμονίουϲ ϲφόδρα,
καὐτοῖϲ ὁ Ποϲειδῶν, οὑπὶ Ταινάρῳ θεόϲ,
ϲείϲαϲ ἅπαϲιν ἐμβάλοι τὰϲ οἰκίαϲ·
κἀμοὶ γάρ ἐϲτιν ἀμπέλια κεκομμένα.
ἀτάρ, φίλοι γὰρ οἱ παρόντεϲ ἐν λόγῳ,
τί ταῦτα τοὺϲ Λάκωναϲ αἰτιώμεθα;
ἡμῶν γὰρ ἄνδρεϲ, κοὐχὶ τὴν πόλιν λέγω,
μέμνηϲθε τοῦθ᾽, ὅτι οὐχὶ τὴν πόλιν λέγω,
ἀλλ᾽ ἀνδράρια μοχθηρά, παρακεκομμένα,
ἄτιμα καὶ παράϲημα καὶ παράξενα,
ἐϲυκοφάντει Μεγαρέων τὰ χλανίϲκια·
κεἴ που ϲίκυον ἴδοιεν ἢ λαγῴδιον
ἢ χοιρίδιον ἢ ϲκόροδον ἢ χόνδρουϲ ἅλαϲ,
ταῦτ᾽ ἦν Μεγαρικὰ κἀπέπρατ᾽ αὐθημερόν.
καὶ ταῦτα μὲν δὴ ϲμικρὰ κἀπιχώρια,
πόρνην δὲ Ϲιμαίθαν ἰόντεϲ Μεγαράδε
νεανίαι ᾽κκλέπτουϲι μεθυϲοκότταβοι·
κᾆθ᾽ οἱ Μεγαρῆϲ ὀδύναιϲ πεφυϲιγγωμένοι
ἀντεξέκλεψαν Ἀϲπαϲίαϲ πόρνα δύο·

502 *νῦν γε* R: *νῦν Φ*: *καὶ νῦν* L    508 v. del. Valckenaer, Dobree    510 *καὐτοῖϲ* R*Γ*: *αὐτοῖϲ* Su. *τ* 206: *καὐτὸϲ* cett.: *καὐτοῖϲιν* van Herwerden    *ὁ Ποϲειδῶν*] *αὖθιϲ* van Herwerden    512 *ἀμπέλια*] *τἀμπέλια* Meineke    *κεκομμένα*] *διακεκομμένα* R: *παρακεκομμένα* Su. *π* 358    515 *κοὐχὶ* R: *οὐχὶ* cett.    521 *χόνδρουϲ*] *-ρὰϲ* R    *ἅλαϲ* R: *ἁλόϲ* cett.    522 *κἀπέπρατ᾽* $E^2$: *κἀπέπραθ᾽* RL: *κἀπέπραχθ᾽ Φ*    525 *᾽κκλέπτουϲι* Cobet: *κλέπτ-* codd.    526 *Μεγαρῆϲ* R, Athenaeus 570A, Aristodemus (*FGrH* 104 F16): *-εῖϲ* cett.    527 *πόρνα Φ*L, sch. in P.Oxy. 856, Plut. *Per.* 30 codd. plerique: *-αϲ* R, Athenaeus, Aristodemus, Plut. *Per.* 30 cod. S

*κἀντεῦθεν ἀρχὴ τοῦ πολέμου κατερράγη*
*Ἕλληϲι πᾶϲιν ἐκ τριῶν λαικαϲτριῶν.*
*ἐντεῦθεν ὀργῇ Περικλέηϲ οὑλύμπιοϲ*
*ἤϲτραπτ', ἐβρόντα, ξυνεκύκα τὴν Ἑλλάδα,*
*ἐτίθει νόμουϲ ὥϲπερ ϲκόλια γεγραμμένουϲ,*
*ὡϲ χρὴ Μεγαρέαϲ μήτε γῇ μήτ' ἐν ἀγορᾷ*
*μήτ' ἐν θαλάττῃ μήτ' ἐν ἠπείρῳ μένειν.*
*ἐντεῦθεν οἱ Μεγαρῆϲ, ὅτε δὴ 'πείνων βάδην,*
*Λακεδαιμονίων ἐδέοντο τὸ ψήφιϲμ' ὅπωϲ*
*μεταϲτραφείη τὸ διὰ ταϲ λαικαϲτρίαϲ·*
*οὐκ ἠθέλομεν δ' ἡμεῖϲ δεομένων πολλάκιϲ.*
*κἀντεῦθεν ἤδη πάταγοϲ ἦν τῶν ἀϲπίδων.*
*ἐρεῖ τιϲ, "οὐ χρῆν"· ἀλλὰ τί ἐχρῆν, εἴπατε.*
*φέρ', εἰ Λακεδαιμονίων τιϲ ἐκπλεύϲαϲ ϲκάφει*
*ἀπέδοτο φῆναϲ κυνίδιον Ϲεριφίων,*
*καθῆϲθ' ἂν ἐν δόμοιϲιν; ἢ πολλοῦ γε δεῖ·*
*καὶ κάρτα μέντἂν εὐθέωϲ καθείλκετε*
*τριακοϲίαϲ ναῦϲ, ἦν δ' ἂν ἡ πόλιϲ πλέα*
*θορύβου ϲτρατιωτῶν, περὶ τριηράρχουϲ βοῆϲ,*
*μιϲθοῦ διδομένου, παλλαδίων χρυϲουμένων,*
*ϲτοᾶϲ ϲτεναχούϲηϲ, ϲιτίων μετρουμένων,*
*ἀϲκῶν, τροπωτήρων, κάδουϲ ὠνουμένων,*
*ϲκορόδων, ἐλαῶν, κρομμύων ἐν δικτύοιϲ,*
*ϲτεφάνων, τριχίδων, αὐλητρίδων, ὑπωπίων·*
*τὸ νεώριον δ' αὖ κωπέων πλατουμένων,*
*τύλων ψοφούντων, θαλαμιῶν τροπουμένων,*

528 *κἀντεῦθεν*] *κἀκεῖθεν* Athenaeus: *ἐνθένδ'* Aristodemus *ἀρχὴ τοῦ πολέμου*] *ὁ πόλεμοϲ ἐμφανῶϲ* Aristodemus *ἀρχὴ* Dobree: *ἀ-* codd. 531 *ἤϲτραπτ'* Aristodemus, Plinius *Epp.* 1.20: *ἤϲτραπτεν* codd. 533 *μήτε* Bentley: *μήτ' ἐν* codd. 535 *Μεγαρῆϲ* R$\Gamma^{pc}$: *-εῖϲ* cett. 538 *οὐκ* R: *κοὐκ* ΦL *δ'* R: om. cett. 540 *ἐχρῆν* R$\Gamma^{2}$: *χρῆν* cett. 541 *εἰ* P73 ut videtur, L: *εἰ καὶ* cett. *ἐκπλεύϲαϲ*] *εἰϲπλεῦϲαν* Blaydes, van Leeuwen 546 *τριηράρχουϲ* van Herwerden: *-ου* codd. 547 *διδομένου* RA: *-νων* cett. 549 *ἀϲκῶν, τροπωτήρων*] *-ουϲ, -αϲ* Blaydes 553 *τροπουμένων*] *τρυπωμένων* Morrison

αὐλῶν, κελευςτῶν, νιγλάρων, ςυριγμάτων.
ταῦτ' οἶδ' ὅτι ἂν ἐδρᾶτε· τὸν δὲ Τήλεφον
οὐκ οἰόμεςθα; νοῦς ἄρ' ἡμῖν οὐκ ἔνι.

ΗΜΙΧΟΡΙΟΝ Α

ἄληθες, ὦπίτριπτε καὶ μιαρώτατε;
ταυτὶ ςὺ τολμᾷς πτωχὸς ὢν ἡμᾶς λέγειν,
καὶ ςυκοφάντης εἴ τις ἦν ὠνείδιςας;

ΗΜΙΧΟΡΙΟΝ Β

νὴ τὸν Ποςειδῶ, καὶ λέγει γ' ἅπερ λέγει
δίκαια πάντα κοὐδὲν αὐτῶν ψεύδεται.
Ημ.[α] εἶτ' εἰ δίκαια, τοῦτον εἰπεῖν αὔτ' ἐχρῆν;
ἀλλ' οὔτι χαίρων ταῦτα τολμήςει λέγειν.
Ημ.[β] οὗτος ςύ, ποῖ θεῖς; οὐ μενεῖς; ὡς εἰ θενεῖς
τὸν ἄνδρα τοῦτον, αὐτὸς ἀρθήςει τάχα.
Ημ.[α] ἰὼ Λάμαχ', ὦ βλέπων ἀςτραπάς,
βοήθηςον, ὦ γοργολόφα, φανείς,
ἰὼ Λάμαχ', ὦ φίλ', ὦ φυλέτα·
εἴτε τις ἔςτι τα-
ξίαρχος ἢ ςτρατηγὸς ἢ
τειχομάχας ἀνήρ, βοηθηςάτω
τις ἀνύςας· ἐγὼ γὰρ ἔχομαι μέςος.

ΛΑΜΑΧΟC

πόθεν βοῆς ἤκουςα πολεμιςτηρίας;
ποῖ χρὴ βοηθεῖν; ποῖ κυδοιμὸν ἐμβαλεῖν;
τίς Γοργόν' ἐξήγειρεν ἐκ τοῦ ςάγματος;
Δι. ὦ Λάμαχ' ἥρως, τῶν λόφων καὶ τῶν λόχων.

556 οἰόμεςθα RL: -εςθα cett. ἡμῖν] ὑμῖν L 562 αὔτ'] ταῦτ' R
563 οὔτι Bentley: οὐδὲ RL: οὐδὲν Φ 566 ὦ Hermann: ἰὼ codd.
569 τις ἐςτὶ RΦ, Heliodorus ap. sch.: ἔςτι τις L: ἔςτι Δ, Grynaeus, Fritzsche
570 τειχομάχας Dobree: -μάχος codd. 571 τις] τάχ' Blaydes
ἀνύςας Elmsley: ἁ- codd.: non amplius notatur 575 λόφων] φίλων R

Ημ.[a] ὦ Λάμαχ', οὐ γὰρ οὗτος ἅνθρωπος πάλαι
ἅπασαν ἡμῶν τὴν πόλιν κακορροθεῖ;
Λα. οὗτος, cὺ τολμᾷc πτωχὸc ὢν λέγειν τάδε;
Δι. ὦ Λάμαχ' ἥρωc, ἀλλὰ cυγγνώμην ἔχε,
εἰ πτωχὸc ὢν εἶπόν τι κἀcτωμυλάμην.
Λα. τί δ' εἶπαc ἡμᾶc; οὐκ ἐρεῖc;
Δι. οὐκ οἶδά πω·
ὑπὸ τοῦ δέουc γὰρ τῶν ὅπλων εἰλιγγιῶ.
ἀλλ', ἀντιβολῶ c', ἀπένεγκέ μοι τὴν μορμόνα.
Λα. ἰδού.
Δι. παράθεc νυν ὑπτίαν αὐτὴν ἐμοί.
Λα. κεῖται.
Δι. φέρε νυν ἀπὸ τοῦ κράνουc μοι τὸ πτερόν.
Λα. τουτὶ πτίλον cοι.
Δι. τῆc κεφαλῆc νύν μου λαβοῦ,
ἵν' ἐξεμέcω· βδελύττομαι γὰρ τοὺc λόφουc.
Λα. οὗτοc, τί δράcειc; τῷ πτίλῳ μέλλειc ἐμεῖν;
πτίλον γάρ ἐcτιν—
Δι. εἰπέ μοι, τίνοc ποτὲ
ὄρνιθόc ἐcτιν; ἆρα κομπολακύθου;
Λα. οἴμ' ὡc τεθνήξειc.
Δι. μηδαμῶc, ὦ Λάμαχε·
οὐ γὰρ κατ' ἰcχύν ἐcτιν· εἰ δ' ἰcχυρὸc εἶ,
τί μ' οὐκ ἀπεψώληcαc; εὔοπλοc γὰρ εἶ.
Λα. ταυτὶ λέγειc cὺ τὸν cτρατηγὸν πτωχὸc ὤν,
Δι. ἐγὼ γάρ εἰμι πτωχόc;
Λα. ἀλλὰ τίc γὰρ εἶ;
Δι. ὅcτιc; πολίτηc χρηcτόc, οὐ cπουδαρχίδηc,

576 ἅνθρωποc Elmsley: ἄ- codd. 577a v. del. Valckenaer 580 πω] Λα. πῶc; Bergk: ἔτι Blaydes 581 εἰλιγγιῶ Su. ει 120: ἠλ- R: ἰλ- cett. 582 μοι $E^2Γ^2$: μου cett., Su. μ 1252 583 ἐμοί] Λα. ἰδού Meineke: an cύ μοι? 584 μοι τὸ] δόc μοι Blaydes: ἐμοὶ Bachmann 588 personarum vices ita distinxit Bothe: πτίλον γάρ ἐcτιν; Dicaeopoli tribuit Elmsley 590 τεθνήξειc Dawes: -ήξῃ A: -ήξει B: -ήcῃ vel -ήcει cett. 591 ἐcτίν] coὐcτίν Meineke 593 v. a Wilamowitz deletum praebet P19

ἀλλ' ἐξ ὅτου περ ὁ πόλεμοϲ, ϲτρατωνίδηϲ,
ϲὺ δ' ἐξ ὅτου περ ὁ πόλεμοϲ, μιϲθαρχίδηϲ.
Λα. ἐχειροτόνηϲαν γάρ με—
Δι. κόκκυγέϲ γε τρεῖϲ.
ταῦτ' οὖν ἐγὼ βδελυττόμενοϲ ἐϲπειϲάμην,
ὁρῶν πολιοὺϲ μὲν ἄνδραϲ ἐν ταῖϲ τάξεϲιν,
νεανίαϲ δ' οἵουϲ ϲὺ διαδεδρακόταϲ,
τοὺϲ μὲν ἐπὶ Θρᾴκηϲ μιϲθοφοροῦνταϲ τρεῖϲ δραχμάϲ,
Τειϲαμενοφαινίππουϲ, Πανουργιππαρχίδαϲ,
ἑτέρουϲ δὲ παρὰ Χάρητι, τοὺϲ δ' ἐν Χάοϲιν,
Γερητοθεοδώρουϲ, Διομειαλαζόναϲ,
τοὺϲ δ' ἐν Καμαρίνῃ κἀν Γέλᾳ κἀν Καταγέλᾳ.
Λα. ἐχειροτονήθηϲαν γάρ.
Δι. αἴτιον δὲ τί
ὑμᾶϲ μὲν ἀεὶ μιϲθοφορεῖν ἁμηγέπῃ,
τωνδὶ δὲ μηδέν'; ἐτεόν, ὦ Μαριλάδη,
ἤδη πεπρέϲβευκαϲ ϲὺ πολιὸϲ ὢν † ἓν ᾗ; †
ἀνένευϲε· καίτοι γ' ἐϲτὶ ϲώφρων κἀργάτηϲ.
τί δ' Ἀνθράκυλλοϲ κεὐφορίδηϲ καὶ Πρινίδηϲ;
εἶδέν τιϲ ὑμῶν τἀκβάταν' ἢ τοὺϲ Χάοναϲ;
οὔ φαϲιν. ἀλλ' ὁ Κοιϲύραϲ καὶ Λάμαχοϲ,
οἷϲ ὑπ' ἐράνων τε καὶ χρεῶν πρῴην ποτέ,
ὥϲπερ ἀπόνιπτρον ἐκχέοντεϲ ἑϲπέραϲ,
ἅπαντεϲ "ἐξίϲτω" παρῄνουν οἱ φίλοι.
Λα. ὦ δημοκρατία, ταῦτα δῆτ' ἀναϲχετά;
Δι. οὐ δῆτ', ἐὰν μὴ μιϲθοφορῇ γε Λάμαχοϲ.
Λα. ἀλλ' οὖν ἐγὼ μὲν πᾶϲι Πελοποννηϲίοιϲ
ἀεὶ πολεμήϲω καὶ ταράξω πανταχῇ,

598 γε Bentley: τε ΦL: om. R 601 οἵουϲ] οἷοϲ Γ², Bentley ϲὺ] ϲὲ Holden 603 Τειϲαμενοφαινίππουϲ Hall & Geldart: Τιϲ- codd. 608 ἀεὶ R, Su. α 1575: om. Φ: ἤδη L ἁμηγέπῃ Φ, Su. in lm.: -έπου RΓ²E²L: -έποι Su. in textu 610 ἓν ᾗ fere codd.: μίαν vel ἀνήρ Blaydes: alii alia 612 δ' Ἀνθράκυλλοϲ Reiske: δαὶ Δράκυλλοϲ codd. καὶ Blaydes: ἢ P19, codd. 613 εἶδεν B: οἶδε(ν) cett. 615 ὑπ' Bentley: ὑπὲρ P19, codd. ἐράνων Reisig, cf. sch. ad 617: ἐράνου codd.

καὶ ναυϲὶ καὶ πεζοῖϲι κατὰ τὸ καρτερόν.

Δι. ἐγὼ δὲ κηρύττω γε Πελοποννηϲίοιϲ
ἅπαϲι καὶ Μεγαρεῦϲι καὶ Βοιωτίοιϲ
πωλεῖν ἀγοράζειν πρὸϲ ἐμέ, Λαμάχῳ δὲ μή.

Χο. ἀνὴρ νικᾷ τοῖϲι λόγοιϲιν, καὶ τὸν δῆμον μεταπείθει
περὶ τῶν ϲπονδῶν. ἀλλ' ἀποδύντεϲ τοῖϲ ἀναπαίϲτοιϲ ἐπίωμεν.
ἐξ οὗ γε χοροῖϲιν ἐφέϲτηκεν τρυγικοῖϲ ὁ διδάϲκαλοϲ ἡμῶν,
οὔπω παρέβη πρὸϲ τὸ θέατρον λέξων ὡϲ δεξιόϲ ἐϲτιν·
διαβαλλόμενοϲ δ' ὑπὸ τῶν ἐχθρῶν ἐν Ἀθηναίοιϲ ταχυβούλοιϲ,
ὡϲ κωμῳδεῖ τὴν πόλιν ἡμῶν καὶ τὸν δῆμον καθυβρίζει,
ἀποκρίναϲθαι δεῖται νυνὶ πρὸϲ Ἀθηναίουϲ μεταβούλουϲ.
φηϲὶν δ' εἶναι πολλῶν ἀγαθῶν ἄξιοϲ ὑμῖν ὁ ποιητήϲ,
παύϲαϲ ὑμᾶϲ ξενικοῖϲι λόγοιϲ μὴ λίαν ἐξαπατᾶϲθαι,
μηδ' ἥδεϲθαι θωπευομένουϲ, μηδ' εἶναι χαυνοπολίταϲ.
πρότερον δ' ὑμᾶϲ ἀπὸ τῶν πόλεων οἱ πρέϲβειϲ ἐξαπατῶντεϲ
πρῶτον μὲν ἰοϲτεφάνουϲ ἐκάλουν· κἀπειδὴ τοῦτό τιϲ εἴποι,
εὐθὺϲ διὰ τοὺϲ ϲτεφάνουϲ ἐπ' ἄκρων τῶν πυγιδίων ἐκάθηϲθε.
εἰ δέ τιϲ ὑμᾶϲ ὑποθωπεύϲαϲ λιπαρὰϲ καλέϲειεν Ἀθήναϲ,

623 γε P19, B, Bentley: γε καὶ cett. 626 ἀνὴρ Elmsley: ἀ- codd. λόγοιϲιν L: -οιϲι cett. 627 τοῖϲ ἀναπαίϲτοιϲ] τοὺϲ -ουϲ L 628 ἐφέϲτηκεν Γ: -κε cett. 631 ἡμῶν] ὑμῶν Fritzsche 633 ἄξιοϲ P19, codd.: αἴτιοϲ Bentley ὑμῖν R: ἡμῖν cett. 634 λόγοιϲ Musurus: -οιϲι codd. 635 μηδ' . . . μηδ' Meineke: μηδ' . . . μήτ' RE: μήτ' . . . μήτ' ΑΓL 636 οἱ πρέϲβειϲ hic praebet P19, ut voluit Bentley, ante ἀπὸ τῶν πόλεων praebent codd.

ηὕρετο πᾶν ἂν διὰ τὰϲ λιπαράϲ, ἀφύων τιμὴν περιάψαϲ.
ταῦτα ποιήϲαϲ πολλῶν ἀγαθῶν αἴτιοϲ ὑμῖν γεγένηται
καὶ τοῖϲ δήμοιϲ ἐν ταῖϲ πόλεϲιν, δείξαϲ ὡϲ δημοκρατοῦνται.
τοιγάρτοι νῦν ἐκ τῶν πόλεων τὸν φόρον ὑμῖν ἀπάγοντεϲ
ἥξουϲιν ἰδεῖν ἐπιθυμοῦντεϲ τὸν ποιητὴν τὸν ἄριϲτον,
ὅϲτιϲ παρεκινδύνευϲ' εἰπεῖν ἐν Ἀθηναίοιϲ τὰ δίκαια.
ὄντωϲ δ' αὐτοῦ περὶ τῆϲ τόλμηϲ ἤδη πόρρω κλέοϲ ἥκει,
ὅτε καὶ βαϲιλεὺϲ Λακεδαιμονίων τὴν πρεϲβείαν βαϲανίζων
ἠρώτηϲεν πρῶτα μὲν αὐτοὺϲ πότεροι ταῖϲ ναυϲὶ κρατοῦϲιν,
εἶτα δὲ τοῦτον τὸν ποιητὴν ποτέρουϲ εἴποι κακὰ πολλά·
τούτουϲ γὰρ ἔφη τοὺϲ ἀνθρώπουϲ πολὺ βελτίουϲ γεγενῆϲθαι
καὶ τῷ πολέμῳ πολὺ νικήϲειν τοῦτον ξύμβουλον ἔχονταϲ.
διὰ τοῦθ' ὑμᾶϲ Λακεδαιμόνιοι τὴν εἰρήνην προκαλοῦνται
καὶ τὴν Αἴγιναν ἀπαιτοῦϲιν· καὶ τῆϲ νήϲου μὲν ἐκείνηϲ
οὐ φροντίζουϲ', ἀλλ' ἵνα τοῦτον τὸν ποιητὴν ἀφέλωνται.

640 ηὕρετο Elmsley: εὕρετο RE$^2$Γ$^2$, Su. α 4660: εὗρε τὸ cett. 641 αἴτιοϲ] ἄξιοϲ Blaydes 642 τοῖϲ δήμοιϲ Richards, puncto post 641 γεγένηται sublato: τοὺϲ δήμουϲ codd. πόλεϲιν L: -ϲι cett. 643 ἐκ] οὐκ van Herwerden 645 εἰπεῖν huc transp. Hermann: post Ἀθηναίοιϲ praebent codd. 646 ὄντωϲ Richards: οὕτω codd. 648 ἠρώτηϲεν Bentley: -ηϲε codd. 652 τοῦθ'] ταῦθ' R, cf. sch. in P.Oxy. 856 (διὰ δὲ ταῦτα) 653 ἀπαιτοῦϲιν P19, ΓΒ: -ϲι cett.

ἀλλ' ὑμεῖϲ τοι μή ποτ' ἀφῆϲθ'· ὡϲ κωμῳδήϲει τὰ δίκαια·
φηϲὶν δ' ὑμᾶϲ πολλὰ διδάξειν ἀγάθ', ὥϲτ' εὐδαίμοναϲ εἶναι,
οὐ θωπεύων οὐδ' ὑποτείνων μιϲθοὺϲ οὐδ' ἐξαπατύλλων,
οὐδὲ πανουργῶν οὐδὲ κατάρδων, ἀλλὰ τὰ βέλτιϲτα διδάϲκων.
πρὸϲ ταῦτα Κλέων καὶ παλαμάϲθω
καὶ πᾶν ἐπ' ἐμοὶ τεκταινέϲθω.
τὸ γὰρ εὖ μετ' ἐμοῦ καὶ τὸ δίκαιον
ξύμμαχον ἔϲται, κοὐ μή ποθ' ἁλῶ
περὶ τὴν πόλιν ὢν ὥϲπερ ἐκεῖνοϲ
δειλὸϲ καὶ λακαταπύγων.

δεῦρο, Μοῦϲ', ἐλθὲ φλεγυρά, πυρὸϲ ἔχουϲα μένοϲ, [ϲτρ.
ἔντονοϲ Ἀχαρνική.
οἷον ἐξ ἀνθράκων πρινίνων φέψαλοϲ ἀν-
ήλατ' ἐρεθιζόμενοϲ οὐρίᾳ ῥιπίδι,
ἡνίκ' ἂν ἐπανθρακίδεϲ ὦϲι παρακείμεναι,
οἱ δὲ Θαϲίαν ἀνακυκῶϲι λιπαράμπυκα,
οἱ δὲ μάττωϲιν, οὕτω ϲοβαρὸν ἐλθὲ μέλοϲ
εὔτονον, ἀγροικότερον,
ὡϲ ἐμὲ λαβοῦϲα τὸν δημότην.

οἱ γέροντεϲ οἱ παλαιοὶ μεμφόμεϲθα τῇ πόλει·
οὐ γὰρ ἀξίωϲ ἐκείνων ὧν ἐναυμαχήϲαμεν
γηροβοϲκούμεϲθ' ὑφ' ὑμῶν, ἀλλὰ δεινὰ πάϲχομεν,
οἵτινεϲ γέρονταϲ ἄνδραϲ ἐμβαλόντεϲ εἰϲ γραφὰϲ

655 *ἀφῆϲθ'* Hermann: *ἀφήϲετε* R: *ἀφήϲεθ'* *Φ*: *ἀφήϲετ'* L: *ἀφῆθ'* Tyrwhitt 656 *φηϲὶν* E$^{pc}$L: *φήϲειν* R: *φηϲὶ* cett. 657 *οὐδ' . . . οὐδ'* Su. *υ* 612: *οὔτ' . . . οὐδ'* R: *οὔτ' . . . οὔτ'* cett. *ὑποτείνων* B, Su.: *-τίνων* cett. 658 *οὐδὲ* (bis) R: *οὔτε* cett. 664 *λακαταπύγων* L: *λακαττα-* A*Γ*: *καταπύγων* RE: *λακκοκαττα-* E$^2$*Γ*$^2$ 668 *οἷον* *Γ*$^{pc}$L: *οἵων* R*Φ* 671 *ἀνακυκῶϲι* R, Bergler: *κυκῶϲι* Su. *θ* 58: *ἀνακυκλῶϲι* vel *-κλοῦϲι* cett. 673 *εὔτονον*] *ἔντονον* A *ἀγροικότερον* *Φ*: *-ότατον* *Γ*$^{pc}$ cett. 678 *γηροβοϲκούμεϲθ'* *Φ*: *-ουμεθ'* cett.

ὑπὸ νεανίϲκων ἐᾶτε καταγελᾶϲθαι ῥητόρων,
οὐδὲν ὄνταϲ, ἀλλὰ κωφοὺϲ καὶ παρεξηυλημένουϲ,
οἷϲ Ποϲειδῶν ἀϲφάλειόϲ ἐϲτιν ἡ βακτηρία·
τονθορύζοντεϲ δὲ γήρᾳ τῷ λίθῳ προϲέϲταμεν,
οὐχ ὁρῶντεϲ οὐδὲν εἰ μὴ τῆϲ δίκηϲ τὴν ἠλύγην.
ὁ δὲ νεανίαϲ ἑαυτῷ ϲπουδάϲαϲ ξυνηγορεῖν
εἰϲ τάχοϲ παίει ξυνάπτων ϲτρογγύλοιϲ τοῖϲ ῥήμαϲιν·
κᾆτ' ἀνελκύϲαϲ ἐρωτᾷ, ϲκανδάληθρ' ἱϲτὰϲ ἐπῶν,
ἄνδρα Τιθωνὸν ϲπαράττων καὶ ταράττων καὶ κυκῶν.
ὁ δ' ὑπὸ γήρωϲ μαϲταρύζει, κᾆτ' ὀφλὼν ἀπέρχεται,
εἶτ' ἀλύει καὶ δακρύει καὶ λέγει πρὸϲ τοὺϲ φίλουϲ,
"οὗ μ' ἐχρῆν ϲορὸν πρίαϲθαι, τοῦτ' ὀφλὼν ἀπέρχομαι."

ταῦτα πῶϲ εἰκότα, γέροντ' ἀπολέϲαι πολιὸν [ἀντ.
ἄνδρα περὶ κλεψύδραν,
πολλὰ δὴ ξυμπονήϲαντα καὶ θερμὸν ἀπο-
μορξάμενον ἀνδρικὸν ἱδρῶτα δὴ καὶ πολύν,
ἄνδρ' ἀγαθὸν ὄντα Μαραθῶνι περὶ τὴν πόλιν;
εἶτα Μαραθῶνι μὲν ὅτ' ἦμεν, ἐδιώκομεν,
νῦν δ' ὑπ' ἀνδρῶν πονηρῶν ϲφόδρα διωκόμεθα,
κᾆτα πρὸϲ ἁλιϲκόμεθα;
πρὸϲ τάδε τίϲ ἀντερεῖ Μαρψίαϲ;

τῷ γὰρ εἰκὸϲ ἄνδρα κυφόν, ἡλίκον Θουκυδίδην,
ἐξολέϲθαι ϲυμπλακέντα τῇ Ϲκυθῶν ἐρημίᾳ,
τῷδε τῷ Κηφιϲοδήμου, τῷ λάλῳ ξυνηγόρῳ;
ὥϲτ' ἐγὼ μὲν ἠλέηϲα κἀπεμορξάμην ἰδὼν
ἄνδρα πρεϲβύτην ὑπ' ἀνδρὸϲ τοξότου κυκώμενον·
ὃϲ μὰ τὴν Δήμητρ', ἐκεῖνοϲ ἡνίκ' ἦν Θουκυδίδηϲ,

682 οἷϲ L: οἷϲ ὁ cett. 684 εἰ μὴ codd., Su. η 270: ἀλλ' ἢ Dobree 685 v. multum tentatus; nulla emendatio arridet; si contextus sanus est, iuvenis cum nomen detulisset, effecit ut ipse accusaret 689, 691 ὀφλὼν Elmsley: ὄφλων codd. 690 ἀλύει ut v.l. agnoscunt Su. λ 798 et sch.: λύζει codd. 691 ἀπέρχομαι] ἀπώλεϲα Richards 701 πρὸϲ ἁλ- fortasse voluit R: προϲαλ- cett. notam interrogationis posuit Sommerstein 705 Κηφιϲοδήμου Hamaker: -δόμῳ Φ: -δήμῳ RΓ$^{pc}$L

οὐδ' ἂν αὐτὴν τὴν Ἀχαιὰν ῥᾳδίωϲ ἠνέϲχετ' ἄν,
ἀλλὰ κατεπάλαιϲε μένταν πρῶτον Εὐάθλουϲ δέκα,
κατεβόηϲε δ' ἂν κεκραγὼϲ τοξότας τριϲχιλίουϲ,
ὑπερετόξευϲεν δ' ἂν αὐτοὺϲ τοῦ πατρὸϲ τοὺϲ ξυγγενεῖϲ.
ἀλλ' ἐπειδὴ τοὺϲ γέρονταϲ οὐκ ἐᾶθ' ὕπνου τυχεῖν,
ψηφίϲαϲθε χωρὶϲ εἶναι τὰϲ γραφάϲ, ὅπωϲ ἂν ᾖ
τῷ γέροντι μὲν γέρων καὶ νωδὸϲ ὁ ξυνήγοροϲ,
τοῖϲ νέοιϲι δ' εὐρύπρωκτοϲ καὶ λάλοϲ χὠ Κλεινίου.
κἀξελαύνειν χρὴ τὸ λοιπόν, κἂν φύγῃ τιϲ ζημιοῦν,
τὸν γέροντα τῷ γέροντι, τὸν νέον δὲ τῷ νέῳ.

Δι. ὅροι μὲν ἀγορᾶϲ εἰϲιν οἵδε τῆϲ ἐμῆϲ.
ἐνταῦθ' ἀγοράζειν πᾶϲι Πελοποννηϲίοιϲ
ἔξεϲτι καὶ Μεγαρεῦϲι καὶ Βοιωτίοιϲ,
ἐφ' ᾧτε πωλεῖν πρὸϲ ἐμέ, Λαμάχῳ δὲ μή.
ἀγορανόμουϲ δὲ τῆϲ ἀγορᾶϲ καθίϲταμαι
τρεῖϲ τοὺϲ λαχόνταϲ τούϲδ' ἱμάνταϲ ἐκ Λεπρῶν.
ἐνταῦθα μήτε ϲυκοφάντηϲ εἰϲίτω
μήτ' ἄλλοϲ ὅϲτιϲ Φαϲιανόϲ ἐϲτ' ἀνήρ.
ἐγὼ δὲ τὴν ϲτήλην καθ' ἣν ἐϲπειϲάμην
μέτειμ', ἵνα ϲτήϲω φανερὰν ἐν τἀγορᾷ.

ΜΕΓΑΡΕΥϹ

ἀγορὰ 'ν Ἀθάναιϲ, χαῖρε, Μεγαρεῦϲιν φίλα.
ἐπόθουν τυ, ναὶ τὸν φίλιον, ᾇπερ ματέρα.
ἀλλ', ὦ πόνηρα κορίχι' ἀθλίου πατρόϲ,

709 αὐτὴν τὴν Ἀχαιὰν obscurum (Ἀχαίαν paroxytone Su. α 4679): αὐτὸν Ἀρταχαίην Borthwick: alii alia: αὐτὸν τὸν Ἀνάχαρϲιν dubitanter Wilson alterum ἂν *Et. Magn.* 180.35: om. codd. 710 μέντ' ἂν Reiske: μὲν RΦ: μὲν ἂν E²Γ² cett.: μέν γ' ἂν Bentley 712 ὑπερετόξευϲεν Blaydes (1845): περιετόξευϲε codd. αὐτοὺϲ Blaydes: αὐτοῦ codd. 717 κἂν Elmsley: κῆν codd. φύγῃ obscurum, sed nulla emendatio arridet 720 πᾶϲι R: om. Φ: τοῖϲι L: εἶπε c 728 φανερὰν] -ρῶϲ R 729 ἀγορὰ 'ν Lc: ἀγορ' ἂν fere cett. Ἀθάναιϲ RΓ²E²L: -ναϲ Φc 731 κορίχι' Sommerstein: κόριχ' R: κόρι' Φc: κόριά γ' L

ἄμβατε ποττὰν μάδδαν, αἴ χ' εὕρητέ πᾳ.
ἀκούετε δή, ποτέχετ' ἐμὶν τὰν γαϲτέρα·
πότερα πεπρᾶϲθαι χρῄδδετ' ἢ πεινῆν κακῶϲ;

ΚΟΡΑ

πεπρᾶϲθαι πεπρᾶϲθαι.

Με. ἐγώνγα καὐτόϲ φαμι. τίϲ δ' οὕτωϲ ἄνουϲ
ὃϲ ὑμέ κα πρίαιτο, φανερὰν ζαμίαν;
ἀλλ' ἔϲτι γάρ μοι Μεγαρικά τιϲ μαχανά,
χοίρουϲ γὰρ ὑμὲ ϲκευάϲαϲ φαϲῶ φέρειν.
περίθεϲθε τάϲδε τὰϲ ὁπλὰϲ τὼϲ χοιρία.
ὅπωϲ δὲ δοξεῖτ' ἦμεν ἐξ ἀγαθᾶϲ ὑόϲ·
ὡϲ ναὶ τὸν Ἑρμᾶν, αἴπερ ἰξεῖτ' οἴκαδιϲ
ἄπρατα, πειραϲεῖϲθε τᾶϲ λιμοῦ κακῶϲ.
ἀλλ' ἀμφίθεϲθε καὶ ταδὶ τὰ ῥυγχία,
κἤπειτεν ἐϲ τὸν ϲάκκον ὧδ' ἐϲβαίνετε.
ὅπωϲ δὲ γρυλιξεῖτε καὶ κοΐξετε
χἠϲεῖτε φωνὰν χοιρίων μυϲτηρικῶν.
ἐγὼν δὲ καρυξῶ Δικαιόπολιν ὅπᾳ·
Δικαιόπολι, ἦ λῇϲ πρίαϲθαι χοιρία;

Δι. τί; ἀνὴρ Μεγαρικόϲ;

Με. ἀγοραϲοῦντεϲ ἵκομεϲ.

Δι. πῶϲ ἔχετε;

Με. διαπεινᾶμεϲ ἀεὶ ποττὸ πῦρ.

Δι. ἀλλ' ἡδύ τοι νὴ τὸν Δί', ἢν αὐλὸϲ παρῇ.

732 ἄμβατε Dindorf: ἀμβᾶτε codd. ποττὰν Γ$^{pc}$L: ποτὰν RΦ: ποτὶ τὰν c πᾳ] πα R$^{pc}$EL 733 ἀκούετε c: ἀκούετον cett. ποτέχετ' ἐμὶν] ποτέχετον Bentley 737 ὑμέ κα RΦ: ὑμᾶϲ c: ὑμέων L πρίαιτο Musurus: πρίατο RΦ: ἐπρίατο Lc 738 μαχανά L: μη- cett. 740 τὼϲ χοιρία Hamaker: τῶν χοιρίων codd. 741 ἦμεν] εἰμὲν c: εἶμεν Dindorf 742 αἴπερ Elmsley: εἴπερ codd. ἰξεῖτ' R: ἴξετ' fere cett. 743 ἄπρατα Ahrens: τὰ πρᾶτα ΓEL: τὰ πρῶτα cett. λιμοῦ] λιμῶ B 745 κἤπειτεν Γ$^{pc}$Lc: κἤπειτ' Φ: κἄπειτ' R 746 γρυλιξεῖτε E$^{ac}$c: γρυλλ- cett. 748 ἐγὼν ALc: ἐγὼ P19, cett. post καρυξῶ add. γε codd. praeter R 749 Δικαιόπολι R: -πολιϲ cett. [P19] 750 ἀγοραϲοῦντεϲ Elmsley: -οντεϲ P19, codd. ἵκομεϲ Elmsley: εἴκομεϲ P19: ἵκομεν R: ἥκομεν cett.

τί δ' ἄλλο πράττεθ' οἱ Μεγαρῆc νῦν;
Με. οἷα δή.
ὄκα μὲν ἐγὼν τηνῶθεν ἐνεπορευόμαν,
τὤνδρεc πρόβουλοι τοῦτ' ἔπραccον τᾷ πόλι,
ὅπωc τάχιcτα καὶ κάκιcτ' ἀπολοίμεθα.
Δι. αὐτίκ' ἄρ' ἀπαλλάξεcθε πραγμάτων.
Με. cá μάν;
Δι. τί δ' ἄλλο Μεγαροῖ; πῶc ὁ cῖτοc ὤνιοc;
Με. πὰρ ἁμὲ πολυτίματοc ᾇπερ τοὶ θεοί.
Δι. ἅλαc οὖν φέρειc;
Με. οὐχ ὑμὲc αὐτᾶν ἄρχετε;
Δι. οὐδὲ cκόροδα;
Με. ποῖα cκόροδ'; ὑμὲc τῶν ἀεί,
ὄκκ' ἐcβάλητε, τὼc ἀρουραῖοι μύεc,
πάccακι τὰc ἄγλιθαc ἐξορύccετε.
Δι. τί δαὶ φέρειc;
Με. χοίρουc ἐγώνγα μυcτικάc.
Δι. καλῶc λέγειc· ἐπίδειξον.
Με. ἀλλὰ μὰν καλαί.
ἄντεινον, αἰ λῇc· ὡc παχεῖα καὶ καλά.
Δι. τουτὶ τί ἦν τὸ πρᾶγμα;
Με. χοῖροc ναὶ Δία.
Δι. τί λέγειc cύ; ποδαπὴ χοῖροc ἥδε;
Με. Μεγαρικά.
ἦ οὐ χοῖρόc ἐcθ' ἅδ';
Δι. οὐκ ἔμοιγε φαίνεται.
Με. οὐ δεινά; θᾶcθε· τοῦδε τᾶc ἀπιcτίαc·

753 *Μεγαρῆc* P19, R s.l., E$^{pc}$: *-εῖc* cett. 754 *ἐγὼν Φ*: *ἐγὼ* P19, R: *γα* L *ἐνεπορευόμαν* van Leeuwen: *ἐμπορ-* codd. 755 *τὤνδρεc* Elmsley, cf. 759: *ἄνδρεc* codd. *τοῦτ'*] *ταῦτ'* R *ἔπραccον* Elmsley: *ἔπραττον* codd. *τᾷ* Brunck: *τῇ* codd. *πόλι* Ahrens: *πόλει* codd. 760 *αὐτᾶν* Olson: *-ῶν* codd. 761 *τῶν* R: *ὧν* cett. *ἀρουραῖοι* P19, R, Su. α 270: *ἀρωρ-* cett. 766 *παχεῖα καὶ καλά*] *-αι καὶ -αί* L 767 *ναὶ* L: *νὴ* R: *ναὶ μὰ* P19, cett. 768 *χοῖροc ἥδε* P19, R: *χοῖροc Φ: δ' ἐcτι χοῖροc* vel sim. cett. 770 v. sic interpunxit van Leeuwen *τοῦδε*] *τόνδε* Elmsley *τᾶc* Elmsley: *τὰc* codd.

οὔ φατι τάνδε χοῖρον ἦμεν. ἀλλὰ μάν,
αἰ λῇς, περίδου μοι περὶ θυμιτιδᾶν ἁλῶν,
αἰ μή ʼστιν οὗτος χοῖρος Ἑλλάνων νόμῳ.
Δι. ἀλλʼ ἔςτιν ἀνθρώπου γε.
Με. ναὶ τὸν Διοκλέα,
ἐμά γα. τὺ δέ νιν εἴμεναι τίνος δοκεῖς;
ἦ λῇς ἀκοῦςαι φθεγγομένας;
Δι. νὴ τοὺς θεοὺς
ἔγωγε.
Με. φώνει δὴ τὺ ταχέως, χοιρίον.
οὐ χρῇςθα; ςιγῇς, ὦ κάκιςτʼ ἀπολουμένα;
πάλιν τυ ἀποιςῶ, ναὶ τὸν Ἑρμᾶν, οἴκαδις.

ΚΟΡΗ
κοῒ κοΐ.
Με. αὕτα ʼςτὶ χοῖρος.
Δι. νῦν γε χοῖρος φαίνεται.
ἀτὰρ ἐκτραφείς γε κύςθος ἔςται.
Με. πέντʼ ἐτῶν,
ςάφʼ ἴςθι, ποττὰν ματέρʼ εἰκαςθήςεται.
Δι. ἀλλʼ οὐδὲ θύςιμός ἐςτιν αὑτηγί.
Με. ςά μάν;
πᾷ δʼ οὐχὶ θύςιμός ἐςτι;
Δι. κέρκον οὐκ ἔχει.

771 φατι] φαςι R τάνδε R: τόνδε cett. ἦμεν] εἶμεν Dindorf 772 θυμιτιδᾶν Γ$^{ac}$E$^{ac}$(?): θυμιτίδων Su. θ 566 cod. A: θυμη- vel θυμα- fere codd.: θυμιταν P19$^{ac}$, θυμιτιναν$^{pc}$ 775 τὺ P19: ςὺ codd. εἴμεναι P19, codd. plerique: ἤμεναι E$^{2}$Γ$^{2}$: εἶμεν Hamaker, ἐκ Meineke, fort. recte 777 τὺ Kuster: ςὺ P19$^{pc}$, codd.: ται P19$^{ac}$: τι (post ταχέως) Wilamowitz χοιρίον Bentley: τὸ χοιρίον R: χοιρίδιον P19, cett.: χοίρινον Page 778 ςιγῇς Fritzsche: ςι]γης P19: ςιγῆς codd. plerique: ςιγᾶς EΓ$^{pc}$: ςιγῇν Greg. Cor. *De dialectis* p. 228 ἀπολουμένα Kuster: -ούμενα codd. 779 τυ Blaydes: τʼ R: τύ γʼ cett. 780 *ΚΟΡΗ* Brunck: *ΚΟΡΑΙ* codd. plerique κοῒ bis codd., septies(?) P19 781 χοῖρος; edd. praeter Elmsley, qui personarum vices distinxit in vv. 781–2 784 οὐδὲ] οὐ R: οὐχὶ Dindorf αὑτηγί P19, ΑΓ: -ηί REL ςά] τί L: ναὶ ς

Με. νέα γάρ ἐστιν· ἀλλὰ δελφακουμένα
ἑξεῖ μεγάλαν τε καὶ παχεῖαν κἠρυθράν.
ἀλλ' αἰ τράφεν λῇς, ἅδε τοι χοῖρος καλά.
Δι. ὡς ξυγγενὴς ὁ κύσθος αὐτῆς θἠτέρᾳ.
Με. ὁμοματρία γάρ ἐστι κὴκ τωὐτῶ πατρός.
ἀλλ' ἂν παχυνθῇ κἂν ἀναχνοανθῇ τριχί,
κάλλιστος ἔσται χοῖρος Ἀφροδίτᾳ θύειν.
Δι. ἀλλ' οὐχὶ χοῖρος τἀφροδίτῃ θύεται,
Με. οὐ χοῖρος Ἀφροδίτᾳ; μόνᾳ γα δαιμόνων.
καὶ γίνεταί γα τᾶνδε τᾶν χοίρων τὸ κρῆς
ἅδιστον ἂν τὸν ὀδελὸν ἀμπεπαρμένον.
Δι. ἤδη δ' ἄνευ τῆς μητρὸς ἐσθίοιεν ἄν;
Με. ναὶ τὸν Ποτειδᾶ καί κ' ἄνις γα τῶ πατρός.
Δι. τί δ' ἐσθίει μάλιστα;
Με. πάνθ' ἅ κα διδῷς.
αὐτὸς δ' ἐρώτη.
Δι. χοῖρε, χοῖρε.
Κο. κοΐ κοΐ.
Δι. τρώγοις ἂν ἐρεβίνθους;
Κο. κοΐ κοΐ κοΐ.
Δι. τί δαί; Φιβάλεως ἰσχάδας;
Κο. κοΐ κοΐ.

786 νέα] νεαρά sch. ad v. 739 788 αἰ] εἰ R τράφεν RΦ: τρέφεν L: τράφειν A. Müller 789 θἠτέρᾳ Holford-Strevens: θατέρᾳ codd. 790 τωὐτῶ R: τωὐτοῦ Φ: ταὐτοῦ L 791 ἀλλ' ἂν P19, R: αἰ δ' ἂν cett., unde αἰ δ' ἀμπαχυνθῇ Wilamowitz: ἀλλ' αἰ Ahrens: αἴ κα vel καΐ κα Blaydes κἂν ἀναχνοανθῇ Olson: κἀναχνοανθῇ RΦ: κἂν χνοανθῇ γ' ἐν L: alii alia 792 ἔσται P19, R: ἐστι cett. 794 γα Brunck: γε codd. 795 γα] γε R τᾶνδε] τῶνδε $\Gamma^2$E$^2$ τᾶν] τῶν RE$^2\Gamma^2$ 796 ὀδελὸν] ὀβελὸν R ἀμπεπαρμένον Elmsley: ἐμ- codd. 798 Ποτειδᾶ hoc accentu B, paroxytone Φ : ποτι]δα P19: -ιδᾶ c: -ιδᾶν L: Ποσειδῶ R καί κ' Enger: κἂν E$^2\Gamma^2$: κ' cett. ἄνις Bentley: ἄνευ P19, codd. 799 κα Porson, Elmsley: καὶ P19, codd. 802 Φιβάλεως] Φιφ- R: Φορβ- Φ

Δι. τί δαὶ ϲύ; τρώγοιϲ ἄν;
Κο. κοῒ κοῒ κοΐ.
Δι. ὡϲ ὀξὺ πρὸϲ τὰϲ ἰϲχάδαϲ κεκράγατε.
ἐνεγκάτω τιϲ ἔνδοθεν τῶν ἰϲχάδων
τοῖϲ χοιριδίοιϲιν. ἆρα τρώξονται; βαβαί,
οἷον ῥοθιάζουϲ', ὦ πολυτίμηθ' Ἡράκλειϲ.
ποδαπὰ τὰ θηρί'; ὡϲ Τραγαϲαῖα φαίνεται.
Με. ἀλλ' οὐχὶ πάϲαϲ κατέτραγον τὰϲ ἰϲχάδαϲ.
ἐγὼν γὰρ αὐτᾶν τάνδε μίαν ἀνειλόμαν.
Δι. νὴ τὸν Δί', ἀϲτείω γε τὼ βοϲκήματε·
πόϲου πρίωμαί ϲοι τὰ χοιρίδια; λέγε.
Με. τὸ μὲν ἅτερον τοῦτο ϲκορόδων τροπαλίδοϲ,
τὸ δ' ἅτερον, αἰ λῇϲ, χοίνικοϲ μόναϲ ἁλῶν.
Δι. ὠνήϲομαί ϲοι· περίμεν' αὐτοῦ.
Με. ταῦτα δή.
Ἑρμᾶ 'μπολαῖε, τὰν γυναῖκα τὰν ἐμὰν
οὕτω μ' ἀποδόϲθαι τάν τ' ἐμωυτῶ ματέρα.

ϹΥΚΟΦΑΝΤΗϹ
ἄνθρωπε, ποδαπόϲ;
Με. χοιροπώλαϲ Μεγαρικόϲ.
Ϲυ. τὰ χοιρίδια τοίνυν ἐγὼ φαίνω ταδὶ
πολέμια καὶ ϲέ.
Με. τοῦτ' ἐκεῖν'· ἵκει πάλιν

803 v. om. Su. φ 187, del. Bentley, sed habebat P19 ϲύ; τρώγοιϲ ἄν; Elmsley, post Brunck: ϲῦκα τρώγοιϲ ἂν αὐτὸϲ RΦL (sed αὐτὸϲ ἂν hoc ordine L): ϲὺ κατατρώγοιϲ ἂν αὐτόϲ c: ϲύ; τρώγοιϲ καὐτὸϲ Olson, ducibus D. Parker et Dover, qui κοῒ κοΐ Megarensi tribuerunt 808 θηρί' P19: χοιρί' codd. 809 οὐχὶ] οὔτι R 810 ἐγὼν ... αὐτᾶν Elmsley: ἐγὼ ... αὐτῶν codd. ἀνειλόμαν L: ἀνελόμαν R: ἀνειλόμην cett. 813 ἅτερον Brunck: ἕτερον codd. τοῦτο Elmsley: τούτων codd. τροπαλίδοϲ p et fort. P19: -αλλίδοϲ cett. 814 δ'] θ' P19 χοίνικοϲ] -καϲ R 816 Ἑρμᾶ 'μπολαῖε P19, Scaliger: Ἑρμ' ἐμπολαῖε fere codd: Ἑρμῆ 'μπολαῖε B 817 ἐμωυτῶ Meineke: ἐμαυτοῦ codd. 818 ἄνθρωπε ΦL: ὤν- RE$^{pc}$Γ$^{pc}$ 819 φαίνω Blaydes: φανῶ P19, codd. 820 τοῦτ' ἐκεῖν'] τοῦτο τὴν' Blaydes, fort. recte ἵκει P19, AL: ἥκει RΓE

ὅθενπερ ἀρχὰ τῶν κακῶν ἁμῖν ἔφυ.
Ϲυ. κλάων μεγαριεῖϲ. οὐκ ἀφήϲειϲ τὸν ϲάκον;
Με. Δικαιόπολι, Δικαιόπολι, φαντάδδομαι.
Δι. ὑπὸ τοῦ; τίϲ ὁ φαίνων ϲ' ἐϲτίν; ἀγορανόμοι,
τοὺϲ ϲυκοφάνταϲ οὐ θύραζ' ἐξείρξετε;
τί δὴ μαθὼν φαίνειϲ ἄνευ θρυαλλίδοϲ;
Ϲυ. οὐ γὰρ φανῶ τοὺϲ πολεμίουϲ;
Δι. κλάων γε ϲύ,
εἰ μὴ 'τέρωϲε ϲυκοφαντήϲειϲ τρέχων.
Με. οἷον τὸ κακὸν ἐν ταῖϲ Ἀθάναιϲ τοῦτ' ἔνι.
Δι. θάρρει, Μεγαρίκ'· ἀλλ' ἧϲ τὰ χοιρί' ἀπεδίδουϲ
τιμῆϲ, λαβὲ ταυτὶ τὰ ϲκόροδα καὶ τοὺϲ ἅλαϲ,
καὶ χαῖρε πόλλ'·
Με. ἀλλ' ἁμὶν οὐκ ἐπιχώριον.
Δι. πολυπραγμοϲύνη 'ϲτιν· εἰϲ κεφαλὴν τράποιτ' ἐμοί.
Με. ὦ χοιρίδια, πειρῆϲθε κἄνιϲ τῶ πατρὸϲ
παίειν ἐφ' ἁλὶ τὰν μάδδαν, αἴ κά τιϲ διδῷ.

Χο. εὐδαιμονεῖ γ' ἅνθρωποϲ. οὐκ ἤκουϲαϲ οἷ προβαίνει
τὸ πρᾶγμα τοῦ βουλεύματοϲ; καρπώϲεται γὰρ ἁνὴρ
ἐν τἀγορᾷ καθήμενοϲ·
κἂν εἰϲίῃ τιϲ Κτηϲίαϲ
ἢ ϲυκοφάντηϲ ἄλλοϲ, οἰ-
μώζων καθεδεῖται·

821 ἀρχὰ Dobree: ἀ- codd. 823 φαντάδδομαι Valckenaer: -άζομαι P19, codd. 824 ὑπὸ τοῦ Dicaeopoli tribuit L, ὑπό του Megarensi RΦ ϲ' om. P19 ἀγορανόμοι Elmsley: ἀ- RΦ: οἱ δ' ἀ- L 826 τί δὴ Brunck: τίη codd. μαθὼν] παθὼν anon. in ed. a. 1670 827 κλάων] κλαίων R 828 μὴ] μήτ' R τρέχων R: ἰὼν cett. 829 οἷον] ὅϲον van Herwerden τὸ] τι Blaydes 830 τὰ χοιρί' ἀπεδίδουϲ Page: τὰ χοιρίδι' ἀπέδου codd.: ἀπέδου τὰ χοιρία Elmsley 832 ἀλλ' ἁμὶν Elmsley: ἀλλὰ μὶν R: ἀλλὰ μὲν/μὴν cett. 833 πολυπραγμοϲύνη 'ϲτιν Willems: -ϲύνηϲιν lm. sch. E: -ϲύνη νῦν R: -ϲύνηϲ νῦν cett: πολυχαρμοϲύνη νῦν Page τράποιτ' R: τρέποιτ' cett. νῦν . . . τράποι' van Herwerden 834 πειρῆϲθε] πειρᾶϲθε R τῶ] τοῦ A 835 παίειν ἐφ' ἁλὶ obscurum μάδδαν R: μάζαν cett. 836 ἅνθρωποϲ Brunck: ἄν- codd. 837 ἁνὴρ Brunck: ἀν- codd.

οὐδ' ἄλλοϲ ἀνθρώπων ὑποψωνῶν ϲε πημανεῖ τι,
οὐδ' ἐξομόρξεται Πρέπιϲ τὴν εὐρυπρωκτίαν ϲοι,
οὐδ' ὤϲτιεῖ Κλεωνύμῳ·
χλαῖναν δ' ἔχων φανὴν δίει,
κοὐ ξυντυχών ϲ' Ὑπέρβολοϲ
δικῶν ἀναπλήϲει·

οὐδ' ἐντυχὼν ἐν τἀγορᾷ πρόϲειϲί ϲοι βαδίζων
Κρατῖνοϲ ἀποκεκαρμένοϲ μοιχὸν μιᾷ μαχαίρᾳ,
ὁ περιπόνηροϲ Ἀρτέμων,
ὁ ταχὺϲ ἄγαν τὴν μουϲικήν,
ὄζων κακὸν τῶν μαϲχαλῶν
πατρὸϲ Τραγαϲαίου·

οὐδ' αὖθιϲ αὖ ϲε ϲκώψεται Παύϲων ὁ παμπόνηροϲ
Λυϲίϲτρατόϲ τ' ἐν τἀγορᾷ, Χολαργέων ὄνειδοϲ,
ὁ περιαλουργὸϲ τοῖϲ κακοῖϲ,
ῥιγῶν τε καὶ πεινῶν ἀεὶ
πλεῖν ἢ τριάκονθ' ἡμέραϲ
τοῦ μηνὸϲ ἑκάϲτου.

ΘΗΒΑΙΟϹ

ἴττω Ἡρακλῆϲ, ἔκαμόν γα τὰν τύλαν κακῶϲ.
κατάθου τὺ τὰν γλάχων' ἀτρέμαϲ, Ἰϲμηνία·
ὑμὲϲ δ', ὅϲοι Θείβαθεν αὐληταὶ πάρα,
τοῖϲ ὀϲτίνοιϲ φυϲεῖτε τὸν πρωκτὸν κυνόϲ.
Δι. παῦ', ἐϲ κόρακαϲ. οἱ ϲφῆκεϲ οὐκ ἀπὸ τῶν θυρῶν;
πόθεν προϲέπτανθ' οἱ κακῶϲ ἀπολούμενοι

842 ὑποψωνῶν] ὑποφανῶν R   πημανεῖ τι L. Dindorf: πημανεῖ Su. π 1519: -ανεῖται codd.   843 ἐξομόρξεται] ἐναπομόρ- Su. ε 1121   ϲοι] ϲου RA   846 ϲ' R, Su. υ 245: om. ΦLc   849 ἀποκεκαρμένοϲ Reisig: ἀεὶ κεκ- codd.: εὖ κεκ- Fritzsche   850 ὁ Bentley: οὐδ' ὁ codd.   851 ταχὺϲ] παχὺϲ Bentley   860 ΘΗΒΑΙΟΣ sic nominatur in P19, Γ in indice personarum: ΒΟΙΩΤΟΣ fere cett., sed om. R   861 Ἰϲμηνία] Ἱ- mavult Olson   862 Θείβαθεν] Θή- RL   863 φυϲεῖτε: -ῆτε cett.   865 προϲέπτανθ' RL: προϲέπταν Φ: προϲέπτονθ' Dawes

ἐπὶ τὴν θύραν μοι Χαιριδῆϲ βομβαύλιοι;
Θη. νεὶ τὸν Ἰόλαον, ἐπεχαρίττω γ', ὦ ξένε·
Θείβαθε γὰρ φυϲᾶντεϲ ἐξόπιϲθέ μου
τἄνθεια τᾶϲ γλάχωνοϲ ἀπέκιξαν χαμαί.
ἀλλ' εἴ τι βούλει, πρίαϲο τῶν ἰὼ φέρω,
τῶν ὀρταλίχων ἢ τῶν τετραπτερυλλίδων.
Δι. ὦ χαῖρε, κολλικοφάγε Βοιωτίδιον.
τί φέρειϲ;
Θη. ὅϲ' ἐϲτὶν ἀγαθὰ Βοιωτοῖϲ ἁπλῶϲ,
ὀρίγανον, γλαχώ, ψιάθωϲ, θρυαλλίδαϲ,
νάϲϲαϲ, κολοιώϲ, ἀτταγᾶϲ, φαλαρίδαϲ,
τροχίλωϲ, κολύμβωϲ.
Δι. ὡϲπερεὶ χειμὼν ἄρα
ὀρνιθίαϲ εἰϲ τὴν ἀγορὰν ἐλήλυθαϲ.
Θη. καὶ μὰν φέρω χᾶναϲ, λαγώϲ, ἀλώπεκαϲ,
ϲκάλοπαϲ, ἐχίνωϲ, αἰελούρωϲ, πικτίδαϲ,
ἰκτίδαϲ, ἐνύδριαϲ, ἐγχέλιαϲ Κωπαΐδαϲ.
Δι. ὦ τερπνότατον ϲὺ τέμαχοϲ ἀνθρώποιϲ φέρων,
δόϲ μοι προϲειπεῖν, εἰ φέρειϲ, τὰϲ ἐγχέλειϲ.
Θη. πρέϲβειρα πεντήκοντα Κωπᾴδων κορᾶν,
ἔκβαθι τῶδε κἠπιχάριτται τῷ ξένῳ.
Δι. ὦ φιλτάτη ϲὺ καὶ πάλαι ποθουμένη,
ἦλθεϲ ποθεινὴ μὲν τρυγῳδικοῖϲ χοροῖϲ,
φίλη δὲ Μορύχῳ. δμῶεϲ, ἐξενέγκατε
τὴν ἐϲχάραν μοι δεῦρο καὶ τὴν ῥιπίδα.

866 *μοι*] *μου* R *Χαιριδῆϲ* Brunck: *-δεῖϲ* codd. 867 *νεὶ* AE$^{pc}$: *νὴ* cett. *ἐπεχαρίττω* Blaydes: *ἐπιχαρίττω* R: *ἐπιχαρίτωϲ* cett. 868 *Θείβαθε* Elmsley: *-θι* codd. *φυϲᾶντεϲ*] *-ῶντεϲ* *Φ* 869 *τἄνθεια* B: *τἄνθια* dubitanter Bergk: *τἄνθεα* codd. plerique 870 *ἰὼ* Elmsley, cf. 898: *ἐγὼ* codd. 871 alterum *τῶν*] *τᾶν* Colvin 873 ante *ἁπλῶϲ* interpunxit Fraenkel 874–6 *ψιάθωϲ . . . κολοιὼϲ . . . τροχίλωϲ κολύμβωϲ* Bentley: *ψιάθουϲ* etc. codd.; cf. 879 879 *πικτίδαϲ*] *πυκ-* E: *πηκτίδαϲ* Rennie 880 *ἐνύδριαϲ* Elmsley: *ἐνύδρουϲ* codd. *ἐγχέλιαϲ* Blaydes: *ἐγχέλειϲ* codd. 883 *Κωπᾴδων* Elmsley: *Κωπαΐδων* codd. 884 *τῶδε*] *τεῖδε* Meineke *κἠπιχάριτται* Ahrens: *-ίτται* R: *-ίττα* *Φ*L

*ϲκέψαϲθε, παῖδεϲ, τὴν ἀρίϲτην ἔγχελυν,*
*ἥκουϲαν ἕκτῳ μόλιϲ ἔτει ποθουμένην.*
*προϲείπατ' αὐτήν, ὦ τέκν'· ἄνθρακαϲ δ' ἐγὼ*
*ὑμῖν παρέξω τῆϲδε τῆϲ ξένηϲ χάριν.*
*ἀλλ' εἴϲφερ' αὐτήν· μηδὲ γὰρ θανών ποτε*
*ϲοῦ χωρὶϲ εἴην ἐντετευτλιωμένηϲ.*
*Θη.* *ἐμοὶ δὲ τιμὰ τᾶϲδε πᾷ γενήϲεται;*
*Δι.* *ἀγορᾶϲ τέλοϲ ταύτην γέ που δώϲειϲ ἐμοί·*
*ἀλλ' εἴ τι πωλεῖϲ τῶνδε τῶν ἄλλων, λέγε.*
*Θη.* *ἰώγα ταῦτα πάντα.*
*Δι.* *φέρε, πόϲου λέγειϲ;*
*ἢ φορτί' ἕτερ' ἐνθένδ' ἐκεῖϲ' ἄξειϲ;*
*Θη.* *ἰώ;*
*ὅ τι γ' ἔϲτ' Ἀθάναιϲ, ἐν Βοιωτοῖϲιν δὲ μή.*
*Δι.* *ἀφύαϲ ἄρ' ἄξειϲ πριάμενοϲ Φαληρικὰϲ*
*ἢ κέραμον.*
*Θη.* *ἀφύαϲ ἢ κέραμον; ἀλλ' ἔντ' ἐκεῖ·*
*ἀλλ' ὅ τι πὰρ ἁμὶν μή 'ϲτι, τᾷδε δ' αὖ πολύ.*
*Δι.* *ἐγᾦδα τοίνυν· ϲυκοφάντην ἔξαγε,*
*ὥϲπερ κέραμον ἐνδηϲάμενοϲ.*
*Θη.* *νεὶ τὼ ϲιὼ*
*λάβοιμι μένταν κέρδοϲ ἀγαγὼν καὶ πολύ,*
*ᾆπερ πίθακον ἀλιτρίαϲ πολλᾶϲ πλέων.*
*Δι.* *καὶ μὴν ὁδὶ Νίκαρχοϲ ἔρχεται φανῶν.*
*Θη.* *μικκόϲ γα μᾶκοϲ οὗτοϲ.*
*Δι.* *ἀλλ' ἅπαν κακόν.*

889 *ἀρίϲτην*] *κρατίϲτην* Athenaeus 299A, anon. ap. Cramer, *Anecdota Parisiensia*, iv. 246. 21    893 *εἴϲφερ'*] *ἔκφερ'* R, probat Borthwick; 'ad funus effer'    894 *ἐντετευτλιωμένηϲ* Blaydes: *–λανωμένηϲ* codd. et Su. *ε* 1463: an *-λονωμένηϲ*?    899 *Θη. ἰώ*; B², sch. E*Γ*: *ἰών*; cett., haud male    900 *Ἀθάναιϲ* *Φ*L: *Ἀθάναϲ* *Γ*ᵃᶜEᵃᶜ: *ἐν Ἀθήναιϲ* R: *Ἀθάναϲ'* Elmsley    905 *ϲιὼ* P19, codd.: *θιὼ* Blaydes    906 *καὶ πολύ*] *γανπολυ* P19: *πάμπολυ* Ribbeck: *Δι. κἂν πολύ*, lacuna post hunc v. posita, Wilamowitz: *νιν πολύ* Blaydes    908 *ἔρχεται*] *ἐξέρχεται* R

ΝΙΚΑΡΧΟC

ταυτὶ τίνος τὰ φορτί᾽ ἐςτί;
Θη. τῶδ᾽ ἐμὰ
Θείβαθεν, ἴττω Δεύς.
Νι. ἐγὼ τοίνυν ὁδὶ
φαίνω πολέμια ταῦτα.
Θη. τί δὲ κακὸν παθὼν
ὀρναπετίοιςι πόλεμον ἦρα καὶ μάχαν;
Νι. καὶ cέ γε φανῶ πρὸς τοῖcδε.
Θη. τί ἀδικείμενος;
Νι. ἐγὼ φράςω coι τῶν περιεςτώτων χάριν.
ἐκ τῶν πολεμίων γ᾽ εἰςάγεις θρυαλλίδα.
Δι. ἔπειτα φαίνεις δῆτα διὰ θρυαλλίδα;
Νι. αὕτη γὰρ ἐμπρήςειεν ἂν τὸ νεώριον.
Δι. νεώριον θρυαλλίς; οἴμοι. τίνι τρόπῳ;
Νι. ἐνθεὶς ἂν εἰς τίφην ἀνὴρ Βοιώτιος
ἅψας ἂν εἰςπέμψειεν εἰς τὸ νεώριον
δι᾽ ὑδρορρόας, βορέαν ἐπιτηρήςας μέγαν.
κεἴπερ λάβοιτο τῶν νεῶν τὸ πῦρ ἅπαξ,
ςελαγοῖντ᾽ ἂν εὐθύς.
Δι. ὦ κάκιςτ᾽ ἀπολούμενε,
ςελαγοῖντ᾽ ἂν ὑπὸ τίφης τε καὶ θρυαλλίδος;
Νι. μαρτύρομαι.
Δι. ξυλλάμβαν᾽ αὐτοῦ τὸ cτόμα·
δός μοι φορυτόν, ἵν᾽ αὐτὸν ἐνδήςας φέρω
ὥςπερ κέραμον, ἵνα μὴ καταγῇ φερόμενος.

911 Δεύς RΓ²E², lm. sch. E: Ζεύς cett. 912 φαίνω] φανῶ B δὲ P19, Bentley: δαὶ codd. 913 ἦρα Φ: ἦρω P19, cett. 914 ἀδικείμενος P19, Φ: -ήμενος RL 916 γ᾽ RΦ: om. L, Su. θ 515 θρυαλλίδα P19, Su., Elmsley: -ας codd. 917 θρυαλλίδα P19, Elmsley: -ας ΦL: v. om. R 919 οἴμοι Elmsley: οἶμαι codd. (loquitur Nicarchus) 924 εὐθύς Pierson: αἱ νῆες RL: αἱ νῆυς vel αἱ νῆς cett. 927 ἐνδήςας] -ςω Elmsley φέρω] φέρειν Elmsley: καλῶς Russo 928 v. del. Bothe φερόμενος P19, Brunck: φορούμενος codd.

Χο. ἔνδηϲον, ὦ βέλτιϲτε, τῷ ξένῳ καλῶϲ τὴν [ϲτρ.
ἐμπολὴν
οὕτωϲ ὅπωϲ ἂν μὴ φέρων κατάξῃ.
Δι. ἐμοὶ μελήϲει ταῦτ', ἐπεί τοι καὶ ψοφεῖ λάλον τι καὶ
πυρορραγὲϲ κἄλλωϲ θεοῖϲιν ἐχθρόν.
Χο. τί χρήϲεταί ποτ' αὐτῷ;
Δι. πάγχρηϲτον ἄγγοϲ ἔϲται,
κρατὴρ κακῶν, τριπτὴρ δικῶν, φαίνειν ὑπευθύνουϲ
λυχνοῦ-
χοϲ καὶ κύλιξ τὰ πράγματ' ἐγκυκᾶϲθαι.

Χο. πῶϲ δ' ἂν πεποιθοίη τιϲ ἀγγείῳ τοιούτῳ [ἀντ.
χρώμενοϲ
κατ' οἰκίαν τοϲόνδ' ἀεὶ ψοφοῦντι;
Δι. ἰϲχυρόν ἐϲτιν, ὠγάθ', ὥϲτ' οὐκ ἂν καταγείη ποτ', εἴ-
περ ἐκ ποδῶν κατωκάρα κρέμαιτο.
Χο. ἤδη καλῶϲ ἔχει ϲοι.
Θη. μέλλω γά τοι θερίδδειν.
Χο. ἀλλ', ὦ ξένων βέλτιϲτε, ϲυνθέριζε καὶ πρόϲβαλλ' ὅποι
βούλει φέρων πρὸϲ πάντα ϲυκοφάντην.

Δι. μόλιϲ γ' ἐνέδηϲα τὸν κακῶϲ ἀπολούμενον.
αἴρου λαβὼν τὸν κέραμον, ὦ Βοιώτιε.
Θη. ὑπόκυπτε τὰν τύλαν ἰών, Ἰϲμήνιχε.
Δι. χὤπωϲ κατοίϲειϲ αὐτὸν εὐλαβούμενοϲ.
πάντωϲ μὲν οἴϲειϲ οὐδὲν ὑγιέϲ, ἀλλ' ὅμωϲ·
κἂν τοῦτο κερδάνῃϲ ἄγων τὸ φορτίον,
εὐδαιμονήϲειϲ ϲυκοφαντῶν γ' οὕνεκα.

929 ὦ βέλτιϲτε] ὦ λῷϲτε sch.: οὖν ὦ λῷϲτε Elmsley 930 οὕτωϲ] οὕτω δ' Elmsley 933 πυρορραγὲϲ] πυρι- Pollux 7.164 936 πάγχρηϲτον] πάγχρυϲον Γc 938 post λυχνοῦχοϲ suppl. ⟨οὐκ ἀχρεῖοϲ⟩ Handley, post κύλιξ lacunam statuit Meineke; cf. ad 949 τὰ] καὶ R 943 ἐϲτιν P19 ut videtur, L: δ' ἐϲτ' Φ: ἐϲτ' cett. 946 ϲοι] ϲοι; Quincey 947 γα Blaydes: γε P19, codd. 949 post καὶ add. τοῦτον λαβὼν P19, codd.: del. Bergk 950 ὅποι Fritzsche: ὅπου codd. [P19] 951 πρὸϲ] τὸν Schroeder 954 ἰών R: ὦ cett. 955 εὐλαβούμενοϲ] -μένωϲ Bergk 957 ἄγων] ἄγαν RB

*ΘΕΡΑΠΩΝ ΛΑΜΑΧΟΥ*

Δικαιόπολι.

Δι. τίϲ ἐϲτι; τί με βωϲτρεῖϲ;

Θε. ὅ τι;

ἐκέλευε Λάμαχόϲ ϲε ταυτηϲὶ δραχμῆϲ
εἰϲ τοὺϲ Χοᾶϲ αὐτῷ μεταδοῦναι τῶν κιχλῶν,
τριῶν δραχμῶν δ᾿ ἐκέλευε Κωπᾷδ᾿ ἔγχελυν.

Δι. ὁ ποῖοϲ οὗτοϲ Λάμαχοϲ τὴν ἔγχελυν;

Θε. ὁ δεινόϲ, ὁ ταλαύρινοϲ, ὃϲ τὴν Γοργόνα
πάλλει, κραδαίνων τρεῖϲ καταϲκίουϲ λόφουϲ.

Δι. οὐκ ἂν μὰ Δί᾿, εἰ δοίη γέ μοι τὴν ἀϲπίδα·
ἀλλ᾿ ἐπὶ ταρίχει τοὺϲ λόφουϲ κραδαινέτω·
ἢν δ᾿ ἀπολιγαίνῃ, τοὺϲ ἀγορανόμουϲ καλῶ.
ἐγὼ δ᾿ ἐμαυτῷ τόδε λαβὼν τὸ φορτίον
εἴϲειμ᾿ ὑπαὶ πτερύγων κιχλᾶν καὶ κοψίχων.

Χο. εἶδεϲ, ὦ πᾶϲα πόλι, τὸν φρόνιμον ἄνδρα, τὸν [ϲτρ.
ὑπέρϲοφον,
οἷ᾿ ἔχει ϲπειϲάμενοϲ ἐμπορικὰ χρήματα διεμπολᾶν;
ὧν τὰ μὲν ἐν οἰκίᾳ χρήϲιμα, τὰ δ᾿ αὖ πρέπει
χλιαρὰ κατεϲθίειν.
αὐτόματα πάντ᾿ ἀγαθὰ τῷδέ γε πορίζεται.
οὐδέποτ᾿ ἐγὼ Πόλεμον οἴκαδ᾿ ὑποδέξομαι,
οὐδὲ παρ᾿ ἐμοί ποτε τὸν Ἁρμόδιον ᾄϲεται
ξυγκατακλινείϲ, ὅτι παροινικὸϲ ἀνὴρ ἔφυ·
ὅϲτιϲ ἐπὶ πάντ᾿ ἀγάθ᾿ ἔχονταϲ ἐπικωμάϲαϲ
ἠργάϲατο πάντα κακά, κἀνέτρεπε κἀξέχει

959 τίϲ] τί Elmsley (cf. *Eq.* 150) 960 ἐκέλευε Elmsley: -ευϲε codd. [P19] ταυτηϲὶ P19, Dobree: ταυτηϲὶ τῆϲ R: ταύτηϲ τῆϲ cett. 961 αὐτῷ Meineke: αὑτῷ codd. 962 Κωπᾷδ᾿ Elmsley: Κωπαΐδ᾿ codd. 965 τρεῖϲ] τριϲὶ *Γ*$^{2}$E$^{2}$B καταϲκίουϲ λόφουϲ L: -ίοιϲ -οιϲ cett. 967 ταρίχει *Γ*$^{2}$E$^{2}$: -χῃ cett. 970 κιχλᾶν] -ῶν R 971 εἶδεϲ ὦ semel Heliodorus ap. sch., p, Su. ε 2508: bis cett. 973 οἷ᾿ ἔχει hic *Γ*$^{3}$E$^{2}$B$^{pc}$, post ϲπειϲάμενοϲ R: om. cett. 979 παροινικὸϲ Elmsley: παροίνιοϲ codd. 981 ἠργάϲατο Hall & Geldart: εἰργ- codd. κἀνέτρεπε Elmsley: -τραπε codd.

κἀμάχετο, καὶ προϲέτι πολλὰ προκαλουμένου
"πῖνε, κατάκειϲο, λαβὲ τήνδε φιλοτηϲίαν,"
τὰϲ χάρακαϲ ἧπτε πολὺ μᾶλλον ἔτι τῷ πυρί,
ἐξέχει θ' ἡμῶν βίᾳ τὸν οἶνον ἐκ τῶν ἀμπέλων.

ἐπτέρωταί τ' ἐπὶ τὸ δεῖπνον ἅμα καὶ μεγάλα δὴ φρονεῖ, [ἀντ.
τοῦ βίου δ' ἐξέβαλε δεῖγμα ⟨τάδε⟩ τὰ πτερὰ πρὸ τῶν θυρῶν.
ὦ Κύπριδι τῇ καλῇ καὶ Χάριϲι ταῖϲ φίλαιϲ ξύντροφε Διαλλαγή,
ὡϲ καλὸν ἔχουϲα τὸ πρόϲωπον ἄρ' ἐλάνθανεϲ.
πῶϲ ἂν ἐμὲ καὶ ϲέ τιϲ Ἔρωϲ ξυναγάγοι λαβών,
ὥϲπερ ὁ γεγραμμένοϲ, ἔχων ϲτέφανον ἀνθέμων;
ἦ πάνυ γερόντιον ἴϲωϲ νενόμικάϲ με ϲύ.
ἀλλά ϲε λαβὼν τρία δοκῶ μ' ἂν ἔτι προϲβαλεῖν·
πρῶτα μὲν ἂν ἀμπελίδοϲ ὄρχον ἐλάϲαι μακρόν,
εἶτα παρὰ τόνδε νέα μοϲχίδια ϲυκίδων,
καὶ τὸ τρίτον ἡμερίδοϲ ὄρχον, ὁ γέρων ὁδί,
καὶ περὶ τὸ χωρίον ἐλᾷδαϲ ἅπαν ἐν κύκλῳ,
ὥϲτ' ἀλείφεϲθαί ϲ' ἀπ' αὐτῶν κἀμὲ ταῖϲ νουμηνίαιϲ.

ΚΗΡΥΞ

ἀκούετε λεῴ· κατὰ τὰ πάτρια τοὺϲ Χοᾶϲ
πίνειν ὑπὸ τῆϲ ϲάλπιγγοϲ· ὃϲ δ' ἂν ἐκπίῃ
πρώτιϲτοϲ, ἀϲκὸν Κτηϲιφῶντοϲ λήψεται.

Δι. ὦ παῖδεϲ, ὦ γυναῖκεϲ, οὐκ ἠκούϲατε;
τί δρᾶτε; τοῦ κήρυκοϲ οὐκ ἀκούετε;
ἀναβράττετ', ἐξοπτᾶτε, τρέπετ', ἀφέλκετε

984 ἔτι Hermann: ἐν codd. 985 ἡμῶν] ὑμῶν Γ$^2$E$^2$ 986 ἐπτέρωταί R$^{pc}$Γ$^2$, lm. sch.: ται RΓE: τῶ A: τὰ Lc 987 δεῖγμα τάδε Brunck: δεῖγμα codd. plerique: δείγματα R$^2$Γ$^2$E$^2$ 991 ἐμὲ L, Su. α 2492: ἐμέ τε cett. 993 ἦ Kuster: ἢ codd. 994 μ' Blaydes: γ' codd. 997 ὄρχον L, quod iteratum valde displicet: κλάδον vel sim. cett: ὄϲχον Brunck (melius ὦϲχον ut vidit Deubner): ὄζον Bergk 998 ἐλᾷδαϲ Bentley: ἐλαΐδαϲ codd. 1003 οὐκ ἠκούϲατε] οὔκουν ἀνύϲατε Dobree

τὰ λαγῷα ταχέωϲ, τοὺϲ ϲτεφάνουϲ ἀνείρετε.
φέρε τοὺϲ ὀβελίϲκουϲ, ἵν' ἀναπείρω τὰϲ κίχλαϲ.

Χο. ζηλῶ ϲε τῆϲ εὐβουλίαϲ, [ϲτρ.
μᾶλλον δὲ τῆϲ εὐωχίαϲ,
ἄνθρωπε, τῆϲ παρούϲηϲ.
Δι. τί δῆτ', ἐπειδὰν τὰϲ κίχλαϲ
ὀπτωμέναϲ ἴδητε;
Χο. οἶμαί ϲε καὶ τοῦτ' εὖ λέγειν.
Δι. τὸ πῦρ ὑποϲκάλευε.
Χο. ἤκουϲαϲ ὡϲ μαγειρικῶϲ,
κομψῶϲ τε καὶ δειπνητικῶϲ,
αὑτῷ διακονεῖται;

ΔΕΡΚΕΤΗϹ

οἴμοι τάλαϲ.
Δι. ὦ Ἡράκλειϲ, τίϲ οὑτοϲί;
Δε. ἀνὴρ κακοδαίμων.
Δι. κατὰ ϲεαυτόν νυν τρέπου.
Δε. ὦ φίλτατε, ϲπονδαὶ γάρ εἰϲι ϲοὶ μόνῳ,
μέτρηϲον εἰρήνηϲ τί μοι, κἂν πέντ' ἔτη.
Δι. τί δ' ἔπαθεϲ;
Δε. ἐπετρίβην ἀπολέϲαϲ τὼ βόε.
Δι. πόθεν;
Δε. ἀπὸ Φυλῆϲ ἔλαβον οἱ Βοιώτιοι.
Δι. ὦ τριϲκακόδαιμον, εἶτα λευκὸν ἀμπέχει;
Δε. καὶ ταῦτα μέντοι νὴ Δί' ὥπερ μ' ἐτρεφέτην
ἐν πᾶϲι βολίτοιϲ.
Δι. εἶτα νυνὶ τοῦ δέει;
Δε. ἀπόλωλα τὠφθαλμὼ δακρύων τὼ βόε.
ἀλλ' εἴ τι κήδει Δερκέτου Φυλαϲίου,

1007 ἀναπείρω] πήξω Pollux 10.95: ἀναπήξω Bentley 1017 αὑτῷ Bentley: αὐ- Φ: αὑτὰ R: αὑτῷ γε L 1022 ἐπετρίβην] ἐπετριβόμην R 1023 post πόθεν add. γ' L, δ' Elmsley 1025 ὥπερ $Γ^2$c: ὡϲ L: ὥϲπερ Φ: ὅπερ R

ὑπάλειψον εἰρήνῃ με τὠφθαλμὼ ταχύ.

Δι. ἀλλ', ὦ πόνηρ', οὐ δημοϲιεύων τυγχάνω.

Δε. ἴθ', ἀντιβολῶ ϲ', ἤν πωϲ κομίϲωμαι τὼ βόε.

Δι. οὐκ ἔϲτιν, ἀλλὰ κλᾶε πρὸϲ τοὺϲ Πιττάλου.

Δε. ϲὺ δ' ἀλλά μοι ϲταλαγμὸν εἰρήνηϲ ἕνα
εἰϲ τὸν καλαμίϲκον ἐνϲτάλαξον τουτονί.

Δι. οὐδ' ἂν ϲτριβιλικίγξ· ἀλλ' ἀπιὼν οἴμωζέ ποι.

Δε. οἴμοι κακοδαίμων τοῖν γεωργοῖν βοιδίοιν.

Χο. ἀνὴρ ἐνηύρηκέν τι ταῖϲ [ἀντ.
ϲπονδαῖϲιν ἡδύ, κοὐκ ἔοι-
κεν οὐδενὶ μεταδώϲειν.

Δι. κατάχει ϲὺ τῆϲ χορδῆϲ τὸ μέλι,
τὰϲ ϲηπίαϲ ϲτάθευε.

Χο. ἤκουϲαϲ ὀρθιαϲμάτων;

Δι. ὀπτᾶτε τἀγχέλεια.

Χο. ἀποκτενεῖϲ λιμῷ 'μὲ καὶ
τοὺϲ γείτοναϲ κνίϲῃ τε καὶ
φωνῇ τοιαῦτα λάϲκων.

Δι. ὀπτᾶτε ταυτὶ καὶ καλῶϲ ξανθίζετε.

ΠΑΡΑΝΥΜΦΟϹ

Δικαιόπολι.

Δι. τίϲ οὑτοϲί; τίϲ οὑτοϲί;

Πα. ἔπεμψέ τίϲ ϲοι νυμφίοϲ ταυτὶ κρέα
ἐκ τῶν γάμων.

Δι. καλῶϲ γε ποιῶν, ὅϲτιϲ ἦν.

Πα. ἐκέλευε δ' ἐγχέαι ϲε τῶν κρεῶν χάριν,
ἵνα μὴ ϲτρατεύοιτ', ἀλλὰ βινοίη μένων,
εἰϲ τὸν ἀλάβαϲτον κύαθον εἰρήνηϲ ἕνα.

Δι. ἀπόφερ', ἀπόφερε τὰ κρέα καὶ μή μοι δίδου,

1032 κλᾶε] κλαῖε L τοὺϲ] τοῦ RΓ²E² 1035 ποι] που RΓ²E² 1037 ἀνὴρ Elmsley: ἀ- codd. ἐνηύρηκέν Dobree: ἀν- codd. 1044 'μὲ Meineke: με codd. 1049 post ταυτὶ add. τὰ Φ 1050 γε RΦ: om. L ὅϲτιϲ] ὅϲτιϲ περ L 1052 βινοίη] κινοίη R

ὡϲ οὐκ ἂν ἐγχέαιμι χιλίων δραχμῶν.
ἀλλ' αὑτηὶ τίϲ ἐϲτιν;
Πα. ἡ νυμφεύτρια
δεῖται παρὰ τῆϲ νύμφηϲ τι ϲοὶ λέξαι μόνῳ.
Δι. φέρε δή, τί ϲὺ λέγειϲ; ὡϲ γέλοιον, ὦ θεοί,
τὸ δέημα τῆϲ νύμφηϲ ὃ δεῖταί μου ϲφόδρα,
ὅπωϲ ἂν οἰκουρῇ τὸ πέοϲ τοῦ νυμφίου.
φέρε δεῦρο τὰϲ ϲπονδάϲ, ἵν' αὐτῇ δῶ μόνῃ,
ὁτιὴ γυνή 'ϲτι τοῦ πολέμου τ' οὐκ αἰτία.
ὕπεχ' ὧδε δεῦρο τοὐξάλειπτρον, ὦ γύναι.
οἶϲθ' ὡϲ ποιεῖται τοῦτο; τῇ νύμφῃ φράϲον,
ὅταν ϲτρατιώταϲ καταλέγωϲι, τουτῳὶ
νύκτωρ ἀλειφέτω τὸ πέοϲ τοῦ νυμφίου.
ἀπόφερε τὰϲ ϲπονδάϲ. φέρε τὴν οἰνήρυϲιν,
ἵν' οἶνον ἐγχέω λαβὼν εἰϲ τοὺϲ Χοᾶϲ.
Χο. καὶ μὴν ὁδί τιϲ τὰϲ ὀφρῦϲ ἀνεϲπακὼϲ
ὥϲπερ τι δεινὸν ἀγγελῶν ἐπείγεται.

## ΑΓΓΕΛΟϹ Α

ἰὼ πόνοι τε καὶ μάχαι καὶ Λάμαχοι.
Λα. τίϲ ἀμφὶ χαλκοφάλαρα δώματα κτυπεῖ;
Αγ. ἰέναι ϲ' ἐκέλευον οἱ ϲτρατηγοὶ τήμερον
ταχέωϲ λαβόντα τοὺϲ λόχουϲ καὶ τοὺϲ λόφουϲ·
κἄπειτα τηρεῖν νειφόμενον τὰϲ εἰϲβολάϲ.
ὑπὸ τοὺϲ Χοᾶϲ γὰρ καὶ Χύτρουϲ αὐτοῖϲί τιϲ
ἤγγειλε ληϲτὰϲ ἐμβαλεῖν Βοιωτίουϲ.
Λα. ἰὼ ϲτρατηγοὶ πλέονεϲ ἢ βελτίονεϲ.
οὐ δεινὰ μὴ 'ξεῖναί με μηδ' ἑορτάϲαι;

1055 χιλίων Rγρ, cett.: μυρίων R 1062 αἰτία Blaydes: ἀξία codd. 1064 ποιεῖται] ποιείϲθω dubitanter Elmsley: ποιείτω Reisig: sunt qui sententiam declarative accipiant 1066 ἀλειφέτω Γ²E²: ἄλειφε fere cett. 1068 incertum utrum Χοᾶϲ an χοᾶϲ scribendum sit 1075 νειφόμενον Hall & Geldart: νιφ- codd. 1078–80 personarum vices ita distinxit Elmsley post 1080 Dicaeopolim v. 1079 iterasse coniecit Rennie 1078 πλέονεϲ Scaliger: πλείονεϲ codd.

Δι. ἰὼ ϲτράτευμα πολεμολαμαχαϊκόν.
⟨× – ∪ – × – ∪ – × – ∪ –⟩
Λα. οἴμοι κακοδαίμων· καταγελᾷϲ ἤδη ϲύ μου;
Δι. βούλει μάχεϲθαι, Γηρυόνη, τετραπτίλῳ;
Λα. αἰαῖ·
οἵαν ὁ κῆρυξ ἀγγελίαν ἤγγειλέ μοι.
Δι. αἰαῖ·
τίνα δ' αὖ, ⟨τίν' αὖ⟩ 'μοὶ προϲτρέχει τιϲ ἀγγελῶν;

ΑΓΓΕΛΟϹ Β
Δικαιόπολι.
Δι. τί ἐϲτιν;
Αγ. ἐπὶ δεῖπνον ταχὺ
βάδιζε, τὴν κίϲτην λαβὼν καὶ τὸν χοᾶ.
ὁ τοῦ Διονύϲου γάρ ϲ' ἱερεὺϲ μεταπέμπεται.
ἀλλ' ἐγκόνει· δειπνεῖν κατακωλύειϲ πάλαι.
τὰ δ' ἄλλα πάντ' ἐϲτὶν παρεϲκευαϲμένα,
κλῖναι, τράπεζαι, προϲκεφάλαια, ϲτρώματα,
ϲτέφανοι, μύρον, τραγήμαθ', αἱ πόρναι πάρα,
ἄμυλοι, πλακοῦντεϲ, ϲηϲαμοῦντεϲ, ἴτρια,
ὀρχηϲτρίδεϲ, τὰ φίλταθ' Ἁρμοδίου, καλαί.
ἀλλ' ὡϲ τάχιϲτα ϲπεῦδε.
Λα. κακοδαίμων ἐγώ.
⟨× – ∪ – × – ∪ – × – ∪ –⟩
Δι. καὶ γὰρ ϲὺ μεγάλην ἐπεγράφου τὴν Γοργόνα.
ϲύγκληε, καὶ δεῖπνόν τιϲ ἐνϲκευαζέτω.
Λα. παῖ παῖ, φέρ' ἔξω δεῦρο τὸν γυλιὸν ἐμοί.
Δι. παῖ παῖ, φέρ' ἔξω δεῦρο τὴν κίϲτην ἐμοί.

1082 *Γηρυόνη* Olson, duce van Leeuwen: -*όνῃ* codd. 1084 suppl. Bachmann *'μοὶ* Blaydes (sed non recepit in textum): *μοι* codd. 1089 *ἐϲτὶν* L: *ἐϲτὶ* cett. 1092 ante 1091 transp. van Leeuwen 1093 v. varie temptatus post v. 1094 lacunam statuit Robertson, ut *μεγάλην* habeat quo referatur 1096 *ϲύγκληε* van Leeuwen: *ϲύγκλειε* codd. 1097 v. praebent Γ$^{pc}$ in margine, L i.m. manu posteriore, B$^{pc}$, ed. Aldina, novit sch.: om. cett.

Λα. ἅλαϲ θυμίταϲ οἶϲε, παῖ, καὶ κρόμμυα.
Δι. ἐμοὶ δὲ τεμάχη· κρομμύοιϲ γὰρ ἄχθομαι.
Λα. θρῖον ταρίχουϲ οἶϲε δεῦρο, παῖ, ϲαπροῦ.
Δι. κἀμοὶ ϲὺ δημοῦ θρῖον· ὀπτήϲω δ' ἐκεῖ.
Λα. ἔνεγκε δεῦρο τὼ πτερὼ τὼ 'κ τοῦ κράνουϲ.
Δι. ἐμοὶ δὲ τὰϲ φάτταϲ γε φέρε καὶ τὰϲ κίχλαϲ.
Λα. καλόν γε καὶ λευκὸν τὸ τῆϲ ϲτρούθου πτερόν.
Δι. καλόν γε καὶ ξανθὸν τὸ τῆϲ φάττηϲ κρέαϲ.
Λα. ὤνθρωπε, παῦϲαι καταγελῶν μου τῶν ὅπλων.
Δι. ὤνθρωπε, βούλει μὴ βλέπειν εἰϲ τὰϲ κίχλαϲ;
Λα. τὸ λοφεῖον ἐξένεγκε τῶν τριῶν λόφων.
Δι. κἀμοὶ λεκάνιον τῶν λαγῴων δὸϲ κρεῶν.
Λα. ἀλλ' ἦ τριχόβρωτεϲ τοὺϲ λόφουϲ που κατέφαγον;
Δι. ἀλλ' ἦ πρὸ δείπνου τὴν μίμαρκυν κατέδομαι;
Λα. ὤνθρωπε, βούλει μὴ προϲαγορεύειν ἐμέ;
Δι. οὔκ, ἀλλ' ἐγὼ χὠ παῖϲ ἐρίζομεν πάλαι.
βούλει περιδόϲθαι κἀπιτρέψαι Λαμάχῳ,
πότερον ἀκρίδεϲ ἥδιόν ἐϲτιν ἢ κίχλαι;
Λα. οἴμ', ὡϲ ὑβρίζειϲ.
Δι. τὰϲ ἀκρίδαϲ κρίνει πολύ.
Λα. παῖ παῖ, καθελών μοι τὸ δόρυ δεῦρ' ἔξω φέρε.
Δι. παῖ παῖ, ϲὺ δ' ἀφελὼν δεῦρο τὴν χορδὴν φέρε.
Λα. φέρε, τοῦ δόρατοϲ ἀφελκύϲωμαι τοὔλυτρον.
ἔχ', ἀντέχου, παῖ.
Δι. καὶ ϲύ, παῖ, τοῦδ' ἀντέχου.
Λα. τοὺϲ κιλλίβανταϲ οἶϲε, παῖ, τῆϲ ἀϲπίδοϲ.

1099 οἶϲε παῖ] δοὺϲ ἐμοὶ sch. ad v. 772 1102 κἀμοὶ] καί μοι R ϲὺ δημοῦ Elmsley: ϲὺ δὴ παῖ RΦ: δὴ ϲὺ παῖ cett. 1103 τὼ 'κ] τὸ R, unde τὸ πτερὸν τοὐκ (vel τὸ) Blaydes 1107 v. om. Φ, add. $\Gamma^3$ 1107, 8 ὤνθρωπε] ἄν- $\Gamma^{pc}$ c 1107–8 post 1112 traiecit Boissonade; 1107 et 1113 invicem traiecit Dobree: 1109–1112 post 1117 Sommerstein 1111, 1112 ἦ A, Schaefer: ἤ cett. 1112 μίμαρκυν Φ: μήμ- c: μίρμακυν cett. 1115 περιδόϲθαι] περιδέϲθαι Φ κἀπιτρέψαι $R\Gamma^2E^2L$: κἀποϲτρέψαι Φ: κἀπιϲτρέψαι c 1118 μοι] μου R 1119 v. om. Φ, add. $\Gamma^3$

Δι. καὶ τῆϲ ἐμῆϲ τοὺϲ κριβανίταϲ ἔκφερε.
Λα. φέρε δεῦρο γοργόνωτον ἀϲπίδοϲ κύκλον.
Δι. κἀμοὶ πλακοῦντοϲ τυρόνωτον δὸϲ κύκλον.
Λα. ταῦτ' οὐ κατάγελώϲ ἐϲτιν ἀνθρώποιϲ πλατύϲ;
Δι. ταῦτ' οὐ πλακοῦϲ δῆτ' ἐϲτὶν ἀνθρώποιϲ γλυκύϲ;
Λα. κατάχει ϲύ, παῖ, τοὔλαιον. ἐν τῷ χαλκίῳ
ἐνορῶ γέροντα δειλίαϲ φευξούμενον.
Δι. κατάχει ϲὺ τὸ μέλι. κἀνθάδ' ἔνδηλοϲ γέρων
κλάειν κελεύων Λάμαχον τὸν Γοργάϲου.
Λα. φέρε δεῦρο, παῖ, θώρακα πολεμιϲτήριον.
Δι. ἔξαιρε, παῖ, θώρακα κἀμοὶ τὸν χοᾶ.
Λα. ἐν τῷδε πρὸϲ τοὺϲ πολεμίουϲ θωρήξομαι.
Δι. ἐν τῷδε πρὸϲ τοὺϲ ϲυμπόταϲ θωρήξομαι.
Λα. τὰ ϲτρώματ', ὦ παῖ, δῆϲον ἐκ τῆϲ ἀϲπίδοϲ.
Δι. τὸν δῖνον, ὦ παῖ, δῆϲον ἐκ τῆϲ κιϲτίδοϲ.
Λα. ἐγὼ δ' ἐμαυτῷ τὸν γυλιὸν οἴϲω λαβών.
Δι. ἐγὼ δὲ θοἰμάτιον λαβὼν ἐξέρχομαι.
Λα. τὴν ἀϲπίδ' αἶρου καὶ βάδιζ', ὦ παῖ, λαβών.
νείφει. βαβαιάξ· χειμέρια τὰ πράγματα.
Δι. αἶρου τὸ δεῖπνον· ⟨– ∪ – × – ∪ –
× – ∪ – ×⟩ ϲυμποτικὰ τὰ πράγματα.

Χο. ἴτε δὴ χαίροντεϲ ἐπὶ ϲτρατιάν.
ὡϲ ἀνομοίαν ἔρχεϲθον ὁδόν·
τῷ μὲν πίνειν ϲτεφανωϲαμένῳ,

1123 *καὶ τῆϲ ἐμῆϲ*: si textus sanus, ventrem suum gestu indicat: *παῖ, 'κ τῆϲ ϲιπύηϲ* van Herwerden 1124 *γοργόνωτον*] *γοργονωπὸν* van Herwerden 1125 *τυρόνωτον*] *γυρόνωτον* Plut. *Mor.* 853C 1126 *πλατύϲ*] *πολύϲ* R 1128 *ἐν τῷ χαλκίῳ*] *ἐκ τοῦ χαλκίου* Pollux 10.92, probabat Elmsley; sed ante haec verba interpungendum esse vidit Dindorf 1130 *ἔνδηλοϲ* RΓ$^{pc}$: *εὔδ-* cett. 1131 *κελεύων* RΓ$^{2}$E$^{2}$: *κελεύω* cett. 1132 *παῖ* ante *δεῦρο* praebent codd. praeter L 1138, 1137 hoc ordine praebet R, inverso Lc: om. Φ 1138 *τὸν δῖνον* van Herwerden: *τὸ δεῖπνον* codd. 1141 *νείφει* Hall & Geldart: *νίφει* codd. 1142 hunc v. om. Φ: lacunam post *δεῖπνον* statuit R. Klotz 1144 *ὡϲ* ⟨*δ'*⟩ Blaydes, Meineke

ϲοὶ δὲ ῥιγῶν καὶ προφυλάττειν,
τῷ δὲ καθεύδειν
μετὰ παιδίϲκηϲ ὡραιοτάτηϲ,
ἀνατριβομένῳ γε τὸ δεῖνα.

Ἀντίμαχον τὸν ψακάδοϲ †τὸν ξυγγραφῆ† τὸν [ϲτρ.
μελέων ποιητήν,
ὡϲ μὲν ἁπλῷ λόγῳ κακῶϲ ἐξολέϲειεν ὁ Ζεύϲ·
ὅϲ γ᾽ ἐμὲ τὸν τλήμονα Λήναια χορηγῶν ἀπέλυϲ᾽
ἄδειπνον.
ὃν ἔτ᾽ ἐπίδοιμι τευθίδοϲ
δεόμενον, ἡ δ᾽ ὠπτημένη,
ϲίζουϲα, πάραλοϲ ἐπὶ τραπέζῃ κειμένη
ὀκέλλοι· κᾆτα μέλ-
λοντοϲ λαβεῖν αὐτοῦ κύων
ἁρπάϲαϲα φεύγοι.

τοῦτο μὲν αὐτῷ κακὸν ἕν, κᾆθ᾽ ἕτερον νυκτερινὸν [ἀντ.
γένοιτο.
ἠπιαλῶν γὰρ οἴκαδ᾽ ἐξ ἱππαϲίαϲ βαδίζων,
εἶτα κατάξειέ τιϲ αὐτοῦ μεθύων τὴν κεφαλὴν Ὀρέϲτηϲ
μαινόμενοϲ· ὁ δὲ λίθον λαβεῖν
βουλόμενοϲ ἐν ϲκότῳ λάβοι
τῇ χειρὶ πέλεθον ἀρτίωϲ κεχεϲμένον·
ἐπᾴξειεν δ᾽ ἔχων
τὸν μάρμαρον, κᾆπειθ᾽ ἁμαρ-
τὼν βάλοι Κρατῖνον.

1149 *γε* Reiske: *τε* codd. 1150 *τὸν ξυγγραφῆ*] *ξυγγραφέα* Hall & Geldart: *ξυρραφέα* van Herwerden: *τὸν μέλεον* (*τῶν*) Elmsley: alii alia 1155 *ἀπέλυϲ᾽ ἄδειπνον* L: *ἀπέλυϲεν ἄδειπνον* *Φ*c: *ἀπέκλειϲε δείπνων* R 1156 *ὃν*] *ὅν γ᾽* L 1158 *τραπέζῃ*] *-ηϲ* *Γ*³B, Su. *τ* 424, *ψ* 39 1160 *λαβεῖν* post *αὐτοῦ* praebet *Φ* 1165 *βαδίζων*] *βαδίζοι* Bentley, quo recepto *κᾆτα* in v. 1166 postulabat Elmsley 1166 *κατάξειε*] *πατάξειε* Dindorf *αὐτοῦ*] *-ὸν* Su. ο 537 *τῆϲ κεφαλῆϲ*] *τὴν -ὴν* R 1168 *λαβεῖν* R*Γ*: *βαλεῖν* cett., quo recepto *λίθῳ* pro *λίθον* Rennie 1170 *πέλεθον* L: *ϲπέλεθον* cett.

ΑΓΓΕΛΟϹ Γ

ὦ δμῶεϲ οἳ κατ' οἶκόν ἐϲτε Λαμάχου,
ὕδωρ ὕδωρ ἐν χυτριδίῳ θερμαίνετε·
ὀθόνια, κηρωτὴν παραϲκευάζετε,
ἔρι' οἰϲυπηρά, λαμπάδιον περὶ τὸ ϲφυρόν.
ἀνὴρ τέτρωται χάρακι διαπηδῶν τάφρον,
καὶ τὸ ϲφυρὸν παλίνορρον ἐξεκόκκιϲεν,
καὶ τῆϲ κεφαλῆϲ κατέαγε περὶ λίθῳ πεϲών,
καὶ Γοργόν' ἐξήγειρεν ἐκ τῆϲ ἀϲπίδοϲ.
πτίλον δὲ τὸ μέγα κομπολακύθου †πεϲὸν†
πρὸϲ ταῖϲ πέτραιϲι, δεινὸν ἐξηύδα μέλοϲ·
"ὦ κλεινὸν ὄμμα, νῦν πανύϲτατόν ϲ' ἰδὼν
λείπω φάοϲ γε τοὐμόν, οὐκέτ' εἴμ' ἐγώ."
τοϲαῦτα λέξαϲ εἰϲ ὑδρορρόαν πεϲὼν
ἀνίϲταταί τε καὶ ξυναντᾷ δραπέταιϲ,
ληϲτὰϲ ἐλαύνων καὶ καταϲπέρχων δορί.
ὁδὶ δὲ καὐτόϲ· ἀλλ' ἄνοιγε τὴν θύραν.

Λα. ἀτταταῖ ἀτταταῖ,
ϲτυγερὰ τάδε γε κρυερὰ πάθεα· τάλαϲ ἐγώ.
διόλλυμαι δορὸϲ ὑπὸ πολεμίου τυπείϲ.
ἐκεῖνο δ' οὖν αἰακτὸν ἂν γένοιτο,
Δικαιόπολιϲ εἴ μ' ἴδοι τετρωμένον,

1175 χυτριδίῳ R, Dawes: χυτρίῳ cett. 1177 v. om. R ἔρι' Su. οι 186, Pollux 7.28, Hsch.: ἔργ' codd. 1178 ἀνὴρ Su., Elmsley: ἀ- codd. 1179 παλίνορρον A: -ορον vel sim. cett. 1180 λίθῳ R: λίθον cett. 1181–8 del. Meineke 1181 v. del. Dobree ut e v. 574 confectum; vocem ἐξήγειρεν temptarunt multi, e.g. ἐξήραξεν Blaydes 1182 locus desperatus; si πεϲὸν (πεϲὼν R$^{ac}$, c) e v. 1180 originem ducit, possis scribere e.g. λιπὼν (Bergk) vel κλάϲαϲ (Weber): an φλάϲαϲ? 1185 γε τοὐμόν] τοὐμὸν R: τοὐράνιον A. Palmer: τόδ' ἀμόν Lenting: καὶ θυμόν West 1188 ληϲτὰϲ] -αῖϲ R 1190 ἀτταταῖ ἀτταταῖ R: ἀτταπαττατὰ vel sim. cett. γε hic Bergk: post τάδε praebent ΦL: om. cett. 1195 οὖν L: om. cett. (sed spatium vacuum habet R) post αἰακτὸν add. οἰμωκτὸν codd.: del. Porson post γένοιτο add. μοι codd.: del. Dindorf 1196 εἰ B: γάρ εἰ L: ἂν R: ἂν εἰ cett.

κᾳ̂τ' ἐγχάνοι ταῖϲ ἐμαῖϲ τύχαιϲιν.
Δι. ἀτταταῖ ἀτταταῖ,
τῶν τιτθίων, ὡϲ ϲκληρὰ καὶ κυδώνια.
φιλήϲατόν με μαλθακῶϲ, ὦ χρυϲίω,
τὸ περιπεταϲτὸν κἀπιμανδαλωτόν.
⟨× – ⏑ – – ⏑ – × – ⏑ –⟩
τὸν γὰρ χοᾶ πρῶτοϲ ἐκπέπωκα.
Λα. ὦ ϲυμφορὰ τάλαινα τῶν ἐμῶν κακῶν.
ἰὼ ἰὼ τραυμάτων ἐπωδύνων.
Δι. ⟨× – ⏑ – × – ⏑ – × – ⏑ –⟩
ἰηῦ ἰηῦ, χαῖρε, Λαμαχίππιον.
Λα. ϲτυγερὸϲ ἐγώ.
Δι. μογερὸϲ ἐγώ.
Λα. τί με ϲὺ κυνεῖϲ;
Δι. τί με ϲὺ δάκνειϲ;
Λα. τάλαϲ ἐγὼ ξυμβολῆϲ βαρείαϲ.
Δι. τοῖϲ Χουϲὶ γάρ τιϲ ξυμβολὰϲ ἐπράττετο;
Λα. ἰὼ ἰὼ Παιὰν Παιάν.
Δι. ἀλλ' οὐχὶ νυνὶ τήμερον Παιώνια.
Λα. λάβεϲθέ μου, λάβεϲθε τοῦ ϲκέλουϲ· παπαῖ,
προϲλάβεϲθ', ὦ φίλοι.
Δι. ἐμοῦ δέ γε ϲφὼ τοῦ πέουϲ ἄμφω μέϲου
προϲλάβεϲθ', ὦ φίλαι.

1197 *κᾳ̂τ' ἐγχάνοι* B: *κᾳ̂τ' ἐγχανεῖται* R: *κατεγχάνοι* cett. *ταῖϲ ἐμαῖϲ τύχαιϲιν*] *γε ταῖϲ ἐμαῖϲιν ἂν τύχαιϲ* L 1201 *κἀπιμανδαλωτόν* RΦ: *κἀναπι-* Lc: *ἐπι-* Handley: *καὶ τὸ μανδαλωτόν* Bentley in fine versus suppl. ⟨*ἄν*⟩ L post hunc v. lacunam statuit Bergk 1202 *χοᾶ* ⟨*νῦν*⟩, *ἐκπέπωκά* ⟨*γε*⟩ L 1205 post hunc v. lacunam statuit Bothe 1207 *ἰηῦ ἰηῦ* Olson: *ἰὴ ἰή* codd. *Λαμαχίππιον*] *-ιππίδιον* R 1208–9 ita praebent codd.; Dicaeopolis ebrius et titubans (cf. *ξυμβολῆϲ* 1210) basium dat Lamacho invito, qui invicem irrisorem mordet: verba *μογερὸϲ ἐγώ* Lamacho, *τί με ϲὺ κυνεῖϲ* Dicaeopoli tribuit Lenting 1210 post *ἐγὼ* add. *τῆϲ ἐν μάχῃ* codd.: *τῆϲ* del. Dindorf, *ἐν μάχῃ* iam Bothe 1212 *ἰὼ* bis L, semel cett. 1213 *νυνὶ*] *νῦν γε* R 1215 *φίλοι*] *φίλαι* RE$^{ac}$

Λα. εἰλιγγιῶ κάρα λίθῳ πεπληγμένος
καὶ ϲκοτοδινιῶ.
Δι. κἀγὼ καθεύδειν βούλομαι καὶ ϲτύομαι
καὶ ϲκοτοβινιῶ.
Λα. θύραζέ μ' ἐξενέγκατ' εἰϲ τοῦ Πιττάλου
παιωνίαιϲι χερϲίν.
Δι. ὡϲ τοὺϲ κριτάϲ μ' ἐκφέρετε. ποῦ 'ϲτιν ὁ βαϲιλεύϲ;
ἀπόδοτέ μοι τὸν ἀϲκόν.
Λα. λόγχη τιϲ ἐμπέπηγέ μοι δι' ὀϲτέων ὀδυρτά.
Δι. ὁρᾶτε τουτονὶ κενόν. τήνελλα καλλίνικοϲ.
Χο. τήνελλα δῆτ', εἴπερ καλεῖϲ γ', ὦ πρέϲβυ, καλλίνικοϲ.
Δι. καὶ πρόϲ γ' ἄκρατον ἐγχέαϲ ἄμυϲτιν ἐξέλαψα.
Χο. τήνελλά νυν, ὦ γεννάδα· χώρει λαβὼν τὸν ἀϲκόν.
Δι. ἕπεϲθέ νυν ᾄδοντεϲ· "ὦ τήνελλα καλλίνικοϲ".
Χο. ἀλλ' ἑψόμεϲθα ϲὴν χάριν
τήνελλα καλλίνικον ᾄ-
δοντεϲ ϲὲ καὶ τὸν ἀϲκόν.

1218 εἰλιγγιῶ R: ἰλ- cett. 1222 εἰϲ τοῦ] εἰϲ τὸν ΦLc: εἰϲ τὰ Elmsley: ὡϲ τοὺϲ Blaydes Πιττάλου] -ον c 1224 ἐκφέρετε Lc: φέρετε RΦ 1226 ὀδυρτά codd.: -τῇ Su. ο 62 1228 γ' R: om. cett. 1231 νυν Elmsley: νῦν codd. 1232 ἑψόμεϲθα] ἐποψόμεϲθα R: ἐπεψόμεϲθα $Γ^2E^2$ post ϲὴν χάριν add. τήνελλα καλλίνικοϲ Elmsley 1233 καλλίνικον] -οϲ Φ

*This page intentionally left blank*

# ΙΠΠΗϹ

## PAPYRI

| | |
|---|---|
| P. Berol. 13929 + 21105, saec. IV (continet vv. 546–54, 574–83 cum scholiis) | (P3) |
| P. Bingen 18, saec. (continet vv. 1040–58) | (P64) |
| P. Hermop. = MS. Oxon. Bodl. gr. class. f. 72, saec. IV/V (continet vv. 37–46, 86–95) | (P2) |
| P. Michigan inv. 6035, saec. II/III (continet vv. 1127–41) | (P60) |
| P. Oxy. 1373, saec. V (continet vv. 6–15, 1013–17, 1052–62) | (P20) |
| P. Oxy. 2545, saec. I a.C./ I p.C. (continet vv. 1057–76) | (P4) |
| P. Oxy. 4511, saec. III (continet vv. 736–46) | (P74) |

## CODICES

| | |
|---|---|
| R | Ravennas 429 |
| V | Marcianus gr. 474 |
| E | Estensis gr. 127 (α. U. 5. 10) |
| v | consensus codicum VE |
| A | Parisinus gr. 2712 |
| *Γ* | Laurentianus 31.15 |
| *Θ* | Laurentianus Conventi Soppressi 140 |
| *Φ* | consensus codicum A*ΓΘ* |
| M | Ambrosianus L 39 sup. |
| L | Oxoniensis Holkhamensis gr. 88 |

*Rarius citantur*

| | |
|---|---|
| B | Parisinus gr. 2715 |
| C | Parisinus gr. 2717 |
| Vp3 | Vaticanus Palatinus gr. 128 |
| c | consensus codicum CVp3 |

| | |
|---|---|
| G | Marcianus gr. 475 |
| Par 6 | Parisinus gr. 2716 |
| X | Laurentianus 31.13 |
| Vv5 | Vaticanus gr. 1294 |
| Vv17 | Vaticanus gr. 2181 |

# ΥΠΟΘΕCΕΙC

## I

*Τὸ δρᾶμα τοῦτο πεποίηται εἰc Κλέωνα τὸν Ἀθηναίων δημαγωγόν. ὑπόκειται δὲ ὡc Παφλαγὼν νεώνητος δουλεύων τῷ Δήμῳ καὶ προαγόμενος παρ' αὐτῷ περιττότερον. ἐπιτιθεμένοιν δὲ αὐτῷ δυοῖν τοῖν ὁμοδούλοιν καὶ κατά τινα λόγια πονηρίᾳ διάcημον ἀλλαντοπώλην Ἀγοράκριτον ἐπαγόντοιν, ὃc ἐπιτροπεύcει τοῦ δήμου τῶν Ἀθηναίων, αὐτοὶ οἱ Ἀθηναίων ἱππεῖc cυλλαβόντεc ἐν χοροῦ cχήματι παραφαίνονται· ὑφ' ὧν προπηλακιζόμενος ὁ Κλέων ἀγανακτεῖ, καὶ διενεχθεὶc ἱκανῶc περὶ τοῦ ἀναγωγότερος εἶναι τῶν ἐναντιουμένων, cφᾶc ὡc cυνομωμοκόταc κατὰ τῆc πόλεωc ⟨διαβαλῶν⟩ πρὸc τὴν βουλὴν ἵεται· διώξαντος δὲ καὶ τοῦ ἀλλαντοπώλου κατὰ πόδαc, οἱ ἱππεῖc περί τε τοῦ ποιητοῦ τινα καὶ τῶν προγόνων, ἔτι δὲ καὶ τῶν cυγκινδυνευόντων cφίcιν ἐπὶ ταῖc μάχαιc ⟨ἵππων⟩, πρὸc τοὺc πολίταc ἁδροτέρωc διαλέγονται, ὅ τε ἀλλαντοπώληc περιγεγενημένος ἐν βουλῇ μάλα γελοίωc τοῦ Κλέωνος, καὶ λοιδορούμενος αὖθιc αὐτῷ προcέρχεται· ἐκκαλεcαμένου δὲ τοῦ Κλέωνος τὸν Δῆμον, προcελθὼν οὗτος διαφερομένων ἀκροᾶται. λόγων δὲ πολλῶν γενομένων κατὰ*

Argumenta om. R; hoc ordine exhibent ceteri: V: I II. 1–3 III II. 4–5; E: I II. 1 III II. 4, 3, 5, 2; A: I II. 1 tantum; Γ: III II. 2, 4, 3 I II. 1; Θ: III II. 2, 4, 3 I; M: II. 1–3 tantum; Vv5: I II. 1–3 III II. 4; L: I II. 1–2, 4 III     I. 1 *τοῦτο* VEL: *τῶν Ἱππέων* Φ     *πεποίηται* Richards: *ποιεῖται* codd.     3 *ἐπιτιθεμένοιν* Bothe (1829): *-ων* codd.     5–6 *ὃc ἐπιτροπεύcει* Ribbeck: *ὃc ἐπιτροπεύει* codd.: *ὡc ἐπιτροπεύcῃ* Musurus     6 *αὐτοὶ οἱ Ἀθηναίων* VE: om. ΦL     9 *ἀναγωγότεροc* L: *ἀλογώτεροc* V: *ἀνώτεροc* cett.     10 *κατὰ* Musurus: *ἐκ* codd.     suppl. Bergk     14 suppl. Brunck *πολίταc* VEL: *ποιητὰc* Φ     18 *διαφερομένων ἀκροᾶται* E: *διαφερόμενος ἀκροᾶται* A: *διαφθειρομένων ἀκροᾶται* VΓL: *διαφθείρει τοὺc ἀκροατὰc* Θ

τοῦ Κλέωνος, τοῦ Ἀγορακρίτου μάλ' ἐντέχνως τοῖς ἐπινοήμασι καὶ ταῖς θωπείαις καὶ προσέτι ταῖς ἐκ τῶν λογίων ὑπερβολαῖς κρατοῦντος, κατὰ μικρὸν ὁ Δῆμος τοῖς λόγοις συνεφέλκεται. δείσαντος δὲ τοῦ Κλέωνος κἀπὶ τὸ ψωμίζειν τὸν Δῆμον ὁρμήσαντος, ἀντιψωμίζειν ἅτερος ἐγχειρεῖ. καὶ τέλος τοῦ Δήμου τὴν ἑκατέρου κίστην συνέντος, εἶτα τῆς μὲν κενῆς τῆς δὲ τοῦ Κλέωνος μεστῆς εὑρεθείσης, ἐλεγχθεὶς αὐτὸς ὡς περιφανῶς τὰ τοῦ Δήμου κλέπτων, εἴκει θατέρῳ τῆς ἐπιτροπείας· μετὰ ταῦτα δὲ τοῦ ἀλλαντοπώλου τὸν Δῆμον ἀφεψήσαντος, εἶτα νεώτερον ἐξαῦτις εἰς τοὐμφανὲς γεγονότα προαγαγόντος, Κλέων περικείμενος τὴν Ἀγορακρίτου σκευὴν ἐπὶ παραδειγματισμῷ διὰ μέσης τῆς πόλεως ἀλλαντοπωλῶν ἀνὰ μέρος καὶ τῇ τέχνῃ χρησόμενος πέμπεται, καὶ ἡ ἐπιτροπὴ τῷ ἀλλαντοπώλῃ παραδίδοται. τὸ δὲ δρᾶμα τῶν ἄγαν καλῶς πεποιημένων.

## II

1. Ὁ σκοπὸς αὐτῷ πρὸς τὸ καθελεῖν Κλέωνα. οὗτος γὰρ βυρσοπώλης ὢν ἐκράτει τῶν Ἀθηναίων ἐκ προφάσεως τοιαύτης. Ἀθηναῖοι πόλιν Πύλου, λεγομένην Σφακτηρίαν, ἐπολιόρκουν διὰ Δημοσθένους στρατηγοῦ καὶ Νικίου· ὧν στρατηγῶν χρονισάντων ἐδυσχέραινον οἱ Ἀθηναῖοι. καὶ εἰς ἐκκλησίαν συνελθόντων αὐτῶν καὶ ἀδημονούντων, Κλέων τις βυρσοπώλης ἀναστὰς ὑπέσχετο δεσμίους φέρειν τοὺς ὑπεναντίους εἴσω εἴκοσιν ἡμερῶν, εἰ στρατηγὸς αἱρεθείη· ὅπερ καὶ

3 κρατοῦντος VEL: κατακρατοῦντος Φ  ὁ Δῆμος τοῖς λόγοις VE: τοῖς λόγοις ὁ Δῆμος ΦL  6 κίστην V: κύστιν E: σίτησιν cett.  7–8 ὡς περιφανῶς L: ὡς περιφανὴς VΓ: ὥσπερ περιφανὴς ΕΑΘ  8 εἴκει θατέρῳ L: ἐκεῖ θατέρῳ ΑΓ: ἐκεῖ θατέρων Θ: ἐκβάλλεται VE  9 δὲ VE: om. ΦL  10 ἐξαῦτις van Leeuwen, sed nimis Attice ἐξαῦθις: ἐξαυτῆς V: ἐξ αὐτῆς cett.  11 προαγαγόντος E: προάγοντος cett.  Κλέων L: Κλέωνος cett.  post τὴν add. τε VΦL  post Ἀγορακρίτου add. θατέραν ΦL  12 παραδειγματισμῷ Kuster: -οῦ codd.  13 χρησόμενος Blaydes: χρησάμενος codd.

II. 7 ὑπεναντίους VEAΓ: ἐναντίους ML  8 καὶ VEAΓ: om. ML

*γέγονε. κατὰ τὰc ὑποcχέcειc οὖν ἐcτρατήγει κυκῶν τὴν πόλιν. ἐφ' οἷc μὴ ἐνεγκὼν Ἀριcτοφάνηc καθίηcι τὸ τῶν Ἱππέων δρᾶμα δι' αὑτοῦ, ἐπεὶ τῶν cκευοποιῶν οὐδεὶc ἐπλάcατο τὸ τοῦ Κλέωνοc πρόcωπον διὰ φόβον. καὶ τὰ μὲν πρῶτα κύπτει φοβούμενοc· εἶτα προφανεὶc αὐτὸc ἐδίδαξε τὸ δρᾶμα.*

2. *ἔοικεν ὁ προλογίζων εἶναι Δημοcθένηc, ὃc ἐκεκμήκει περὶ τὴν Πύλου πολιορκίαν, ἀφῃρέθη δὲ τὴν cτρατηγίαν ὑπὸ Κλέωνοc, ὑποcχομένου τότε τοῖc Ἀθηναίοιc παραcτήcεcθαι τὴν Πύλον εἴcω εἴκοcιν ἡμερῶν· ὃ καὶ κατώρθωcε διὰ τὸ τὰ πλεῖcτα τῆc ἁλώcεωc προπεπονῆcθαι Δημοcθένει. ἔοικε δὲ ὡc ἐπὶ οἰκίαc δεcποτικῆc ποιεῖcθαι τὸν λόγον. εἴη δ' ἂν δεcπότηc ὁ Δῆμοc, οἰκία ἡ πόλιc· οἰκέται δὲ δύο τοῦ Δήμου προλογίζουcι κακῶc πάcχοντεc ὑπὸ Κλέωνοc. ὁ δὲ χορὸc ἐκ τῶν ἱππέων ἐcτίν, οἳ καὶ ἐζημίωcαν τὸν Κλέωνα πέντε ταλάντοιc ἐπὶ δωροδοκίᾳ ἁλόντα. λέγουcι δὲ τῶν οἰκετῶν τὸν μὲν εἶναι Δημοcθένην, τὸν δὲ Νικίαν, ἵνα ὦcι δημηγόροι οἱ δύο.*

3. *ἰcτέον ὅτι εἰc τέτταρα μέρη διῄρητο ὁ δῆμοc τῶν Ἀθηναίων, εἰc πεντακοcιομεδίμνουc, εἰc ἱππέαc, εἰc ζευγίταc καὶ εἰc θῆταc.*

4. *ἐδιδάχθη τὸ δρᾶμα ἐπὶ Cτρατοκλέουc ἄρχοντοc δημοcίᾳ εἰc Λήναια δι' αὐτοῦ τοῦ Ἀριcτοφάνουc. πρῶτοc ἦν· ἐνίκα δεύτεροc Κρατῖνοc Cατύροιc, τρίτοc Ἀριcτομένηc Ὑλοφόροιc.*

3 *δι' αὑτοῦ* L: *δι' αὐτοῦ* VΓ: *δι' ἑαυτοῦ* EA: *ἑαυτοῦ* M 3–5 *καὶ ... δρᾶμα* om. M 5 *προφανεὶc* A: *προφανὲc* VEΓL *ἐδίδαξε* Gröbl: *ἀνεδίδαξε* codd. 7 *τὴν cτρατηγίαν* VEML: *τῆc cτρατηγίαc* ΓΘ *παραcτήcεcθαι* ΘMVv5: *-αcθαι* VEΓL 14 *καὶ ἐζημίωcαν* VEΓΘ: *κατεζημίωcαν* ML *πέντε ταλάντοιc* Musurus: *ταλάντοιc πέντε* Vv5: *ταλάντοιc πεντακοcίοιc* L: *ταλάντοιc φηcίν* M: *πέντε τάλαντα* VE: *τάλαντα πέντε* ΓΘ 15–16 *εἶναι . . . Νικίαν* VΓΘ: *Νικίαν εἶναι, τὸν δὲ Δημοcθένην* E: *Νικίαν, τὸν δὲ Δημοcθένην* ML 17–19 cf. sch. 627 17 *ἰcτέον ὅτι* V: om. cett. *διῄρητο* VM: *διῄρηται* EΓΘ 19 *καὶ* V: om. cett. 20 *δημοcίᾳ* VEL: om. ΓΘ 21 *αὐτοῦ* VEL: om. ΓΘ *τοῦ* Kuster: om. codd. *πρῶτοc ἦν· ἐνίκα* VVv5: *πρῶτον ἐνίκα* EΓΘ: *ἐνίκα* L: *ἐνίκα* fortasse delendum censet Rogers, sed *νικᾶν* non semper victoris est, cf. argumentum III ad Pacem 22 *Κρατῖνοc δεύτεροc* ceteris omissis L *Ὑλοφόροιc* VVv5: *ὁλοφύροιc* EΓΘ

5. οἰκία ἡ πόλις, δεσπότης ὁ δῆμος, θεράποντες οἱ στρατηγοί.

## III

## ΑΡΙϹΤΟΦΑΝΟΥϹ ΓΡΑΜΜΑΤΙΚΟΥ

Παράγει τινὰ Κλέωνα τὸν καλούμενον
Παφλαγόνα κἄτι βυρσοπώλην πικρότατα,
κατεσθίοντά πως τὰ κοινὰ χρήματα,
καὶ παραλογισμῷ διαφοροῦντ' ἐρρωμένως
ἀλλαντοπώλην, εὐθέως ⟨τε⟩ σκατοφάγον,
πεισθέντ' ἐπιτίθεσθαι σὺν ἱππεῦσίν τισιν,
ἐν τῷ χορῷ παροῦσι, τῇ τῶν πραγμάτων
ἀρχῇ, Κλέωνός τ' ἐν μέσῳ κατηγορεῖν.
ἐγένετο τοῦτ'· ἐξέπεσεν ὁ Κλέων παγκάκως,
ὁ δὲ σκατοφάγος ἔτυχε προεδρίας καλῆς.

III. Titulum Ἀριστοφάνους γραμματικοῦ VE: Ἀριστοφάνους ὑπόθεσις Ἱππέων Θ: Ἀριστοφάνους γραμματικοῦ ὑπόθεσις L: nullum Γ 1 τινα VEL: τὸν ΓΘ 2 post πικρότατα interpunxit Wagner 3 πως VEL: om. ΓΘ: ἀτόπως Wagner 4 καὶ Bekker: ἐν codd.: κἂν Portus παραλογισμῷ V: -οῖς cett. διαφοροῦντ' VEL: διαφοροῦντες ΓΘ: διαφέροντ' Kuster 5 suppl. Kuster: δὲ von Velsen 6 π. ἐπιτίθεσθαι Bergk: π. ἐπιθέσθαι codd.: πεισθέντα τ' ἐπιθέσθαι Portus 7 ἐν] τοῖς Portus 8 κατηγορεῖν Nauck: -εῖ codd.

## *ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟCΩΠΑ*

*ΔΗΜΟCΘΕΝΗC ΟΙΚΕΤΗC* | *ΠΑΦΛΑΓΩΝ*
*ΝΙΚΙΑC ΟΙΚΕΤΗC* | *ΧΟΡΟC ΙΠΠΕΩΝ*
*ΑΓΟΡΑΚΡΙΤΟC ΑΛΛΑΝΤΟΠΩΛΗC* | *ΔΗΜΟC*

# *ΙΠΠΗϹ*

*ΔΗΜΟϹΘΕΝΗϹ*

Ἰατταταιὰξ τῶν κακῶν, ἰατταταί.
κακῶϲ Παφλαγόνα τὸν νεώνητον κακὸν
αὐταῖϲι βουλαῖϲ ἀπολέϲειαν οἱ θεοί.
ἐξ οὗ γὰρ εἰϲήρρηϲεν εἰϲ τὴν οἰκίαν
πληγὰϲ ἀεὶ προϲτρίβεται τοῖϲ οἰκέταιϲ.

*ΝΙΚΙΑϹ*

κάκιϲτα δῆθ' οὗτόϲ γε πρῶτοϲ Παφλαγόνων
αὐταῖϲ διαβολαῖϲ.
*Δη.* ὦ κακόδαιμον, πῶϲ ἔχειϲ;
*Νι.* κακῶϲ, καθάπερ ϲύ.
*Δη.* δευρό νυν πρόϲελθ', ἵνα
ξυναυλίαν κλαύϲωμεν Οὐλύμπου νόμον.
*Δη. καὶ Νι.*
μυμῦ μυμῦ μυμῦ μυμῦ μυμῦ μυμῦ.
*Δη.* τί κινυρόμεθ' ἄλλωϲ; οὐκ ἐχρῆν ζητεῖν τινα
ϲωτηρίαν νῷν, ἀλλὰ μὴ κλάειν ἔτι;
*Νι.* τίϲ οὖν γένοιτ' ἄν;
*Δη.* λέγε ϲύ.
*Νι.* ϲὺ μὲν οὖν μοι λέγε,
ἵνα μὴ μάχωμαι.
*Δη.* μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ.
ἀλλ' εἰπὲ θαρρῶν, εἶτα κἀγώ ϲοι φράϲω.
*Νι.* ἀλλ' οὐκ ἔνι μοι τὸ θρέττε. πῶϲ ἂν οὖν ποτε 17
εἴποιμ' ἂν αὐτὸ δῆτα κομψευριπικῶϲ; 18

1–9 personarum vices parum certae 4 εἰϲήρρηϲεν] εἰϲέφρηϲεν v.l. ap. sch. 8 νυν P20, codd. plerique, Su. δ 287 : δὴ R, Ls.l. 13 τίϲ] τί P20 14 μὴ P20, R : ϲοι μὴ fere cett.

“πῶc ἂν cύ μοι λέξειας ἁμὲ χρὴ λέγειν;”
Δη. μὴ ’μοιγε, μὴ ’μοί, μὴ διαcκανδικίcῃc·
ἀλλ’ εὑρέ τιν’ ἀπόκινον ἀπὸ τοῦ δεcπότου.
Νι. λέγε δὴ “μο—λω—μεν” ξυνεχὲc ὡδὶ ξυλλαβών.
Δη. καὶ δὴ λέγω “μο—λω—μεν”.
Νι. ἐξόπιcθε νῦν
“αὐ—το” φάθι τοῦ “μο—λω—μεν”.
Δη. “αὐ—το”.
Νι. πάνυ καλῶc.
ὥcπερ δεφόμενοc νῦν ἀτρέμα πρῶτον λέγε
τὸ “μο—λω—μεν”, εἶτα δ’ “αὐ—το”, κᾆτ’ ἐπάγων
πυκνόν.
Δη. μο—λω—μεν αὐ-το μο-λω-μεν αὐτομολῶμεν.
Νι. ἤν,
οὐχ ἡδύ;
Δη. νὴ Δία· πλήν γε περὶ τῷ δέρματι
δέδοικα τουτονὶ τὸν οἰωνόν.
Νι. τί δαί;
Δη. ὁτιὴ τὸ δέρμα δεφομένων ἀπέρχεται.
Νι. κράτιcτα τοίνυν τῶν παρόντων ἐcτὶ νῷν,
θεῶν ἰόντε προcπεcεῖν του πρὸc βρέταc.
Δη. ποῖον βρετέτεταc; ἐτεὸν ἡγεῖ γὰρ θεούc;
Νι. ἔγωγε.
Δη. ποίῳ χρώμενοc τεκμηρίῳ;
Νι. ὁτιὴ θεοῖcιν ἐχθρόc εἰμ’. οὐκ εἰκότωc;
Δη. εὖ προcβιβάζειc μ’. ἀλλ’ ἑτέρᾳ πῃ cκεπτέον.
βούλει τὸ πρᾶγμα τοῖc θεαταῖcιν φράcω;

16 hunc v. post 18 transp. C. F. Hermann, post 14 Sauppe 21–6 voces ita syllabatim imprimendas curavit Holford-Strevens (21, 23 in Niciae partibus iam Kock) 25 κᾆτ’ ἐπάγων Enger: κατεπάγων RΦL: κατεπᾴδων vΓ² 26 ἤν L: ἦν cett. 29 post δέρμα add. τῶν codd.: del. Bentley τὸ δέρμ’ ὁτιὴ Brunck e B ἀπέρχεται ante τῶν δεφομένων transp. Reisig 31 του R: ποι cett. 32 βρετέτεταc Blaydes (1892), W. G. Clark: βρέταc RΦL: βρεττέταc vΓ², v.l. ap. sch. notam interrogationis non ante sed post ἐτεόν posuit Blaydes ἡγεῖ γὰρ] γὰρ ἡγεῖ ⟨τοὺc⟩ Richards γὰρ] cὺ R 35 πῃ Φ: ποι cett.

Νι. οὐ χεῖρον· ἓν δ' αὐτοὺϲ παραιτηϲώμεθα,
ἐπίδηλον ἡμῖν τοῖϲ προϲώποιϲιν ποιεῖν,
ἢν τοῖϲ ἔπεϲι χαίρωϲι καὶ τοῖϲ πράγμαϲιν.
Δη. λέγοιμ' ἂν ἤδη. νῷν γάρ ἐϲτι δεϲπότηϲ
ἄγροικοϲ ὀργήν, κυαμοτρώξ, ἀκράχολοϲ,
Δῆμοϲ Πυκνίτηϲ, δύϲκολον γερόντιον
ὑπόκωφον. οὗτοϲ τῇ προτέρᾳ νουμηνίᾳ
ἐπρίατο δοῦλον, βυρϲοδέψην Παφλαγόνα,
πανουργότατον καὶ διαβολώτατόν τινα.
οὗτοϲ καταγνοὺϲ τοῦ γέροντοϲ τοὺϲ τρόπουϲ,
ὁ βυρϲοπαφλαγών, ὑποπεϲὼν τὸν δεϲπότην
ᾔκαλλ', ἐθώπευ', ἐκολάκευ', ἐξηπάτα
κοϲκυλματίοιϲ ἄκροιϲι, τοιαυτὶ λέγων·
"ὦ Δῆμε, λοῦϲαι πρῶτον ἐκδικάϲαϲ μίαν,
ἐνθοῦ, ῥόφηϲον, ἔντραγ', ἔχε τριώβολον.
βούλει παραθῶ ϲοι δόρπον;" εἶτ' ἀναρπάϲαϲ
ὅ τι ἄν τιϲ ἡμῶν ϲκευάϲῃ, τῷ δεϲπότῃ
Παφλαγὼν κεχάριϲται τοῦτο. καὶ πρῴην γ' ἐμοῦ
μᾶζαν μεμαχότοϲ ἐν Πύλῳ Λακωνικήν,
πανουργότατά πωϲ περιδραμὼν ὑφαρπάϲαϲ
αὐτὸϲ παρέθηκε τὴν ὑπ' ἐμοῦ μεμαγμένην.
ἡμᾶϲ δ' ἀπελαύνει κοὐκ ἐᾷ τὸν δεϲπότην
ἄλλον θεραπεύειν, ἀλλὰ βυρϲίνην ἔχων
δειπνοῦντοϲ ἑϲτὼϲ ἀποϲοβεῖ τοὺϲ ῥήτοραϲ.
ᾄδει δὲ χρηϲμούϲ· ὁ δὲ γέρων ϲιβυλλιᾷ·
εἶτ' αὐτὸν ὡϲ ὁρᾷ μεμακκοακότα,
τέχνην πεπόηται· τοὺϲ γὰρ ἔνδον ἄντικρυϲ
ψευδῆ διαβάλλει· κᾆτα μαϲτιγούμεθα
ἡμεῖϲ· Παφλαγὼν δὲ περιθέων τοὺϲ οἰκέταϲ
αἰτεῖ, ταράττει, δωροδοκεῖ, λέγων τάδε·
"ὁρᾶτε τὸν Ὕλαν δι' ἐμὲ μαϲτιγούμενον;

51 ἐνθοῦ Dindorf: ἔνθου codd. 56 περιδραμὼν] παρα- V, Su. μ 35 61 ὁ δὲ RM, Su. c 362 : εἶθ' ὁ cett. 62 εἶτ' Bergk : ὁ δ' codd. 66 αἰτεῖ] ϲείει Blaydes : an ᾄττει?

εἰ μή μ' ἀναπείϲετ', ἀποθανεῖϲθε τήμερον."  
ἡμεῖϲ δὲ δίδομεν· εἰ δὲ μή, πατούμενοι  
ὑπὸ τοῦ γέροντοϲ ὀκταπλάϲιον χέζομεν.  
νῦν οὖν ἀνύϲαντε φροντίϲωμεν, ὦγαθέ,  
ποίαν ὁδὸν νὼ τρεπτέον καὶ πρὸϲ τίνα.  
Νι. κράτιϲτ' ἐκείνην τὴν "μόλωμεν", ὦγαθέ.  
Δη. ἀλλ' οὐχ οἷόν τε τὸν Παφλαγόν' οὐδὲν λαθεῖν·  
ἐφορᾷ γὰρ αὐτὸϲ πάντ'. ἔχει γὰρ τὸ ϲκέλοϲ  
τὸ μὲν ἐν Πύλῳ, τὸ δ' ἕτερον ἐν τἠκκληϲίᾳ.  
τοϲόνδε δ' αὐτοῦ βῆμα διαβεβηκότοϲ  
ὁ πρωκτόϲ ἐϲτιν αὐτόχρημ' ἐν Χάοϲιν,  
τὼ χεῖρ' ἐν Αἰτωλοῖϲ, ὁ νοῦϲ δ' ἐν Κλωπιδῶν.  
Νι. κράτιϲτον οὖν νῷν ἀποθανεῖν.  
Δη. ἀλλὰ ϲκόπει,  
ὅπωϲ ἂν ἀποθάνωμεν ἀνδρικώτατα.  
Νι. πῶϲ δῆτα, πῶϲ γένοιτ' ἂν ἀνδρικώτατα;  
βέλτιϲτον ἡμῖν αἷμα ταύρειον πιεῖν·  
ὁ Θεμιϲτοκλέουϲ γὰρ θάνατοϲ αἱρετώτεροϲ.  
Δη. μὰ Δί', ἀλλ' ἄκρατον οἶνον ἀγαθοῦ δαίμονοϲ.  
ἴϲωϲ γὰρ ἂν χρηϲτόν τι βουλευϲαίμεθα.  
Νι. ἰδού γ' ἄκρατον. περὶ πότου γοῦν ἐϲτί ϲοι.  
πῶϲ δ' ἂν μεθύων χρηϲτόν τι βουλεύϲαιτ' ἀνήρ;  
Δη. ἄληθεϲ, οὗτοϲ; κρουνοχυτρολήραιον εἶ.  
οἶνον ϲὺ τολμᾷϲ εἰϲ ἐπίνοιαν λοιδορεῖν;  
οἴνου γὰρ εὕροιϲ ἄν τι πρακτικώτερον;  
ὁρᾷϲ, ὅταν πίνωϲιν ἄνθρωποι, τότε  
πλουτοῦϲι, διαπράττουϲι, νικῶϲιν δίκαϲ,

68 *ἀναπείϲετ'* Vp3, v.l. ap. sch.: *ἀναπείϲητ'* cett. 70 *ὀκταπλάϲιον* VL: *-άϲια* R: *-αϲίονα* ΦM, Su. χ 183 72 *νὼ*] *νῶι* R: *νῷν* Pierson 73 *τὴν*] *ἣν* R 75 *αὐτὸϲ*] *οὗτοϲ* RM 79 *νοῦϲ δ'* R: *δὲ νοῦϲ δ'* M: *δὲ νοῦϲ* cett., Su. κ 1835 81 *ἀποθάνωμεν*] *-οιμεν* Φ 84 *αἱρετώτεροϲ* codd., Su. ν 539, Athenaeus 122A: *-τατοϲ* van Herwerden 87 *πότου* Φ: *ποτοῦ* cett. *γοῦν* ΑΘ: *γ' οὖν* P2, vΓ: *οὖν* RM: *γὰρ* V²M²L v. 87 ante 86 transp. Kock 89 *κρουνοχυτρολήραιον*] *-λήραιοϲ* Γ⁴: *-ληµαῖον* Bentley: alii alia 92 *ἄνθρωποι* Bergk: *ἅ-* codd.

εὐδαιμονοῦϲιν, ὠφελοῦϲι τοὺϲ φίλουϲ.
ἀλλ' ἐξένεγκέ μοι ταχέωϲ οἴνου χοᾶ,
τὸν νοῦν ἵν' ἄρδω καὶ λέγω τι δεξιόν.
Νι. οἴμοι, τί ποθ' ἡμᾶϲ ἐργάϲει τῷ ϲῷ πότῳ;
Δη. ἀγάθ'· ἀλλ' ἔνεγκ'· ἐγὼ δὲ κατακλινήϲομαι.
ἢν γὰρ μεθυϲθῶ, πάντα ταυτὶ καταπάϲω
βουλευματίων καὶ γνωμιδίων καὶ νοιδίων.
Νι. ὡϲ εὐτυχῶϲ ὅτι οὐκ ἐλήφθην ἔνδοθεν
κλέπτων τὸν οἶνον.
Δη. εἰπέ μοι, Παφλαγὼν τί δρᾷ;
Νι. ἐπίπαϲτα λείξαϲ δημιόπραθ' ὁ βάϲκανοϲ
ῥέγκει μεθύων ἐν ταῖϲι βύρϲαιϲ ὕπτιοϲ.
Δη. ἴθι νυν, ἄκρατον ἐγκάναξόν μοι πολὺν
ϲπονδήν.
Νι. λαβὲ δὴ καὶ ϲπεῖϲον ἀγαθοῦ δαίμονοϲ.
Δη. ἕλχ' ἕλκε τὴν τοῦ δαίμονοϲ τοῦ Πραμνίου.
ὦ δαῖμον ἀγαθέ, ϲὸν τὸ βούλευμ', οὐκ ἐμόν.
Νι. εἴπ', ἀντιβολῶ, τί ἐϲτι;
Δη. τοὺϲ χρηϲμοὺϲ ταχὺ
κλέψαϲ ἔνεγκε τοῦ Παφλαγόνοϲ ἔνδοθεν,
ἕωϲ καθεύδει.
Νι. ταῦτ'. ἀτὰρ τοῦ δαίμονοϲ
δέδοιχ' ὅπωϲ μὴ τεύξομαι κακοδαίμονοϲ.
Δη. φέρε νυν ἐγὼ 'μαυτῷ προϲαγάγω τὸν χοᾶ,
τὸν νοῦν ἵν' ἄρδω καὶ λέγω τι δεξιόν.
Νι. ὡϲ μεγάλ' ὁ Παφλαγὼν πέρδεται καὶ ῥέγκεται,
ὥϲτ' ἔλαθον αὐτὸν τὸν ἱερὸν χρηϲμὸν λαβών,
ὅνπερ μάλιϲτ' ἐφύλαττεν.
Δη. ὦ ϲοφώτατε,
φέρ' αὐτόν, ἵν' ἀναγνῶ· ϲὺ δ' ἔγχεον πιεῖν
ἀνύϲαϲ τι. φέρ' ἴδω, τί ἄρ' ἔνεϲτιν αὐτόθι;

96 v. del. Thiersch quod infra repetitur (114)  97 πότῳ ΑΓ: ποτῷ cett.  104 ῥέγκει VMΓ²L: ῥέγχει cett., Su. ε 2507  114 v. del. Wieland  115 πέρδεται καὶ ῥέγκεται] ῥέγκεται καὶ πέρδεται Φ  119 ἄρ'] sunt qui credant sch. ποτ' legisse

ὦ λόγια. δός μοι, δὸς τὸ ποτήριον ταχύ.
Νι. ἰδού. τί φηϲ' ὁ χρηϲμόϲ;
Δη. ἑτέραν ἔγχεον.
Νι. ἐν τοῖϲ λογίοιϲ ἔνεϲτιν "ἑτέραν ἔγχεον";
Δη. ὦ Βάκι.
Νι. τί ἐϲτι;
Δη. δὸϲ τὸ ποτήριον ταχύ.
Νι. πολλῷ γ' ὁ Βάκιϲ ἐχρῆτο τῷ ποτηρίῳ.
Δη. ὦ μιαρὲ Παφλαγών, ταῦτ' ἄρ' ἐφυλάττου πάλαι,
τὸν περὶ ϲεαυτοῦ χρηϲμὸν ὀρρωδῶν.
Νι. τιή;
Δη. ἐνταῦθ' ἔνεϲτιν, αὐτὸϲ ὡϲ ἀπόλλυται.
Νι. καὶ πῶϲ;
Δη. ὅπωϲ; ὁ χρηϲμὸϲ ἄντικρυϲ λέγει
ὡϲ πρῶτα μὲν ϲτυππειοπώληϲ γίγνεται,
ὃϲ πρῶτοϲ ἕξει τῆϲ πόλεωϲ τὰ πράγματα.
Νι. εἷϲ οὑτοϲὶ πώληϲ. τί τοὐντεῦθεν; λέγε.
Δη. μετὰ τοῦτον αὖθιϲ προβατοπώληϲ δεύτεροϲ.
Νι. δύο τώδε πώλα. καὶ τί τόνδε χρὴ παθεῖν;
Δη. κρατεῖν, ἕωϲ ἕτεροϲ ἀνὴρ βδελυρώτεροϲ
αὐτοῦ γένοιτο· μετὰ δὲ ταῦτ' ἀπόλλυται.
ἐπιγίγνεται γὰρ βυρϲοπώληϲ ὁ Παφλαγών,
ἅρπαξ, κεκράκτηϲ, Κυκλοβόρου φωνὴν ἔχων.
Νι. τὸν προβατοπώλην ἦν ἄρ' ἀπολέϲθαι χρεὼν
ὑπὸ βυρϲοπώλου;
Δη. νὴ Δί'.
Νι. οἴμοι δείλαιοϲ.
πόθεν οὖν ἂν ἔτι γένοιτο πώληϲ εἷϲ μόνοϲ;
Δη. ἔτ' ἔϲτιν εἷϲ, ὑπερφυᾶ τέχνην ἔχων.
Νι. εἴπ', ἀντιβολῶ, τίϲ ἐϲτιν;
Δη. εἴπω;
Νι. νὴ Δία.

120 μοι, δὸϲ τὸ Rv: ϲύ μοι τὸ V²: ϲύ μοι, δὸϲ τὸ Φ: δὸϲ ϲύ μοι L
121 φηϲ' Bentley: φηϲὶν codd. 133 τόνδε] τοῦτον vΓ²

Δη. ἀλλαντοπώληϲ ἔϲθ' ὁ τοῦτον ἐξελῶν.
Νι. ἀλλαντοπώληϲ; ὦ Πόϲειδον, τῆϲ τέχνηϲ.
φέρε, ποῦ τὸν ἄνδρα τοῦτον ἐξευρήϲομεν;
Δη. ζητῶμεν αὐτόν. ἀλλ' ὁδὶ προϲέρχεται
ὥϲπερ κατὰ θεὸν εἰϲ ἀγοράν. ὦ μακάριε
ἀλλαντοπῶλα, δεῦρο δεῦρ', ὦ φίλτατε,
ἀνάβαινε, ϲωτὴρ τῇ πόλει καὶ νῷν φανείϲ.

ΑΛΛΑΝΤΟΠΩΛΗϹ
τί ἐϲτι; τί με καλεῖτε;
Δη. δεῦρ' ἔλθ', ἵνα πύθῃ
ὡϲ εὐτυχὴϲ εἶ καὶ μεγάλωϲ εὐδαιμονεῖϲ.
Νι. ἴθι δή, κάθελ' αὐτοῦ τοὐλεὸν καὶ τοῦ θεοῦ
τὸν χρηϲμὸν ἀναδίδαξον αὐτὸν ὡϲ ἔχει·
ἐγὼ δ' ἰὼν προϲκέψομαι τὸν Παφλαγόνα.
Δη. ἄγε δὴ ϲὺ κατάθου πρῶτα τὰ ϲκεύη χαμαί·
ἔπειτα τὴν γῆν πρόϲκυϲον καὶ τοὺϲ θεούϲ.
Αλ. ἰδού· τί ἐϲτιν;
Δη. ὦ μακάρι', ὦ πλούϲιε,
ὦ νῦν μὲν οὐδείϲ, αὔριον δ' ὑπέρμεγαϲ,
ὦ τῶν Ἀθηνῶν ταγὲ τῶν εὐδαιμόνων.
Αλ. τί μ', ὦγάθ', οὐ πλύνειν ἐᾷϲ τὰϲ κοιλίαϲ
πωλεῖν τε τοὺϲ ἀλλᾶνταϲ, ἀλλὰ καταγελᾷϲ;
Δη. ὦ μῶρε, ποίαϲ κοιλίαϲ; δευρὶ βλέπε.
τὰϲ ϲτίχαϲ ὁρᾷϲ τὰϲ τῶνδε τῶν λαῶν;
Αλ. ὁρῶ.
Δη. τούτων ἁπάντων αὐτὸϲ ἀρχέλαϲ ἔϲει,
καὶ τῆϲ ἀγορᾶϲ καὶ τῶν λιμένων καὶ τῆϲ Πυκνόϲ·
βουλὴν πατήϲειϲ καὶ ϲτρατηγοὺϲ κλαϲτάϲειϲ,

143 ἐξελῶν R, sch.: ἐξολῶν cett. 146–7 verba ἀλλ' ὁδὶ ... ἀγοράν alterutri servo tribuere possis 147 κατὰ θεὸν sch., Cobet: κατὰ θεῖον codd. plerique: καταθείων R: κατὰ δαίμονα dubitanter Blaydes 153 αὐτὸν ante ἀναδίδαξον transp. ΑΓ, om. Θ 154 προϲκέψομαι EM, lm. sch.: προϲϲκ- cett. 159 Ἀθηνῶν Dawes: Ἀθηναίων codd., Su. τ 13: Ἀθηνέων Bergk, cf. *Nub.* 401 163 alterum τὰϲ vM: γε L: om. cett.

δήσεις, φυλάξεις, ἐν πρυτανείῳ λαικάσει.
Αλ. ἐγώ;
Δη. σὺ μέντοι· κοὐδέπω γε πάνθ᾽ ὁρᾷς.
ἀλλ᾽ ἐπανάβηθι κἀπὶ τοὐλεὸν τοδὶ
καὶ κάτιδε τὰς νήσους ἁπάσας ἐν κύκλῳ.
Αλ. καθορῶ.
Δη. τί δαί; τἀμπόρια καὶ τὰς ὁλκάδας;
Αλ. ἔγωγε.
Δη. πῶς οὖν οὐ μεγάλως εὐδαιμονεῖς;
ἔτι νῦν τὸν ὀφθαλμὸν παράβαλ᾽ εἰς Καρίαν
τὸν δεξιόν, τὸν δ᾽ ἕτερον εἰς Καρχηδόνα.
Αλ. εὐδαιμονήσω γ᾽ εἰ διαστραφήσομαι.
Δη. οὔκ, ἀλλὰ διὰ σοῦ ταῦτα πάντα πέρναται.
γίγνει γάρ, ὡς ὁ χρησμὸς οὑτοσὶ λέγει,
ἀνὴρ μέγιστος.
Αλ. εἰπέ μοι, καὶ πῶς ἐγὼ
ἀλλαντοπώλης ὢν ἀνὴρ γενήσομαι;
Δη. δι᾽ αὐτὸ γάρ τοι τοῦτο καὶ γίγνει μέγας,
ὁτιὴ πονηρὸς κἀξ ἀγορᾶς εἶ καὶ θρασύς.
Αλ. οὐκ ἀξιῶ ᾽γὼ ᾽μαυτὸν ἰσχύειν μέγα.
Δη. οἴμοι, τί ποτ᾽ ἔσθ᾽ ὅτι σαυτὸν οὐ φῂς ἄξιον;
ξυνειδέναι τί μοι δοκεῖς σαυτῷ καλόν.
μῶν ἐκ καλῶν εἶ κἀγαθῶν;
Αλ. μὰ τοὺς θεούς,
εἰ μὴ ᾽κ πονηρῶν γ᾽.
Δη. ὦ μακάριε τῆς τύχης,
ὅσον πέπονθας ἀγαθὸν εἰς τὰ πράγματα.
Αλ. ἀλλ᾽, ὦγάθ᾽, οὐδὲ μουσικὴν ἐπίσταμαι
πλὴν γραμμάτων, καὶ ταῦτα μέντοι κακὰ κακῶς.
Δη. τουτί σε μόνον ἔβλαψεν, ὅτι καὶ κακὰ κακῶς.

167 λαικάσει $V^{pc}$, $L^{ac}$ ut videtur, Vp3B: -εις cett. 171 δαί] δέ RM 173 παράβαλ᾽] -βαλλ᾽ R 174 Καρχηδόνα] Καλχηδόνα Dindorf post Palmerium 175 γ᾽] δ᾽ R 177 ὡς] ὄντως R, quo recepto σοι pro οὑτοσὶ Kock 182 ἰσχύειν R$\Gamma^2$M, Su. α 2824: -ύσειν vΦL: -ῦσαι cB 187 ὅσον R, γρ, v.l. ap. sch.: οἷον cett. 190 σε μόνον] μόνον σ᾽ R

ἡ δημαγωγία γὰρ οὐ πρὸϲ μουϲικοῦ
ἔτ' ἐϲτὶν ἀνδρὸϲ οὐδὲ χρηϲτοῦ τοὺϲ τρόπουϲ,
ἀλλ' εἰϲ ἀμαθῆ καὶ βδελυρόν.† ἀλλὰ μὴ παρῇϲ
ἅ ϲοι διδόαϲ' ἐν τοῖϲ λογίοιϲιν οἱ θεοί.
Αλ. πῶϲ δῆτά φηϲ' ὁ χρηϲμόϲ;
Δη. εὖ νὴ τοὺϲ θεούϲ,
καὶ ποικίλωϲ πωϲ καὶ ϲοφῶϲ ᾐνιγμένοϲ·
"ἀλλ' ὁπόταν μάρψῃ βυρϲαίετοϲ ἀγκυλοχήληϲ
γαμφηλῇϲι δράκοντα κοάλεμον αἱματοπώτην,
δὴ τότε Παφλαγόνων μὲν ἀπόλλυται ἡ ϲκοροδάλμη,
κοιλιοπώληϲιν δὲ θεὸϲ μέγα κῦδοϲ ὀπάζει,
αἴ κεν μὴ πωλεῖν ἀλλᾶνταϲ μᾶλλον ἕλωνται."
Αλ. πῶϲ οὖν πρὸϲ ἐμὲ ταῦτ' ἐϲτίν; ἀναδίδαϲκέ με.
Δη. βυρϲαίετοϲ μὲν ὁ Παφλαγών ἐϲθ' οὑτοϲί.
Αλ. τί δ' ἀγκυλοχήληϲ ἐϲτίν;
Δη. αὐτό που λέγει,
ὅτι ἀγκύλαιϲ ταῖϲ χερϲὶν ἁρπάζων φέρει.
Αλ. ὁ δράκων δὲ πρὸϲ τί;
Δη. τοῦτο περιφανέϲτατον.
ὁ δράκων γάρ ἐϲτι μακρὸν ὅ τ' ἀλλᾶϲ αὖ μακρόν·
εἶθ' αἱματοπώτηϲ ἔϲθ' ὅ τ' ἀλλᾶϲ χὠ δράκων.
τὸν οὖν δράκοντά φηϲι τὸν βυρϲαίετον
ἤδη κρατήϲειν, αἴ κε μὴ θαλφθῇ λόγοιϲ.
Αλ. τὰ μὲν λόγι' αἰκάλλει με· θαυμάζω δ' ὅπωϲ
τὸν δῆμον οἷόϲ τ' ἐπιτροπεύειν εἴμ' ἐγώ.
Δη. φαυλότατον ἔργον· ταὖθ' ἅπερ ποιεῖϲ ποίει·
τάραττε καὶ χόρδευ' ὁμοῦ τὰ πράγματα

193 locus nondum expeditus; post βδελυρὸν add. ἥκει, deleto ἀλλὰ, van Herwerden (1862); gravius hic latere mendum suspicor; fortasse lacuna statuenda est   194 διδόαϲ' VΓ²: διδόαϲιν cett.   196 ϲοφῶϲ RM, Su. η 386: ϲαφῶϲ cett.   ᾐνιγμένοϲ] -μένα Meineke   197 ἀγκυλοχήληϲ ΓM^pc, sch.: -χείληϲ cett.   201 κεν L: κα R: κε cett. (v. om. Φ)   204 ἀγκυλοχήληϲ M^pc: -χείληϲ cett.   207 ὅ τ' ἀλλᾶϲ Bentley: ἀλλᾶϲ τ' vel ἀλλάϲ τ' codd.   208 ἔϲθ'] ἐϲτὶν RM   211 λόγι' αἰκάλλει RM: λόγια καλεῖ vel sim. cett.   212 εἴμ' hic RM: ante ἐπιτροπεύειν transp. cett.   213 ταὖθ' Lenting: ταῦθ' codd.

ἅπαντα, καὶ τὸν δῆμον ἀεὶ προϲποιοῦ
ὑπογλυκαίνων ῥηματίοιϲ μαγειρικοῖϲ.
τὰ δ' ἄλλα ϲοι πρόϲεϲτι δημαγωγικά,
φωνὴ μιαρά, γέγοναϲ κακῶϲ, ἀγόραιοϲ εἶ·
ἔχειϲ ἅπαντα πρὸϲ πολιτείαν ἃ δεῖ·
χρηϲμοί τε ϲυμβαίνουϲι καὶ τὸ Πυθικόν.
ἀλλὰ ϲτεφανοῦ καὶ ϲπένδε τῷ Κοαλέμῳ·
χὤπωϲ ἀμυνεῖ τὸν ἄνδρα.

Αλ. καὶ τίϲ ξύμμαχοϲ
γενήϲεταί μοι; καὶ γὰρ οἵ τε πλούϲιοι
δεδίαϲιν αὐτὸν ὅ τε πένηϲ βδύλλει λεώϲ.

Δη. ἀλλ' εἰϲὶν ἱππῆϲ ἄνδρεϲ ἀγαθοὶ χίλιοι
μιϲοῦντεϲ αὐτόν, οἳ βοηθήϲουϲί ϲοι,
καὶ τῶν πολιτῶν οἱ καλοί τε κἀγαθοί.
καὶ τῶν θεατῶν ὅϲτιϲ ἐϲτὶ δεξιόϲ,
κἀγὼ μετ' αὐτῶν, χὠ θεὸϲ ξυλλήψεται.
καὶ μὴ δέδιθ'· οὐ γάρ ἐϲτιν ἐξῃκαϲμένοϲ,
ὑπὸ τοῦ δέουϲ γὰρ αὐτὸν οὐδεὶϲ ἤθελεν
τῶν ϲκευοποιῶν εἰκάϲαι. πάντωϲ γε μὴν
γνωϲθήϲεται· τὸ γὰρ θέατρον δεξιόν.

Νι. οἴμοι κακοδαίμων, ὁ Παφλαγὼν ἐξέρχεται.

ΠΑΦΛΑΓΩΝ

οὔτοι μὰ τοὺϲ δώδεκα θεοὺϲ χαιρήϲετον,
ὁτιὴ 'πὶ τῷ δήμῳ ξυνόμνυτον πάλαι.
τουτὶ τί δρᾷ τὸ Χαλκιδικὸν ποτήριον;
οὐκ ἔϲθ' ὅπωϲ οὐ Χαλκιδέαϲ ἀφίϲτατον.
ἀπολεῖϲθον, ἀποθανεῖϲθον, ὦ μιαρωτάτω.

Δη. οὗτοϲ, τί φεύγειϲ; οὐ μενεῖϲ; ὦ γεννάδα
ἀλλαντοπῶλα, μὴ προδῷϲ τὰ πράγματα.
ἄνδρεϲ ἱππῆϲ, παραγένεϲθε· νῦν ὁ καιρόϲ. ὦ Ϲίμων,

215 v. om. R 218 ἀγόραιοϲ R: ἀγοραῖοϲ cett. 219 post ἅπαντα add. τὰ v, del. V[pc] 220 v. del. van Herwerden 234 v. Insiciario tribuunt quidam 236 ξυνόμνυτον R: ξυνω- cett. 242 παραγένεϲθε R: παραγίγνεϲθε cett.

ὦ Παναίτι᾽, οὐκ ἐλᾶτε πρὸϲ τὸ δεξιὸν κέραϲ;
ἄνδρεϲ ἐγγύϲ. ἀλλ᾽ ἀμύνου κἀπαναϲτρέφου πάλιν.
ὁ κονιορτὸϲ δῆλοϲ αὐτῶν ὡϲ ὁμοῦ προϲκειμένων.
ἀλλ᾽ ἀμύνου καὶ δίωκε καὶ τροπὴν αὐτοῦ ποιοῦ.

ΧΟΡΟϹ

παῖε παῖε τὸν πανοῦργον καὶ ταραξιππόϲτρατον
καὶ τελώνην καὶ φάραγγα καὶ Χάρυβδιν ἁρπαγῆϲ,
καὶ πανοῦργον καὶ πανοῦργον· πολλάκιϲ γὰρ αὔτ᾽ ἐρῶ·
καὶ γὰρ οὗτοϲ ἦν πανοῦργοϲ πολλάκιϲ τῆϲ ἡμέραϲ.
ἀλλὰ παῖε καὶ δίωκε καὶ τάραττε καὶ κύκα
καὶ βδελύττου, καὶ γὰρ ἡμεῖϲ, κἀπικείμενοϲ βόα·
εὐλαβοῦ δὲ μὴ ᾽κφύγῃ ϲε· καὶ γὰρ οἶδε τὰϲ ὁδούϲ,
ἅϲπερ Εὐκράτηϲ ἔφευγεν εὐθὺ τῶν κυρηβίων.

Πα. ὦ γέροντεϲ ἡλιαϲταί, φράτερεϲ τριωβόλου,
οὓϲ ἐγὼ βόϲκω κεκραγὼϲ καὶ δίκαια κἄδικα,
παραβοηθεῖθ᾽, ὡϲ ὑπ᾽ ἀνδρῶν τύπτομαι ξυνωμοτῶν.

Δη. ἐν δίκῃ γ᾽, ἐπεὶ τὰ κοινὰ πρὶν λαχεῖν κατεϲθίειϲ,
κἀποϲυκάζειϲ πιέζων τοὺϲ ὑπευθύνουϲ, ϲκοπῶν
ὅϲτιϲ αὐτῶν ὠμόϲ ἐϲτιν ἢ πέπων ἢ †μὴ πέπων.
καὶ ϲκοπεῖϲ γε τῶν πολιτῶν ὅϲτιϲ ἐϲτὶν ἀμνοκῶν, 264
πλούϲιοϲ καὶ μὴ πονηρὸϲ καὶ τρέμων τὰ 265
πράγματα.
κἄν τιν᾽ αὐτῶν γνῷϲ ἀπράγμον᾽ ὄντα καὶ κεχηνότα, 261
καταγαγὼν ἐκ Χερρονήϲου, διαβαλών, ἀγκυρίϲαϲ, 262
εἶτ᾽ ἀποϲτρέψαϲ τὸν ὦμον αὐτὸν ἐνεκολήβαϲαϲ. 263

243 πρὸϲ] καὶ lm. sch. VE 244 ἄνδρεϲ Bekker: ἅ- codd. 248 φάραγγα] φάλαγγα V: φάρυγγα E, Su. π 873 254 ἔφευγεν Su. ε 3556, τ 146 codd. AGF: ἔφυγεν codd. 255 φράτερεϲ Dindorf ex Eustathio 239.35: φράτορεϲ codd. 258–60 Demostheni tribuit Gomme 260 ὠμόϲ] ὠχρόϲ vel χλωρόϲ Gomme μὴ πέπων] μηδέπω Kock 264–5 ante 261 transp. Brunck 264 ϲκοπεῖϲ] ϲποδεῖϲ Meineke 261 κἄν Γ²: κἤν cett. 262 διαβαλὼν] διαλαβὼν Casaubon 263 ἐνεκολήβαϲαϲ Bentley ex Hsch. (cf. etiam *Et. Magn.* 340.33): ἐνεκολάβηϲαϲ fere codd. (ἀνε- Φ)

Πα. ξυνεπίκειϲθ' ὑμεῖϲ; ἐγὼ δ', ἄνδρεϲ, δι' ὑμᾶϲ τύπτομαι,
ὅτε λέγειν γνώμην ἔμελλον ὡϲ δίκαιον ἐν πόλει
ἱϲτάναι μνημεῖον ὑμῶν ἐϲτιν ἀνδρείαϲ χάριν;
Χο. ὡϲ δ' ἀλαζών, ὡϲ δὲ μάϲθληϲ· εἶδεϲ οἷ ὑπέρχεται
ὡϲπερεὶ γέρονταϲ ἡμᾶϲ κἀκκοβαλικεύεται.
ἀλλ' ἐὰν ταύτῃ γ' ἐνιῇ, ταυτῃὶ πεπλήξεται·
ἢν δ' ὑπεκκλίνῃ γε δευρί, πρὸϲ ϲκέλοϲ κυρηβάϲει.
Πα. ὦ πόλιϲ καὶ δῆμ', ὑφ' οἵων θηρίων γαϲτρίζομαι.
Δη. καὶ κέκραγαϲ, ὥϲπερ ἀεὶ τὴν πόλιν καταϲτρέφειϲ;
Πα. ἀλλ' ἐγώ ϲε τῇ βοῇ ταύτῃ γε πρῶτα τρέψομαι.
Χο. ἀλλ' ἐὰν μὲν τόνδε νικᾷϲ τῇ βοῇ, τήνελλοϲ εἶ·
ἢν δ' ἀναιδείᾳ παρέλθῃ ϲ', ἡμέτεροϲ ὁ πυραμοῦϲ.
Πα. τουτονὶ τὸν ἄνδρ' ἐγὼ 'νδείκνυμι, καὶ φήμ' ἐξάγειν
ταῖϲι Πελοποννηϲίων τριήρεϲι ζωμεύματα.
Αλ. ναὶ μὰ Δία κἄγωγε τοῦτον, ὅτι κενῇ τῇ κοιλίᾳ
εἰϲδραμὼν εἰϲ τὸ πρυτανεῖον, εἶτα πάλιν ἐκθεῖ πλέᾳ.
Δη. νὴ Δί', ἐξάγων γε τἀπόρρηθ', ἅμ' ἄρτον καὶ κρέαϲ
καὶ τέμαχοϲ, οὗ Περικλέηϲ οὐκ ἠξιώθη πώποτε.
Πα. ἀποθανεῖϲθον αὐτίκα μάλα.
Αλ. τριπλάϲιον κεκράξομαί ϲου.
Πα. καταβοήϲομαι βοῶν ϲε.
Αλ. κατακεκράξομαί ϲε κράζων.

266 ἄνδρεϲ R: ὦνδρεϲ cett. 267 ὅτε Wilson: ὅτι codd. 268 ἱϲτάναι Elmsley: ἑϲτάναι codd. ὑμῶν] ὑμῖν Blaydes 269 εἶδεϲ] εἴδεθ' Blaydes 270 ἡμᾶϲ om. R κἀκκοβαλικεύεται Toup: ἐκκοβ- codd.: καὶ κοβ- Cobet 271 γ' ἐνίῃ Sommerstein: γε νικᾷ codd.: γ' ἐνῆται Eden: alii alia 272 πρὸϲ] τὸ R 273 post hunc v. lacunam unius v. statuit Sauppe 274 Demostheni tribuit Coulon ὥϲπερ] ὅϲπερ B καταϲτρέφειϲ] -ει R 274–5 de personarum vicibus parum constat 275 πρῶτα R: πρῶτον cett. 276 μὲν τόνδε Porson: μέντοι γε codd. τήνελλοϲ εἶ] τήνελλά ϲοι Kock (melius ϲοί, ut vidit Blaydes) 277 παρέλθῃ ϲ' M: παρέλθηϲ cett. 278 'νδείκνυμι Dobree e sch.: δείκνυμι codd. ἐξάγων Porson: ἐξαγαγὼν fere codd. κρέαϲ] κρέα R: sch. utrumque agnoscunt 282–3 choro tribuunt quidam

Πα. διαβαλῶ ϲ’ ἐὰν ϲτρατηγῇϲ.
Αλ. κυνοκοπήϲω ϲου τὸ νῶτον.
Πα. περιελῶ ϲ’ ἀλαζονείαιϲ.
Αλ. ὑποτεμοῦμαι τὰϲ ὁδούϲ ϲου.
Πα. βλέψον εἴϲ μ’ ἀϲκαρδάμυκτον.
Αλ. ἐν ἀγορᾷ κἀγὼ τέθραμμαι.
Πα. διαφορήϲω ϲ’ εἴ τι γρύξει.
Αλ. κοπροφορήϲω ϲ’ εἰ λακήϲει.
Πα. ὁμολογῶ κλέπτειν· ϲὺ δ’ οὐχί.
Αλ. νὴ τὸν Ἑρμῆν τὸν ἀγοραῖον.
κἀπιορκῶ γε βλεπόντων.
Πα. ἀλλότρια τοίνυν ϲοφίζει.
καί ϲε φαίνω τοῖϲ πρυτάνεϲιν
ἀδεκατεύτουϲ τῶν θεῶν ἱερὰϲ ἔχοντα κοιλίαϲ.

Χο. ὦ μιαρὲ καὶ βδελυρὲ κρᾶκτα, τοῦ ϲοῦ θράϲουϲ [ϲτρ. α
πᾶϲα μὲν γῆ πλέα, πᾶϲα δ’ ἐκκληϲία,
καὶ τέλη καὶ γραφαὶ καὶ δικαϲτήρι’, ὦ
βορβοροτάραξι καὶ τὴν πόλιν ἅπαϲαν ἡ-
μῶν ἀνατετυρβακώϲ,
ὅϲτιϲ ἡμῖν τὰϲ Ἀθήναϲ ἐκκεκώφωκαϲ βοῶν
κἀπὸ τῶν πετρῶν ἄνωθεν τοὺϲ φόρουϲ 313
θυννοϲκοπῶν.

Πα. οἶδ’ ἐγὼ τὸ πρᾶγμα τοῦθ’ ὅθεν πάλαι καττύεται. 314
Αλ. εἰ δὲ μὴ ϲύ γ’ οἶϲθα κάττυμ’, οὐδ’ ἐγὼ χορδεύματα,

290 ἀλαζονείαιϲ Elmsley: -είαϲ codd., Su. π 1117 292 μ’ R: ἔμ’ cett. ἀϲκαρδάμυκτον Su. α 4162: -κτωϲ ΦM, lm. sch. MΘ: -τοϲ cett., lm. sch. VEΓ³: -τί *Et. Magn.* 716.13, Bekker *Anecdota* 452.22, *Synagoge* (cod. B) α 2239 294 γρύξει Elmsley: -ξειϲ RvΓ², Su. κ 2059: γρύζειϲ cett. 295 λακήϲει Blaydes: λακήϲειϲ B: λαλήϲειϲ cett. λαλήϲειϲ et τι γρύξει inverso ordine legit Pohlenz, Su. κ 2059 fretus 300 ϲε φαίνω Bentley: ϲε φανῶ codd.: φήϲω ϲε Athenaeus 94c: φανῶ ϲε Porson 301–2 ἱερὰϲ ἔχοντα] ἱρὰϲ ἔχοντα Hermann olim, ἔχοντά ϲ’ ἱερὰϲ serius 304 κρᾶκτα Meineke, duce Dobree: καὶ κρᾶκτα Φ: καὶ κέκρακτα cett. et Heliodorus ap. sch. 311 ἡμῖν Bentley: ἡμῶν codd. ἐκκεκώφωκαϲ Reiske: -φευκαϲ Φ: -φηκαϲ fere cett. (ἀνακεκώφηκαϲ Su. s.v.)

ὅϲτιϲ ὑποτέμνων ἐπώλειϲ δέρμα μοχθηροῦ βοὸϲ
τοῖϲ ἀγροίκοιϲιν πανούργωϲ, ὥϲτε φαίνεϲθαι παχύ,
καὶ πρὶν ἡμέραν φορῆϲαι, μεῖζον ἦν δυοῖν δοχμαῖν.
Δη. νὴ Δία κἀμὲ τοῦτ᾿ ἔδραϲε ταὐτόν, ὥϲτε κατάγελων
πάμπολυν τοῖϲ δημόταιϲι καὶ φίλοιϲ παραϲχεθεῖν.
πρὶν γὰρ εἶναι Περγαϲῆϲιν, ἔνεον ἐν ταῖϲ ἐμβάϲιν.

Χο. ἆρα δῆτ᾿ οὐκ ἀπ᾿ ἀρχῆϲ ἐδήλουϲ ἀναίδειαν, [ϲτρ. β
ἥπερ μόνη
προϲτατεῖ ῥητόρων;
ᾗ ϲὺ πιϲτεύων ἀμέργειϲ τῶν ξένων τοὺϲ καρπίμουϲ,
πρῶτοϲ ὤν· ὁ δ᾿ Ἱπποδάμου λείβεται θεώμενοϲ.
ἀλλ᾿ ἐφάνη γὰρ ἀνὴρ ἕτεροϲ πολὺ
ϲοῦ μιαρώτεροϲ, ὥϲτε με χαίρειν,
ὅϲ ϲε παύϲει καὶ πάρειϲι, δῆλόϲ ἐϲτιν αὐτόθεν,
πανουργίᾳ τε καὶ θράϲει
καὶ κοβαλικεύμαϲιν.
ἀλλ᾿, ὦ τραφεὶϲ ὅθενπέρ εἰϲιν ἄνδρεϲ οἵπερ εἰϲίν,
νῦν δεῖξον ὡϲ οὐδὲν λέγει τὸ ϲωφρόνωϲ τραφῆναι.

Αλ. καὶ μὴν ἀκούϲαθ᾿ οἷόϲ ἐϲτιν οὑτοϲὶ πολίτηϲ.
Πα. οὐκ αὖ μ᾿ ἐάϲειϲ;
Αλ. μὰ Δί᾿, ἐπεὶ κἀγὼ πονηρόϲ εἰμι.
Δη. ἐὰν δὲ μὴ ταύτῃ γ᾿ ὑπείκῃ, λέγ᾿ ὅτι κἀκ πονηρῶν.
Πα. οὐκ αὖ μ᾿ ἐάϲειϲ;
Αλ. μὰ Δία.
Πα. ναὶ μὰ Δία.
Αλ. μὰ τὸν Ποϲειδῶ.

316 ὑποτέμνων] ὑποτεμὼν Su. μ 1308 318 δυοῖν] δυεῖν R 319 ante νὴ Δία add. καὶ codd. praeter R νὴ Δία post ταὐτὸν transp. Porson κατάγελων] καὶ γέλων Elmsley 320 δημόταιϲι] δημόταιϲ Φ καὶ R: καὶ τοῖϲ cett. 325 post προϲτατεῖ add. τῶν codd.: del. Bentley 326 ἀμέργειϲ Bothe e sch.: ἀμέλγει R: ἀμέλγειϲ cett., Su. α 1544 327 Ἱπποδάμου] -δαμοϲ Su. λ 357 codd. GVM 330 non post sed ante αὐτόθεν interpungunt quidam 333 ὅθενπέρ εἰϲιν] ὅθεν πάρειϲιν AM 338 οὐκ αὖ] οὐκοῦν c: οὔκουν Dobree

ἀλλ' αὐτὸ περὶ τοῦ πρότεροc εἰπεῖν πρῶτα
    διαμαχοῦμαι.
Πα. οἴμοι, διαρραγήcομαι.
Αλ. καὶ μὴν ἐγὼ οὐ παρήcω.
Δη. πάρεc πάρεc πρὸc τῶν θεῶν αὐτῷ διαρραγῆναι.
Πα. τῷ καὶ πεποιθὼc ἀξιοῖc ἐμοῦ λέγειν ἔναντα;
Αλ. ὁτιὴ λέγειν οἷόc τε κἀγὼ καὶ καρυκοποιεῖν.
Πα. ἰδοὺ λέγειν. καλῶc γ' ἂν οὖν cὺ πρᾶγμα προcπεcόν coι
ὠμοcπάρακτον παραλαβὼν μεταχειρίcαιο
    χρηcτῶc.
ἀλλ' οἶcθ' ὅ μοι πεπονθέναι δοκεῖc; ὅπερ τὸ πλῆθοc.
εἴ που δικίδιον εἶπαc εὖ κατὰ ξένου μετοίκου,
τὴν νύκτα θρυλῶν καὶ λαλῶν ἐν ταῖc ὁδοῖc cεαυτῷ,
ὕδωρ τε πίνων κἀπιδεικνὺc τοὺc φίλουc τ' ἀνιῶν,
ᾤου δυνατὸc εἶναι λέγειν. ὦ μῶρε, τῆc ἀνοίαc.
Αλ. τί δαὶ cὺ πίνων τὴν πόλιν πεποίηκαc ὥcτε νυνὶ
ὑπὸ coῦ μονωτάτου κατεγλωττιcμένην cιωπᾶν;
Πα. ἐμοὶ γὰρ ἀντέθηκαc ἀνθρώπων τιν'; ὅcτιc εὐθὺc
θύννεια θερμὰ καταφαγών, κᾆτ' ἐπιπιὼν ἀκράτου
οἴνου χοᾶ καcαλβάcω τοὺc ἐν Πύλῳ cτρατηγούc.
Αλ. ἐγὼ δέ γ' ἤνυcτρον βοὸc καὶ κοιλίαν ὑείαν
καταβροχθίcαc, κᾆτ' ἐκπιὼν τὸν ζωμὸν ἀναπόνιπτοc
λαρυγγιῶ τοὺc ῥήτοραc καὶ Νικίαν λαπάξω.
Δη. τὰ μὲν ἄλλα μ' ἤρεcαc λέγων· ἓν δ' οὐ προcίεταί με,

339 post αὐτὸ add. τοῦτο codd. praeter RM; hunc v. post 336 praebent vΦ, del. Dindorf; αὐτὸ τοῦτο retinuit Richards, deleto περὶ τοῦ 340 ἐγὼ Bentley: ἐγώ c' codd. 342 λέγειν] βλέπειν Kock ἔναντα Bothe: ἐναντία codd. 344 cὺ Hermann: coι R: τι LB: om. cett. 346 ὅ μοι ΑΘL: ὅπερ RvMΓ (post πεπονθέναι add. μοι RvM$\Gamma^2$) 347 κατὰ ξένου] κατ' ἀπροξένου Müller-Strübing: κατ' Ἀξένου von Velsen: an κατ' Εὐξένου? 351 δαὶ] δ' αὖ Blaydes 353 τιν' Γ: τίν' cett. 354 ἀκράτου R: -τα A, Su. θ 581 cod. A: -τον cett. 357 ἐκπιὼν codd. plerique et Athenaeus 94D: ἐπιπιὼν R, Su. α 2034 358 λαπάξω Wilson: ταράξω codd., sed vox parum sordida quam ut voci καcαλβάcω (355) respondeat 359–60 hos vv. servo tribuit Enger; incertum est utrum post με an post πραγμάτων interpungendum sit

τῶν πραγμάτων ὁτιὴ μόνος τὸν ζωμὸν ἐκροφήϲει.
Πα. ἀλλ' οὐ λάβρακας καταφαγὼν Μιληϲίουϲ κλονήϲειϲ.
Αλ. ἀλλὰ ϲχελίδας ἐδηδοκὼς ὠνήϲομαι μέταλλα.
Πα. ἐγὼ δ' ἐπειϲπηδῶν γε τὴν βουλὴν βίᾳ κυκήϲω.
Αλ. ἐγὼ δὲ βυνήϲω γέ ϲοι τὸν πρωκτὸν ἀντὶ φύϲκηϲ.
Πα. ἐγὼ δέ γ' ἐξέλξω ϲε τῆϲ πυγῆϲ θύραζε κύβδα.
Δη. νὴ τὸν Ποϲειδῶ κἀμέ γ' ἆρ', ἤνπερ γε τοῦτον ἕλκηϲ.
Πα. οἷόν ϲε δήϲω ⟨'ν⟩ τῷ ξύλῳ.
Αλ. διώξομαί ϲε δειλίαϲ.
Πα. ἡ βύρϲα ϲου θρανεύϲεται.
Αλ. δερῶ ϲε θύλακον κλοπῆϲ.
Πα. διαπατταλευθήϲει χαμαί.
Αλ. περικόμματ' ἔκ ϲου ϲκευάϲω.
Πα. τὰϲ βλεφαρίδαϲ ϲου παρατιλῶ.
Αλ. τὸν πρηγορεῶνά ϲοὐκτεμῶ.
Δη. καὶ νὴ Δί' ἐμβαλόντεϲ αὐ-
τῷ πάτταλον μαγειρικῶϲ
εἰϲ τὸ ϲτόμ', εἶτα δ' ἔνδοθεν
τὴν γλῶτταν ἐξείραντεϲ αὐ-
τοῦ ϲκεψόμεϲθ' εὖ κἀνδρικῶϲ
κεχηνότοϲ
τὸν πρωκτόν, εἰ χαλαζᾷ.

Χο. ἦν ἄρα πυρόϲ θ' ἕτερα θερμότερα καὶ λόγων [ἀντ. α
ἐν πόλει τῶν ἀναιδῶν ἀναιδέϲτεροι·
καὶ τὸ πρᾶγμ' ἦν ἄρ' οὐ φαῦλον ὧδ' ⟨– ∪ ⏑⏑⟩.

360 ἐκροφήϲει Elmsley: -ειϲ codd. 364 βυνήϲω Jackson: βινήϲω R: κινήϲω cett. ϲοι Φ: ϲου cett. 365 δέ γ' Brunck: δ' RA$^{ac}$: δέ τ' cett. ἐξέλξω Porson: ἐξελλέγξω R: ἐξελῶ fere cett., Su. κ 2584 τῆϲ πυγῆϲ RE$^{pc}$: τῇ πυγῇ VEΓ$^{2}$L: τῆϲ πυγμῆϲ Φ 366 γ' ἆρ' Brunck: γάρ codd. 367 suppl. Elmsley 369–73 ordo versuum varie temptatus est; lacunas post 369 et 370 statuit Sommerstein 372 ἔκ ϲου Dindorf: ἐκ ϲου R: ἐκ ϲοῦ cett., Su. π 1184 373 παρατιλῶ R: περι- cett. 374 πρηγορεῶνά] πρηγορῶνα Bentley 382 θ' von Velsen: γ' L: om. cett., etiam Plut. *Demetr.* 12, Su. η 368, qui tamen καὶ ante πυρὸϲ addunt 383 καὶ ⟨λόγοι τῶν⟩ λόγων Hermann, fort. recte 385 ἦν ἄρ' οὐ RMΓ$^{2}$ γρ: οὐκ ἄρ' ἦν cett. 386 ὧδ' ⟨οὐδ' ἐλαφρόν⟩ Bergk

ἀλλ' ἔπιθι καὶ ϲτρόβει, μηδὲν ὀλίγον ποίει·
νῦν γὰρ ἔχεται μέϲοϲ·
ὡϲ ἐὰν νυνὶ μαλάξῃϲ αὐτὸν ἐν τῇ προϲβολῇ,
δειλὸν εὑρήϲειϲ· ἐγὼ γὰρ τοὺϲ τρόπουϲ ἐπίϲταμαι.

Αλ. ἀλλ' ὅμωϲ οὗτοϲ τοιοῦτοϲ ὢν ἅπαντα τὸν βίον,
κᾆτ' ἀνὴρ ἔδοξεν εἶναι, τἀλλότριον ἀμῶν θέροϲ.
νῦν δὲ τοὺϲ ϲτάχυϲ ἐκείνουϲ, οὓϲ ἐκεῖθεν ἤγαγεν,
ἐν ξύλῳ δήϲαϲ ἀφανεῖ κἀποδόϲθαι βούλεται.
Πα. οὐ δέδοιχ' ὑμᾶϲ, ἕωϲ ἂν ζῇ τὸ βουλευτήριον
καὶ τὸ τοῦ Δήμου πρόϲωπον μακκοᾷ καθήμενον.

Χο. ὡϲ δὲ πρὸϲ πᾶν ἀναιδεύεται κοὐ μεθίηϲι τοῦ [ἀντ. β
χρώματοϲ
τοῦ παρεϲτηκότοϲ.
εἴ ϲε μὴ μιϲῶ, γενοίμην ἐν Κρατίνου κῴδιον
καὶ διδαϲκοίμην προϲᾴδειν Μορϲίμου τραγῳδίᾳ.
ὦ περὶ πάντ' ἐπὶ πᾶϲί τε πράγμαϲι
δωροδόκοιϲιν ἐπ' ἄνθεϲιν ἵζων,
εἴθε φαύλωϲ, ὥϲπερ ηὗρεϲ, ἐκβάλοιϲ τὴν ἔνθεϲιν.
ᾄϲαιμι γὰρ τότ' ἂν μόνον·
"πῖνε πῖν' ἐπὶ ϲυμφοραῖϲ."
τὸν Οὔλιόν τ' ἂν οἴομαι γέροντα πυροπίπην,
ἡϲθέντ' ἰηπαιωνίϲαι καὶ βακχέβακχον ᾆϲαι.

Πα. οὔτοί μ' ὑπερβαλεῖϲθ' ἀναιδείᾳ μὰ τὸν Ποϲειδῶ,
ἢ μήποτ' ἀγοραίου Διὸϲ ϲπλάγχνοιϲι
παραγενοίμην.

387 *ὀλίγον*] *ἔλαττον* RMΓ$^{2}$*γρ* 394 *ἀφανει* (sic) R: *ἀφαυει* cett., Su. α 1635, 4565: *ἀφεῖναι* fortasse novit sch. 396 *καθήμενον*] *-μένου* Blaydes 397–8 *μεθίηϲι* van Herwerden: *μεθίϲτηϲι* codd.: *μεθέϲτηκε* Hirschig 400 *ἐν* B: *ἓν* cett. 401 *τραγῳδίᾳ* R: *-ίαν* cett., Su. μ 1261 407 *Οὔλιόν* Raubitschek: *Ἰουλίου* codd., Su. ω 141 *πυροπίπην* sch.: *πυροπίτην* RΦL, Su. (et cf. π 3230): *πυρροπίπην* vΓ$^{3}$ ΘΜ, Eust. 679.39, 1856.2: *παιδοπίπην* fortasse novit sch. 408 *ἰηπαιωνίϲαι* R, Su. ω 141 (codd. plerique): *ἰὴ παιὼν ᾆϲαι* cett.

*Αλ.* ἔγωγε νὴ τοὺϲ κονδύλουϲ, οὓϲ πολλὰ δὴ ’πὶ πολλοῖϲ
ἠνεϲχόμην ἐκ παιδίου, μαχαιρίδων τε πληγάϲ,
ὑπερβαλεῖϲθαί ϲ’ οἴομαι τούτοιϲιν, ἢ μάτην γ’ ἂν
ἀπομαγδαλιὰϲ ϲιτούμενοϲ τοϲοῦτοϲ ἐκτραφεὶϲ ἦ.
*Δη.* ἀπομαγδαλιὰϲ ὥϲπερ κύων; ὦ παμπόνηρε, πῶϲ οὖν
κυνὸϲ βορὰν ϲιτούμενοϲ μαχεῖ ϲὺ κυνοκεφάλλῳ;
*Αλ.* καὶ νὴ Δί’ ἄλλα γ’ ἐϲτί μου κόβαλα παιδὸϲ ὄντοϲ.
ἐξηπάτων γὰρ τοὺϲ μαγείρουϲ ἂν λέγων τοιαυτί·
“ϲκέψαϲθε, παῖδεϲ· οὐχ ὁρᾶθ’; ὥρα νέα, χελιδών.”
οἱ δ’ ἔβλεπον, κἀγὼ ’ν τοϲούτῳ τῶν κρεῶν ἔκλεπτον.
*Δη.* ὦ δεξιώτατον κρέαϲ, ϲοφῶϲ γε προὐνοήϲω·
ὥϲπερ ἀκαλήφαϲ ἐϲθίων πρὸ χελιδόνων ἔκλεπτεϲ.
*Αλ.* καὶ ταῦτα δρῶν ἐλάνθανόν γ’. εἰ δ’ οὖν ἴδοι τιϲ αὐτῶν,
ἀποκρυπτόμενοϲ εἰϲ τὰ κοχώνα τοὺϲ θεοὺϲ ἀπώμνυν·
ὥϲτ’ εἶπ’ ἀνὴρ τῶν ῥητόρων ἰδών με τοῦτο δρῶντα·
“οὐκ ἔϲθ’ ὅπωϲ ὁ παῖϲ ὅδ’ οὐ τὸν δῆμον ἐπιτροπεύϲει.”
*Δη.* εὖ γε ξυνέβαλεν αὔτ’· ἀτὰρ δῆλόν γ’ ἀφ’ οὗ ξυνέγνω·
ὁτιὴ ’πιώρκειϲ θ’ ἡρπακὼϲ καὶ κρέαϲ ὁ πρωκτὸϲ εἶχεν.
*Πα.* ἐγώ ϲε παύϲω τοῦ θράϲουϲ, οἶμαι δὲ μᾶλλον ἄμφω.
ἔξειμι γάρ ϲοι λαμπρὸϲ ἤδη καὶ μέγαϲ καθιείϲ,

411 ἔγωγε] ἐγὼ R: ἐγὼ δὲ Dindorf 412 παιδίου RM: παιδίων cett. μαχαιρίδων R: -ιδίων cett. 414 v. om. R ἀπομαγδαλίαϲ hoc accentu lm. sch. V, Su. α 3432: ἀπὸ μαγδαλιᾶϲ divisim fere cett. ἐκτραφεὶϲ ἦν Richards, Rutherford: ἐκτραφείην codd. 415–16 quis loquatur non liquet, ut vidit Blaydes 415 ἀπομαγδαλιὰϲ] -αῖϲ R: ἀπὸ μαγδαλιᾶϲ cett. 416 μαχεῖ Dindorf: μάχει codd. κυνοκεφάλλῳ Dindorf: -άλῳ codd.: cf. Eubul. 106.10 K.–A., Phryn. *Praep. Soph.* 85.5, Phot. s.v. (κ 1216) 417 καὶ νὴ R: νὴ τὸν cett. ἄλλα EM: ἄλλο $V^{ac}$: ἀλλά cett. 418 ἂν λέγων Bernhardy: ἐπιλέγων L: λέγων cett., Su. ν 120 421–2, 427–8 personarum vices parum certae 421 ϲοφῶϲ Bentley: ὡϲ ϲοφῶϲ codd. 423 γ’ L: om. cett. 424 τὰ κόχωνα fere codd.: τὰϲ κοχώναϲ L: τὼ κοχώνα Dobree ἀπώμνυν G, Par 6, Bentley: ἀπώμνυον vel sim. cett. 428 θ’ om. RM, qui etiam τὸ ante κρέαϲ addunt

ὁμοῦ ταράττων τήν τε γῆν καὶ τὴν θάλατταν εἰκῇ.
Αλ. ἐγὼ δὲ ϲυϲτείλαϲ γε τοὺϲ ἀλλᾶνταϲ εἶτ' ἀφήϲω
κατὰ κῦμ' ἐμαυτὸν οὔριον, κλάειν ϲε μακρὰ κελεύων.
Δη. κἄγωγ', ἐάν τι παραχαλᾷ, τὴν ἀντλίαν φυλάξω.
Πα. οὔτοι μὰ τὴν Δήμητρα καταπροίξει τάλαντα
πολλὰ
κλέψαϲ Ἀθηναίων.
Δη. ἄθρει καὶ τοῦ ποδὸϲ παρίει·
ὡϲ οὗτοϲ ἤδη καικίαϲ καὶ ϲυκοφαντίαϲ πνεῖ.
Αλ. ϲὲ δ' ἐκ Ποτειδαίαϲ ἔχοντ' εὖ οἶδα δέκα τάλαντα.
Πα. τί δῆτα; βούλει τῶν ταλάντων ἓν λαβὼν ϲιωπᾶν;
Δη. ἁνὴρ ἂν ἡδέωϲ λάβοι. τοὺϲ τερθρίουϲ παρίει·
τὸ πνεῦμ' ἔλαττον γίγνεται.
Πα. φεύξει γραφὰϲ ⟨δωροδοκίαϲ⟩
ἑκατονταλάντουϲ τέτταραϲ.
Αλ. ϲὺ δ' ἀϲτρατείαϲ γ' εἴκοϲιν,
κλοπῆϲ δὲ πλεῖν ἢ χιλίαϲ.
Πα. ἐκ τῶν ἀλιτηρίων ϲέ φη-
μι γεγονέναι τῶν τῆϲ θεοῦ.
Αλ. τὸν πάππον εἶναι φημί ϲου
τῶν δορυφόρων—
Πα. ποίων; φράϲον.
Αλ. τῶν Βυρϲίνηϲ τῆϲ Ἱππίου.
Πα. κόβαλοϲ εἶ.
Αλ. πανοῦργοϲ εἶ.
Δη. παῖ' ἀνδρικῶϲ.
Πα. ἰοὺ ἰού,
τύπτουϲί μ' οἱ ξυνωμόται.

433 μακρὰ κελεύων] πολλὰ κελεύϲαϲ R 437 ἤδη] ἤτοι R, Plut. *Mor.* 853B καικίαϲ Γ, sch., Plut.: κακίαϲ cett., sch. ad v. 441 καὶ codd. plerique, sch. hic et ad v. 441: ἢ R, Plut. 438 δ' RAM: τ' cett. Ποτειδαίαϲ Thiersch: Ποτιδαίαϲ codd. 440 ἁνὴρ Dindorf: ἀ- codd. τερθρίουϲ RM: τεθρίουϲ fere cett. 442 suppl. Göttling 443 γ' om. RM

Δη. παῖ' αὐτὸν ἀνδρειότατα, καὶ
γάcτριζε καὶ τοῖc ἐντέροιc
καὶ τοῖc κόλοιc,
χὤπωc κολᾷ τὸν ἄνδρα.
Χο. ὦ γεννικώτατον κρέαc ψυχήν τ' ἄριcτε πάντων,
καὶ τῇ πόλει cωτὴρ φανεὶc ἡμῖν τε τοῖc πολίταιc,
ὡc εὖ τὸν ἄνδρα ποικίλωc τ' ἐπῆλθεc ἐν λόγοιcιν.
πῶc ἄν c' ἐπαινέcαιμεν οὕτωc ὥcπερ ἡδόμεcθα;
Πα. ταυτὶ μὰ τὴν Δήμητρά μ' οὐκ ἐλάνθανεν
τεκταινόμενα τὰ πράγματ', ἀλλ' ἠπιcτάμην
γομφούμεν' αὐτὰ πάντα καὶ κολλώμενα. 463
Αλ. οὔκουν μ' ἐν Ἄργει γ' οἷα πράττειc λανθάνει. 465
πρόφαcιν μὲν Ἀργείουc φίλουc ἡμῖν ποιεῖ, 466
ἰδίᾳ δ' ἐκεῖ Λακεδαιμονίοιc ξυγγίγνεται. 467
Δη. οἴμοι, cὺ δ' οὐδὲν ἐξ ἁμαξουργοῦ λέγειc; 464
Αλ. καὶ ταῦτ' ἐφ' οἷcίν ἐcτι cυμφυcώμενα 468
ἐγᾦδ'· ἐπὶ γὰρ τοῖc δεδεμένοιc χαλκεύεται.
Δη. εὖ γ' εὖ γε, χάλκευ' ἀντὶ τῶν κολλωμένων.
Αλ. καὶ ξυγκροτοῦcιν ἄνδρεc αὔτ' ἐκεῖθεν αὖ.
καὶ ταῦτά μ' οὔτ' ἀργύριον οὔτε χρυcίον
διδοὺc ἀναπείcειc, οὐδὲ προcπέμπων φίλουc,
ὅπωc ἐγὼ ταῦτ' οὐκ Ἀθηναίοιc φράcω.
Πα. ἐγὼ μὲν οὖν αὐτίκα μάλ' εἰc βουλὴν ἰὼν
ὑμῶν ἁπάντων τὰc ξυνωμοcίαc ἐρῶ,
καὶ τὰc ξυνόδουc τὰc νυκτερινὰc ἐπὶ τῇ πόλει,
καὶ πάνθ' ἃ Μήδοιc καὶ βαcιλεῖ ξυνόμνυτε,
καὶ τἀκ Βοιωτῶν ταῦτα cυντυρούμενα.
Δη. πῶc οὖν ὁ τυρὸc ἐν Βοιωτοῖc ὤνιοc;

453–6 choro tribuunt quidam  453 ἀνδρειότατα Dindorf: ἀνδρικώτατα codd.  456 χὤπωc] ὅπωc Kayser  459 τ' ἐπῆλθεc R: θ' ὑπῆλθεc cett.  465 γ' R: om. cett.  πράττειc] πράττει Bentley  464 huc transp. Hermann, sch. ad v. 464 fretus: post 471 praebet Γ: om. AΘ  473 οὐδὲ Sommerstein: οὔτε codd. (οὐδὲ pro altero οὔτε in 472 iam Blaydes)  προcπέμπων EγρΦL: προπέμπων RM: προcπεcὼν vΓ³γρ  474 ταῦτ'] πάντ' Blaydes  477 ἐπὶ] ἐν RA  480 Demostheni tribuit von Velsen

Πα. ἐγώ ϲε νὴ τὸν Ἡρακλέα καταϲτορῶ.
Δη. ἄγε δὴ ϲύ, τίνα νοῦν ἢ τίνα ψυχὴν ἔχειϲ,
νυνὶ διδάξειϲ, εἴπερ ἀπεκρύψω τότε
εἰϲ τὰ κοχώνα τὸ κρέαϲ, ὡϲ αὐτὸϲ λέγειϲ·
θεύϲει γὰρ ᾄξαϲ εἰϲ τὸ βουλευτήριον,
ὡϲ οὗτοϲ εἰϲπεϲὼν ἐκεῖϲε διαβαλεῖ
ἡμᾶϲ ἅπανταϲ καὶ κράγον κεκράξεται.
Αλ. ἀλλ' εἶμι· πρῶτον δ' ὡϲ ἔχω τὰϲ κοιλίαϲ
καὶ τὰϲ μαχαίραϲ ἐνθαδὶ καταθήϲομαι.
Δη. ἔχε νυν, ἄλειψον τὸν τράχηλον τουτῳί,
ἵν' ἐξολιϲθάνειν δύνῃ τὰϲ διαβολάϲ.
Αλ. ἀλλ' εὖ λέγειϲ καὶ παιδοτριβικῶϲ ταυταγί.
Δη. ἔχε νυν, ἐπέγκαψον λαβὼν ταδί.
Αλ. τί δαί;
Δη. ἵν' ἄμεινον, ὦ τᾶν, ἐϲκοροδιϲμένοϲ μάχῃ.
καὶ ϲπεῦδε ταχέωϲ.
Αλ. ταῦτα δρῶ.
Δη. μέμνηϲό νυν
δάκνειν, διαβάλλειν, τοὺϲ λόφουϲ κατεϲθίειν,
χὤπωϲ τὰ κάλλαι' ἀποφαγὼν ἥξειϲ πάλιν.

Χο. ἀλλ' ἴθι χαίρων, καὶ πράξειαϲ
κατὰ νοῦν τὸν ἐμόν, καί ϲε φυλάττοι
Ζεὺϲ ἀγοραῖοϲ· καὶ νικήϲαϲ
αὖθιϲ ἐκεῖθεν πάλιν ὡϲ ἡμᾶϲ
ἔλθοιϲ ϲτεφάνοιϲ κατάπαϲτοϲ.
ὑμεῖϲ δ' ἡμῖν προϲέχετε τὸν νοῦν

481 καταϲτορῶ van Herwerden: παραϲτορῶ codd. 482 sqq. Demostheni tribuit Zieliński 482 ψυχὴν] γνώμην R 483 διδάξειϲ] δείξειϲ *Cyr*, unde γε δείξειϲ Cobet τότε] ποτὲ R 484 τὰ κόχωνα R: τὰϲ κοχώναϲ cett.: τὼ κοχώνα Dobree 486 εἰϲπεϲὼν R: ἐμπεϲὼν cett. 487 κράγον Meineke, duce Lobeck: κραγὸν codd. plerique: κραγὼν ΑΘ 491 ἐξολιϲθάνειν RV: -αίνειν cett. 492 ταυταγί R: ταῦτά γε cett. 495 δρῶ] δή Blaydes 496 διαβάλλειν] καταβάλλειν Θ: καταβάλλει ΑΓ 503 προϲέχετε] πρόϲϲχετε Bentley

τοῖϲ ἀναπαίϲτοιϲ,
ὦ παντοίαϲ ἤδη Μούϲηϲ
πειραθέντεϲ καθ' ἑαυτούϲ.

εἰ μέν τιϲ ἀνὴρ τῶν ἀρχαίων κωμῳδοδιδάϲκαλοϲ ἡμᾶϲ
ἠνάγκαζεν λέξονταϲ ἔπη πρὸϲ τὸ θέατρον παραβῆναι,
οὐκ ἂν φαύλωϲ ἔτυχεν τούτου· νῦν δ' ἄξιόϲ ἐϲθ' ὁ ποητήϲ,
ὅτι τοὺϲ αὐτοὺϲ ἡμῖν μιϲεῖ τολμᾷ τε λέγειν τὰ δίκαια,
καὶ γενναίωϲ πρὸϲ τὸν Τυφῶ χωρεῖ καὶ τὴν ἐριώλην.
ἃ δὲ θαυμάζειν ὑμῶν φηϲιν πολλοὺϲ αὐτῷ προϲιόνταϲ
καὶ βαϲανίζειν, ὡϲ οὐχὶ πάλαι χορὸν αἰτοίη καθ' ἑαυτόν,
ἡμᾶϲ ὑμῖν ἐκέλευε φράϲαι περὶ τούτου. φηϲὶ γὰρ ἁνὴρ
οὐχ ὑπ' ἀνοίαϲ τοῦτο πεπονθὼϲ διατρίβειν, ἀλλὰ νομίζων
κωμῳδοδιδαϲκαλίαν εἶναι χαλεπώτατον ἔργον ἁπάντων·
πολλῶν γὰρ δὴ πειραϲάντων αὐτὴν ὀλίγοιϲ χαρίϲαϲθαι·
ὑμᾶϲ τε πάλαι διαγιγνώϲκων ἐπετείουϲ τὴν φύϲιν ὄνταϲ
καὶ τοὺϲ προτέρουϲ τῶν ποιητῶν ἅμα τῷ γήρᾳ προδιδόνταϲ·
τοῦτο μὲν εἰδὼϲ ἅπαθε Μάγνηϲ ἅμα ταῖϲ πολιαῖϲ κατιούϲαιϲ,
ὃϲ πλεῖϲτα χορῶν τῶν ἀντιπάλων νίκηϲ ἔϲτηϲε τροπαῖα·
πάϲαϲ δ' ὑμῖν φωνὰϲ ἱεὶϲ καὶ ψάλλων καὶ πτερυγίζων
καὶ λυδίζων καὶ ψηνίζων καὶ βαπτόμενοϲ βατραχείοιϲ

504 τοῖϲ] καὶ τοῖϲ Φ: τοῖϲ τ' Grynaeus 508 ἠνάγκαζεν] -αϲεν RM λέξονταϲ post ἔπη transp. codd. praeter RM 510 ἡμῖν] ὑμῖν M 511 χωρεῖ] χωρεῖν Φ 513 ὡϲ] πῶϲ Bentley 514 ἐκέλευε RΓM: -ευϲε $Γ^3$, cett. 517 δὴ RM: ἤδη cett. ὀλίγοιϲ M, Su. χ 119, Priscian. *Inst.* 18.266: ὀλίγοιϲ πάνυ R: ὀλίγοιϲ ἤδη vΦ 521 τρόπαια hoc accentu codd.

οὐκ ἐξήρκεϲεν, ἀλλὰ τελευτῶν ἐπὶ γήρωϲ, οὐ γὰρ ἐφ’ ἥβηϲ,
ἐξεβλήθη πρεϲβύτηϲ ὤν, ὅτι τοῦ ϲκώπτειν ἀπελείφθη·
εἶτα Κρατίνου μεμνημένοϲ, ὃϲ πολλῷ ῥεύϲαϲ ποτ’ ἐπαίνῳ
διὰ τῶν ἀφελῶν πεδίων ἔρρει, καὶ τῆϲ ϲτάϲεωϲ παραϲύρων
ἐφόρει τὰϲ δρῦϲ καὶ τὰϲ πλατάνουϲ καὶ τοὺϲ ἐχθροὺϲ προθελύμνουϲ·
ᾆϲαι δ’ οὐκ ἦν ἐν ϲυμποϲίῳ πλὴν “Δωροῖ ϲυκοπέδιλε,”
καὶ “τέκτονεϲ εὐπαλάμων ὕμνων·” οὕτωϲ ἤνθηϲεν ἐκεῖνοϲ.
νυνὶ δ’ ὑμεῖϲ αὐτὸν ὁρῶντεϲ παραληροῦντ’ οὐκ ἐλεεῖτε,
ἐκπιπτουϲῶν τῶν ἠλέκτρων καὶ τοῦ τόνου οὐκέτ’ ἐνόντοϲ
τῶν θ’ ἁρμονιῶν διαχαϲκουϲῶν· ἀλλὰ γέρων ὢν περιέρρει,
ὥϲπερ Κοννᾶϲ, “ϲτέφανον μὲν ἔχων αὖον, δίψῃ δ’ ἀπολωλώϲ”,
ὃν χρῆν διὰ τὰϲ προτέραϲ νίκαϲ πίνειν ἐν τῷ πρυτανείῳ,
καὶ μὴ ληρεῖν, ἀλλὰ θεᾶϲθαι λιπαρὸν παρὰ τῷ Διονύϲῳ.
οἵαϲ δὲ Κράτηϲ ὀργὰϲ ὑμῶν ἠνέϲχετο καὶ ϲτυφελιγμούϲ,
ὃϲ ἀπὸ ϲμικρᾶϲ δαπάνηϲ ὑμᾶϲ ἀριϲτίζων ἀπέπεμπεν,
ἀπὸ κραμβοτάτου ϲτόματοϲ μάττων ἀϲτειοτάταϲ ἐπινοίαϲ·

526 ὃϲ] ὡϲ Bergk ῥεύϲαϲ saepius temptatum, e.g. βρύϲαϲ Blaydes, ῥήξαϲ Bury, πλήθων van Leeuwen 527 ἀφελῶν obscurum: ἀφνεῶν van Herwerden καὶ] κἀκ Schneider 535 χρῆν M, Su. α 4576: χρὴ cett. 536 Διονύϲῳ] -ϲου Elmsley 537 ϲτυφελιγμούϲ R: -ιϲμούϲ cett. 539 κραμβοτάτου] κραμβοφάγου Kiehl

χοὖτοϲ μέντοι μόλιϲ ἀντήρκει, τοτὲ μὲν πίπτων, τοτὲ δ' οὐχί.
ταῦτ' ὀρρωδῶν διέτριβεν ἀεί, καὶ πρὸϲ τούτοιϲιν ἔφαϲκεν
ἐρέτην χρῆναι πρῶτα γενέϲθαι πρὶν πηδαλίοιϲ ἐπιχειρεῖν,
κᾆτ' ἐντεῦθεν πρῳρατεῦϲαι καὶ τοὺϲ ἀνέμουϲ διαθρῆϲαι,
κᾆτα κυβερνᾶν αὐτὸν ἑαυτῷ. τούτων οὖν οὕνεκα πάντων,
ὅτι ϲωφρονικῶϲ οὐκ ἀνοήτωϲ εἰϲπηδήϲαϲ ἐφλυάρει,
αἴρεϲθ' αὐτῷ πολὺ τὸ ῥόθιον, παραπέμψατ' ἐφ' ἕνδεκα κώπαιϲ,
θόρυβον χρηϲτὸν Ληναΐτην,
ἵν' ὁ ποιητὴϲ ἀπίῃ χαίρων
κατὰ νοῦν πράξαϲ,
φαιδρὸϲ λάμποντι μετώπῳ.

ἵππι' ἄναξ Πόϲειδον, ᾧ [ϲτρ.
χαλκοκρότων ἵππων κτύποϲ
καὶ χρεμετιϲμὸϲ ἁνδάνει
καὶ κυανέμβολοι θοαὶ
μιϲθοφόροι τριήρειϲ,
μειρακίων θ' ἅμιλλα λαμ-
πρυνομένων ἐν ἅρμαϲιν
καὶ βαρυδαιμονούντων,
δεῦρ' ἔλθ' εἰϲ χορόν, ὦ χρυϲοτρίαιν', ὦ
δελφίνων μεδέων Ϲουνιάρατε,
ὦ Γεραίϲτιε παῖ Κρόνου,

540 *μόλιϲ* van Leeuwen: *μόνοϲ* codd.: *μόνον* Sommerstein 542 *πρῶτα* ML, Su. π 1494 (codd. praeter F): *πρῶτον* cett. 544 *οὖν* R: om. cett. *οὕνεκα*] *ἕνεκα* R: *εἵνεκα* Φ 545 *ϲωφρονικῶϲ*] -*ὸϲ* B, Brunck: -*όϲ γ'* Ademollo *οὐκ* olim van Leeuwen, Ademollo: *κοὐκ* codd. 546 *παραπέμψατ' ἐφ'*] *παραπέμψατέ θ'* Bentley: *παραπέμψαντεϲ* (*δέκα*) Diels

*Φορμίωνί τε φίλτατ' ἐκ*
*τῶν ἄλλων τε θεῶν Ἀθη-*
*ναίοις πρὸς τὸ παρεστός.*

*εὐλογῆσαι βουλόμεσθα τοὺς πατέρας ἡμῶν, ὅτι*
*ἄνδρες ἦσαν τῆσδε τῆς γῆς ἄξιοι καὶ τοῦ πέπλου,*
*οἵτινες πεζαῖς μάχαισιν ἔν τε ναυφάρκτῳ στρατῷ*
*πανταχοῦ νικῶντες ἀεὶ τήνδ' ἐκόσμησαν πόλιν·*
*οὐ γὰρ οὐδεὶς πώποτ' αὐτῶν τοὺς ἐναντίους ἰδὼν*
*ἠρίθμησεν, ἀλλ' ὁ θυμὸς εὐθὺς ἦν ἀμυνίας·*
*εἰ δέ που πέσοιεν εἰς τὸν ὦμον ἐν μάχῃ τινί,*
*τοῦτ' ἀπεψήσαντ' ἄν, εἶτ' ἠρνοῦντο μὴ πεπτωκέναι,*
*ἀλλὰ διεπάλαιον αὖθις. καὶ στρατηγὸς οὐδ' ἂν εἷς*
*τῶν πρὸ τοῦ σίτησιν ᾔτησ' ἐρόμενος Κλεαίνετον·*
*νῦν δ' ἐὰν μὴ προεδρίαν φέρωσι καὶ τὰ σιτία,*
*οὐ μαχεῖσθαί φασιν. ἡμεῖς δ' ἀξιοῦμεν τῇ πόλει*
*προῖκα γενναίως ἀμύνειν καὶ θεοῖς ἐγχωρίοις.*
*καὶ πρὸς οὐκ αἰτοῦμεν οὐδὲν πλὴν τοσουτονὶ μόνον·*
*ἤν ποτ' εἰρήνη γένηται καὶ πόνων παυσώμεθα,*
*μὴ φθονεῖθ' ἡμῖν κομῶσι μηδ' ἀνεστλεγγισμένοις.*

*Ὦ πολιοῦχε Παλλάς, ὦ* [*ἀντ.*
*τῆς ἱερωτάτης ἁπα-*
*σῶν πολέμῳ τε καὶ ποιη-*
*ταῖς δυνάμει θ' ὑπερφερού-*
*σης μεδέουσα χώρας,*
*δεῦρ' ἀφικοῦ λαβοῦσα τὴν*
*ἐν στρατιαῖς τε καὶ μάχαις*
*ἡμετέραν ξυνεργὸν*

564 *πρὸς τὸ*] *πλεῖστα* Blaydes: *πρόσθε* Reiske *παρεστός* R: *-ώς* cett. 567 *ναυφάρκτῳ* Dindorf: *-φρακ-* codd., Su. *ν* 89 569 *οὐ γὰρ οὐδεὶς* RM: *οὐδεὶς γὰρ* V*Φ*: *οὐδὲ εἷς γὰρ* Cobet 570 *ἠρίθμησεν*] *ἠρέμησεν* Su. *η* 515 cod. A 572 *τοῦτ'* R, Su. *α* 3110, *ψ* 56: *ταῦτ'* cett. 580 *φθονεῖθ'*] *-εῖσθ'* R, Su. *κ* 1980 (sed recte Su. *δ* 572) *ἀνεστλεγγισμένοις* van Leeuwen: *ἀπε-* P3, codd., Su. *δ* 572 583 *ποιηταῖς*] *πολίταις* Bentley: *πόροισιν* van Herwerden

Νίκην, ἣ Χαρίτων ἐϲτὶν ἑταίρα
τοῖϲ τ' ἐχθροῖϲι μεθ' ἡμῶν ϲταϲιάζει.
νῦν οὖν δεῦρο φάνηθι· δεῖ
γὰρ τοῖϲ ἀνδράϲι τοῖϲδε πά-
ϲῃ τέχνῃ πορίϲαι ϲε νί-
κην, εἴπερ ποτέ, καὶ νῦν.

ἃ ξύνιϲμεν τοῖϲιν ἵπποιϲ, βουλόμεϲθ' ἐπαινέϲαι.
ἄξιοι δ' εἴϲ' εὐλογεῖϲθαι· πολλὰ γὰρ δὴ πράγματα
ξυνδιήνεγκαν μεθ' ἡμῶν, εἰϲβολάϲ τε καὶ μάχαϲ.
ἀλλὰ τἀν τῇ γῇ μὲν αὐτῶν οὐκ ἄγαν θαυμάζομεν,
ὡϲ ⟨δ'⟩ ὅτ' εἰϲ τὰϲ ἱππαγωγοὺϲ εἰϲεπήδων ἀνδρικῶϲ,
πριάμενοι κώθωναϲ, οἱ δὲ καὶ ϲκόροδα καὶ
    κρόμμυα,
εἶτα τὰϲ κώπαϲ λαβόντεϲ ὥϲπερ ἡμεῖϲ οἱ βροτοὶ
ἐμβαλόντεϲ ἂν ἐφρυάξανθ', "ἱππαπαῖ, τίϲ ἐμβαλεῖ;
ληπτέον μᾶλλον. τί δρῶμεν; οὐκ ἐλᾷϲ, ὦ ϲαμφόρα;"
ἐξεπήδων τ' εἰϲ Κόρινθον· εἶτα δ' οἱ νεώτατοι
ταῖϲ ὁπλαῖϲ ὤρυττον εὐνὰϲ καὶ μετῇϲαν βρώματα·
ἤϲθιον δὲ τοὺϲ παγούρουϲ ἀντὶ ποίαϲ Μηδικῆϲ,
εἴ τιϲ ἐξέρποι θύραζε, κἀκ βυθοῦ θηρώμενοι·
ὥϲτ' ἔφη Θέωροϲ εἰπεῖν καρκίνον Κορίνθιον,
"δεινά γ', ὦ Πόϲειδον, εἰ μηδ' ἐν βυθῷ δυνήϲομαι
μήτε γῇ μήτ' ἐν θαλάττῃ διαφυγεῖν τοὺϲ ἱππέαϲ."

Χο. ὦ φίλτατ' ἀνδρῶν καὶ νεανικώτατε,
ὅϲην ἀπὼν παρέϲχεϲ ἡμῖν φροντίδα·
καὶ νῦν ἐπειδὴ ϲῶϲ ἐλήλυθαϲ πάλιν,

589 *Χαρίτων* Wilamowitz: *χορικῶν* codd. 598 *ἄγαν*] *ἴϲον* van Herwerden (*τόϲον* iam a. 1862) 599 suppl. Richards 600 prius *καὶ* L, sch. M: om. cett. et Athenaeus 483D: *γε* Blaydes *καὶ ϲκόροδα καὶ*] *ϲκόροδ' ἐλάαϲ* Bergk, cf. *Ach.* 550 602 *ἂν ἐφρυάξανθ'* Ademollo post Walsh et van Herwerden: *ἀνεβρύαξαν* codd., Su. α 2214 603 *ϲαμφόρα* RV: *ϲαπφόρα* cett. 604 *δ'* RM: *γ'* cett. *νεώτατοι* RM: *νεώτεροι* cett. 605 *βρώματα* R: *ϲτρώματα* cett. 610 *μήτε* Bentley, Daubuz: *μήτ' ἐν* codd.

ἄγγειλον ἡμῖν πῶϲ τὸ πρᾶγμ' ἠγωνίϲω.
*Αλ.* τί δ' ἄλλο γ' εἰ μὴ Νικόβουλοϲ ἐγενόμην;

*Χο.* νῦν ἄρ' ἄξιόν γε πᾶϲίν ἐϲτιν ἐπολολῦξαι. [ϲτρ.
ὦ καλὰ λέγων, πολὺ δ' ἀμείνον' ἔτι τῶν λόγων
ἐργαϲάμεν', εἴθ' ἐπέλθοιϲ ἅπαντά μοι ϲαφῶϲ·
ὡϲ ἐγώ μοι δοκῶ
κἂν μακρὰν ὁδὸν διελθεῖν ὥϲτ' ἀκοῦϲαι. πρὸϲ τάδ',
ὦ βέλ-
τιϲτε, θαρρήϲαϲ λέγ', ὡϲ ἅπαντεϲ ἡδόμεϲθά ϲοι.

*Αλ.* καὶ μὴν ἀκοῦϲαί γ' ἄξιον τῶν πραγμάτων.
εὐθὺϲ γὰρ αὐτοῦ κατόπιν ἐνθένδ' ἵέμην·
ὁ δ' ἄρ' ἔνδον ἐλαϲίβροντ' ἀναρρηγνὺϲ ἔπη
τερατευόμενοϲ ἤρειδε κατὰ τῶν ἱππέων,
κρημνοὺϲ ἐρείπων καὶ ξυνωμόταϲ λέγων
πιθανώταθ'· ἡ βουλὴ δ' ἅπαϲ' ἀκροωμένη
ἐγένεθ' ὑπ' αὐτοῦ ψευδατραφάξυοϲ πλέα,
κἄβλεψε νᾶπυ καὶ τὰ μέτωπ' ἀνέϲπαϲεν.
κἄγωγ' ὅτε δὴ 'γνων ἐνδεχομένην τοὺϲ λόγουϲ
καὶ τοῖϲ φενακιϲμοῖϲιν ἐξαπατωμένην,
"ἄγε δὴ Ϲκίταλοι καὶ Φένακεϲ", ἦν δ' ἐγώ,
"Βερέϲχεθοί τε καὶ Κόβαλοι καὶ Μόθων,
ἀγορά τ' ἐν ᾗ παῖϲ ὢν ἐπαιδεύθην ἐγώ,
νῦν μοι θράϲοϲ καὶ γλῶϲϲαν εὔπορον δότε
φωνήν τ' ἀναιδῆ." ταῦτα φροντίζοντί μοι
ἐκ δεξιᾶϲ ἐπέπαρδε καταπύγων ἀνήρ.

616 *γε* L: om. cett. *ἐπολολῦξαι*] *ὀλολῦξαι* RM 617 *ἀμείνον'* Bergler: *ἄμεινον* codd. 618 *ἐργαϲάμεν'* Bentley: *εἰργαϲμέν'* codd. 620 *ὡϲ*] *ὥϲτ'* RM 623 *ἡδόμεϲθα* V: *ἡδόμεθα* cett. 628 *ἐρείπων* Brunck: *ἐρείδων* codd. 629 *πιθανώταθ'* Φ: -*ώτατα δ'* RL: -*ώτατά θ'* VΓ$^2$ *δ'* A: *γ'* L: om. cett. 635 *τε καὶ Κόβαλοι*] *Κοάλεμοί τε* e sch. Dobree; cf. Su. ϲ 630 *Μόθων* e sch. Kuster: *Μόθωνεϲ* codd., Su. ϲ 630 637 *γλῶϲϲαν* B (forma vocis in tragoediis usitata, ut vidit Neil): *γλῶτταν* codd. vett. 639 *ἐπέπαρδε* Halbertsma: *ἀπ*- codd.

*κἀγὼ προcέκυcα· κᾆτα τῷ πρωκτῷ θενὼν*
*τὴν κιγκλίδ' ἐξήραξα κἀναχανὼν μέγα*
*ἀνέκραγον· "ὦ βουλή, λόγους ἀγαθοὺς φέρων*
*εὐαγγελίcαcθαι πρῶτον ὑμῖν βούλομαι·*
*ἐξ οὗ γὰρ ἡμῖν ὁ πόλεμος κατερράγη,*
*οὐπώποτ' ἀφύας εἶδον ἀξιωτέρας."*
*οἱ δ' εὐθέως τὰ πρόcωπα διεγαλήνιcαν·*
*εἶτ' ἐcτεφάνουν μ' εὐαγγέλια· κἀγὼ 'φραcα*
*αὐτοῖς, ἀπόρρητον ποιηcάμενος, ταχύ,*
*ἵνα τὰς ἀφύας ὠνοῖντο πολλὰς τοὐβολοῦ,*
*τῶν δημιουργῶν ξυλλαβεῖν τὰ τρύβλια.*
*οἱ δ' ἀνεκρότηcαν καὶ πρὸς ἔμ' ἐκεχήνεcαν.*
*ὁ δ' ἐπινοήcας, ὁ Παφλαγών, εἰδὼς ἄρα*
*οἷς ἥδεθ' ἡ βουλὴ μάλιcτα ῥήμαcιν,*
*γνώμην ἔλεξεν· "ἄνδρες, ἤδη μοι δοκεῖ*
*ἐπὶ cυμφοραῖς ἀγαθαῖcιν εἰcηγγελμέναις*
*εὐαγγέλια θύειν ἑκατὸν βοῦς τῇ θεῷ."*
*ἐπένευcεν εἰς ἐκεῖνον ἡ βουλὴ πάλιν.*
*κἄγωγ' ὅτε δὴ 'γνων τοῖς βολίτοις ἡττώμενος,*
*διηκοcίῃcι βουcὶν ὑπερηκόντιcα,*
*τῇ δ' Ἀγροτέρᾳ κατὰ χιλίων παρῄνεcα*
*εὐχὴν ποιήcαcθαι χιμάρων εἰς αὔριον,*
*αἱ τριχίδες εἰ γενοίαθ' ἑκατὸν τοὐβολοῦ.*
*ἐκαραδόκηcεν εἰς ἔμ' ἡ βουλὴ πάλιν.*
*ὁ δὲ ταῦτ' ἀκούcας ἐκπλαγεὶς ἐφληνάφα.*
*κᾆθ' εἷλκον αὐτὸν οἱ πρυτάνεις χοἰ τοξόται,*

640 *θενὼν* Dindorf: *θένων* codd. 641 *ἐξήραξα* R: *ἐξάρ-* cett. 643 *πρῶτον*] *πρῶτος* V[pc], Phrynichus *Ecl.* 232 646 *οἳ . . . διεγαλήνιcαν* RM: *τῶν . . . διεγαλήνιcεν* cett. 648 quo pertineat *ταχύ* licet dubites; si cum *ξυλλαβεῖν* coniungitur, fortasse 650 ante 649 transponendus est, ut voluit Wilamowitz 651 *ἔμ' ἐκεχήνεcαν*] an *ἐπεκεχήνεcαν*? 652 *ἐπινοήcας* Meineke: *ὑπο-* codd. *ἄρα*] *τ' ἅμα* R, unde *θ' ἅμα* Dindorf 654 *ἤδη*] *κἀμοὶ* RM 655 *εἰcηγγελμέναις*] *ἠγγελμέναις* R 658 *ἡττώμενος* sch., Richards: *ἡττημένος* codd. 659 *διηκοcίῃcι*] *διακοcίαιcι* Dindorf 662 *εἰ* RL: *δ' εἰ* vΦ

οἱ δ' ἐθορύβουν περὶ τῶν ἀφύων ἑϲτηκότεϲ·
ὁ δ' ἠντεβόλει γ' αὐτοὺϲ ὀλίγον μεῖναι χρόνον,
"ἵν' ἅτθ' ὁ κῆρυξ οὑκ Λακεδαίμονοϲ λέγει
πύθηϲθ'· ἀφῖκται γὰρ περὶ ϲπονδῶν" λέγων.
οἱ δ' ἐξ ἑνὸϲ ϲτόματοϲ ἅπαντεϲ ἀνέκραγον·
"νυνὶ περὶ ϲπονδῶν; ἐπειδή γ', ὦ μέλε,
ᾔϲθοντο τὰϲ ἀφύαϲ παρ' ἡμῖν ἀξίαϲ.
οὐ δεόμεθα ϲπονδῶν· ὁ πόλεμοϲ ἑρπέτω."
ἐκεκράγεϲάν τε τοὺϲ πρυτάνειϲ ἀφιέναι·
εἶθ' ὑπερεπήδων τοὺϲ δρυφάκτουϲ πανταχῇ.
ἐγὼ δὲ τὰ κορίανν' ἐπριάμην ὑποδραμὼν
ἅπαντα τά τε γήτει' ὅϲ' ἦν ἐν τἀγορᾷ·
ἔπειτα ταῖϲ ἀφύαιϲ ἐδίδουν ἡδύϲματα
ἀποροῦϲιν αὐτοῖϲ προῖκα κἀχαριζόμην.
οἱ δ' ὑπερεπῄνουν ὑπερεπύππαζόν τέ με
ἅπαντεϲ οὕτωϲ ὥϲτε τὴν βουλὴν ὅλην
ὀβολοῦ κοριάννοιϲ ἀναλαβὼν ἐλήλυθα.

*Χο.* πάντα τοι πέπραγαϲ οἷα χρὴ τὸν εὐτυχοῦντα· [ἀντ.
ηὗρε δ' ὁ πανοῦργοϲ ἕτερον πολὺ πανουργίαιϲ
μείζοϲι κεκαϲμένον καὶ δόλοιϲι ποικίλοιϲ
ῥήμαϲίν θ' αἱμύλοιϲ.
ἀλλ' ὅπωϲ ἀγωνιεῖ φρόντιζε τἀπίλοιπ' ἄριϲτα·
ϲυμμάχουϲ δ' ἡμᾶϲ ἔχων εὔνουϲ ἐπίϲταϲαι πάλαι.

*Αλ.* καὶ μὴν ὁ Παφλαγὼν οὑτοϲὶ προϲέρχεται,
ὠθῶν κολόκυμα καὶ ταράττων καὶ κυκῶν,
ὡϲ δὴ καταπιόμενόϲ με. μορμώ, τοῦ θράϲουϲ.
*Πα.* εἰ μή ϲ' ἀπολέϲαιμ', εἴ τι τῶν αὐτῶν ἐμοὶ
ψευδῶν ἐνείη, διαπέϲοιμι πανταχῇ.

667 ἠντεβόλει Cobet: ἠντι- codd. 668 post λέγει add. πάλιν codd. praeter RL 669 λέγων] λόγον Φ: πάλιν Porson 674 ἀφιέναι Brunck: ἀπιέναι codd. 675 πανταχῇ R: -χοῦ cett. 676 ὑποδραμὼν] ὑπεκδραμὼν R 677 τά τε] τε τὰ R: τε M 680 ὑπερεπύππαζόν τε] -οντο R, Su. υ 266 683 τοι R: δὴ cett. 687 αἱμύλοιϲ L: αἱμυλίοιϲ cett.

Αλ. ἥϲθην ἀπειλαῖϲ, ἐγέλαϲα ψολοκομπίαιϲ,
ἀπεπυδάριϲα μόθωνα, περιεκόκκαϲα.
Πα. οὔτοι μὰ τὴν Δήμητρά γ', εἰ μή ϲ' ἐκφάγω
ἐκ τῆϲδε τῆϲ γῆϲ, οὐδέποτε βιώϲομαι.
Αλ. εἰ μὴ 'κφάγηϲ; ἐγὼ δέ γ', εἰ μή ϲ' ἐκπίω,
κἂν ἐκροφήϲαϲ αὐτὸϲ ἐπιδιαρραγῶ.
Πα. ἀπολῶ ϲε νὴ τὴν προεδρίαν τὴν ἐκ Πύλου.
Αλ. ἰδοὺ προεδρίαν· οἷον ὄψομαί ϲ' ἐγὼ
ἐκ τῆϲ προεδρίαϲ ἔϲχατον θεώμενον.
Πα. ἐν τῷ ξύλῳ δήϲω ϲε, νὴ τὸν οὐρανόν.
Αλ. ὡϲ ὀξύθυμοϲ. φέρε, τί ϲοι δῶ καταφαγεῖν;
ἐπὶ τῷ φάγοιϲ ἥδιϲτ' ἄν; ἐπὶ βαλλαντίῳ;
Πα. ἐξαρπάϲομαί ϲου τοῖϲ ὄνυξι τἄντερα.
Αλ. ἀπονυχιῶ ϲου τἀν πρυτανείῳ ϲιτία.
Πα. ἕλξω ϲε πρὸϲ τὸν δῆμον, ἵνα δῷϲ μοι δίκην.
Αλ. κἀγὼ ϲέ γ' ἕλξω διαβαλῶ τε πλείονα.
Πα. ἀλλ', ὦ πόνηρε, ϲοὶ μὲν οὐδὲν πείϲεται·
ἐγὼ δ' ἐκείνου καταγελῶ γ' ὅϲον θέλω.
Αλ. ὡϲ ϲφόδρα ϲὺ τὸν δῆμον ϲεαυτοῦ νενόμικαϲ.
Πα. ἐπίϲταμαι γὰρ αὐτὸν οἷϲ ψωμίζεται.
Αλ. κᾆθ' ὥϲπερ αἱ τίτθαι γε ϲιτίζειϲ κακῶϲ.
μαϲώμενοϲ γὰρ τῷ μὲν ὀλίγον ἐντίθηϲ,
αὐτὸϲ δ' ἐκείνου τριπλάϲιον κατέϲπακαϲ.
Πα. καὶ νὴ Δί' ὑπό γε δεξιότητοϲ τῆϲ ἐμῆϲ
δύναμαι ποιεῖν τὸν δῆμον εὐρὺν καὶ ϲτενόν.
Αλ. χὠ πρωκτὸϲ οὑμὸϲ τουτογὶ ϲοφίζεται.
Πα. οὐκ, ὦγάθ', ἐν βουλῇ με δόξειϲ καθυβρίϲαι.

697 περιεκόκκαϲα Dindorf: -κκαυϲα R: -κκυϲα cett., Su. α 3033
698 γ' εἰ R: ἐὰν cett. 700 εἰ ... εἰ R: ἢν ... ἢν cett.
701 κἂν ἐκροφήϲαϲ Bothe: κἀπεκροφήϲαϲ codd. αὐτὸϲ] αὐτίκ' vel εὐθὺϲ Blaydes 711 ϲέ γ' Wilson (γέ ϲ' iam Blaydes): δέ ϲ' codd.: δὲ ϲ' Bothe διαβαλῶ τε Kock: καὶ διαβαλῶ γε VΦL: καὶ διαβαλῶ RΓac
712 πείϲεται Richards: πείθεται codd. 722 ὦγάθ' ... με δόξειϲ] ὥϲπερ ... μ' ἔθ' ἕξειϲ van Herwerden

ἴωμεν εἰϲ τὸν δῆμον.
Αλ. οὐδὲν κωλύει.
ἰδού. βάδιζε· μηδὲν ἡμᾶϲ ἰϲχέτω.
Πα. ὦ Δῆμε, δεῦρ' ἔξελθε.
Αλ. νὴ Δί', ὦ πάτερ,
ἔξελθε δῆτ'.
Πα. ὦ Δημίδιον ⟨ὦ⟩ φίλτατον,
ἔξελθ', ἵν' εἰδῇϲ οἷα περιυβρίζομαι.

ΔΗΜΟϹ
τίνεϲ οἱ βοῶντεϲ; οὐκ ἄπιτ' ἀπὸ τῆϲ θύραϲ;
τὴν εἰρεϲιώνην μου κατεϲπαράξατε.
τίϲ, ὦ Παφλαγών, ἀδικεῖ ϲε;
Πα. διὰ ϲὲ τύπτομαι
ὑπὸ τουτουὶ καὶ τῶν νεανίϲκων.
Δημ. τιή;
Πα. ὁτιὴ φιλῶ ϲ', ὦ Δῆμ', ἐραϲτήϲ τ' εἰμὶ ϲόϲ.
Δημ. ϲὺ δ' εἶ τίϲ ἐτεόν;
Αλ. ἀντεραϲτὴϲ τουτουί,
ἐρῶν πάλαι ϲου βουλόμενόϲ τέ ϲ' εὖ ποιεῖν,
ἄλλοι τε πολλοὶ καὶ καλοί τε κἀγαθοί.
ἀλλ' οὐχ οἷοί τ' ἐϲμὲν διὰ τουτονί. ϲὺ γὰρ
ὅμοιοϲ εἶ τοῖϲ παιϲὶ τοῖϲ ἐρωμένοιϲ·
τοὺϲ μὲν καλούϲ τε κἀγαθοὺϲ οὐ προϲδέχει,
ϲαυτὸν δὲ λυχνοπώλαιϲι καὶ νευρορράφοιϲ
καὶ ϲκυτοτόμοιϲ καὶ βυρϲοπώλαιϲιν δίδωϲ.
Πα. εὖ γὰρ ποιῶ τὸν δῆμον.
Αλ. εἰπέ μοι, τί δρῶν;

724 βάδιζε] βαδίζω B[ac], Blaydes 726 suppl. Elmsley 727 hic praebent RM, post 729 cett. οἷα περι- Elmsley: οἷαπερ vel sim. RvΦ: οἷαπέρ γ' L 728 ἀπὸ] ἐκ RM 732 τ' RVL: om. cett. 739, 740 -πώλαιϲι(ν) RM: -πώληϲι(ν) cett. 741 μοι Dindorf: μοι νῦν RM: νυν cett.

Πα. ὅ τι; τοὺϲ ϲτρατηγοὺϲ ὑποδραμὼν τοὺϲ ἐν Πύλῳ,
πλεύϲαϲ ἐκεῖϲε, τοὺϲ Λάκωναϲ ἤγαγον.
Αλ. ἐγὼ δὲ περιπατῶν γ' ἀπ' ἐργαϲτηρίου
ἕψοντοϲ ἑτέρου τὴν χύτραν ὑφειλόμην.
Πα. καὶ μὴν ποιήϲαϲ αὐτίκα μάλ' ἐκκληϲίαν,
ὦ Δῆμ', ἵν' εἰδῇϲ ὁπότεροϲ νῷν ἐϲτί ϲοι
εὐνούϲτεροϲ, διάκρινον, ἵνα τοῦτον φιλῇϲ.
Αλ. ναὶ ναί, διάκρινον δῆτα, πλὴν μὴ 'ν τῇ Πυκνί.
Δημ. οὐκ ἂν καθιζοίμην ἐν ἄλλῳ χωρίῳ.
ἀλλ' εἰϲ τὸ πρόϲθε. χρὴ παρεῖν' εἰϲ τὴν Πύκνα.
Αλ. οἴμοι κακοδαίμων, ὡϲ ἀπόλωλ'. ὁ γὰρ γέρων
οἴκοι μὲν ἀνδρῶν ἐϲτι δεξιώτατοϲ,
ὅταν δ' ἐπὶ ταυτηϲὶ καθῆται τῆϲ πέτραϲ,
κέχηνεν ὥϲπερ ἐμποδίζων ἰϲχάδαϲ.

Χο. νῦν δή ϲε πάντα δεῖ κάλων ἐξιέναι ϲεαυτοῦ, [ϲτρ.
καὶ λῆμα θούριον φορεῖν καὶ λόγουϲ ἀφύκτουϲ,
ὅτοιϲι τόνδ' ὑπερβαλεῖ. ποικίλοϲ γὰρ ἀνὴρ
κἀκ τῶν ἀμηχάνων πόρουϲ εὐμήχανοϲ πορίζειν.
πρὸϲ ταῦθ' ὅπωϲ ἕξει πολὺϲ καὶ λαμπρὸϲ εἰϲ τὸν ἄνδρα.

ἀλλὰ φυλάττου, καὶ πρὶν ἐκεῖνον προϲκεῖϲθαί ϲοι πρότεροϲ ϲὺ
τοὺϲ δελφῖναϲ μετεωρίζου καὶ τὴν ἄκατον παραβάλλου.
Πα. τῇ μὲν δεϲποίνῃ Ἀθηναίᾳ, τῇ τῆϲ πόλεωϲ μεδεούϲῃ

742 ὅ τι Elmsley : ὅτι codd. τοὺϲ ϲτρατηγοὺϲ Brunck : τὸν ϲτρατηγὸν $\Gamma^2$: τῶν ϲτρατηγῶν cett. ὑποδραμὼν (τῶν) varie temptatum, ex. gr. ὑποτρεμόντων Kock alterum τοὺϲ Bentley: τὸν $\Gamma^2$: τῶν cett. ἐν Πύλῳ Brunck: ἐκ Πύλου codd. 748 τοῦτον RM: ἐκεῖνον cett. 751 χρὴ] ἐχρῆν V: χρῆν Γ παρεῖν' R: παρεῖναι cett. 756 δὴ RVM$\Gamma^{pc}$: δεῖ ΑΘL δεῖ VM$\Gamma^{pc}$: δή RΑΘL 759 εὐμήχανοϲ πορίζειν Bentley : εὐμηχάνουϲ πορίζων codd., Su. ν 602 760 εἰϲ] ἐπὶ Cobet 761 προϲκεῖϲθαί ϲοι ΓL: προκεῖϲθαί ϲοι VΑΘΜ: προϲίκεϲθαί ϲου R, Su. δ 208 πρότεροϲ] -ον R, Su.

εὔχομαι, εἰ μὲν περὶ τὸν δῆμον τὸν Ἀθηναίων γεγένημαι
βέλτιϲτοϲ ἀνὴρ μετὰ Λυϲικλέα καὶ Κύνναν καὶ Ϲαλαβακχῶ,
ὥϲπερ νυνὶ μηδὲν δράϲαϲ δειπνεῖν ἐν τῷ πρυτανείῳ·
εἰ δέ ϲε μιϲῶ καὶ μὴ περί ϲου μάχομαι μόνοϲ ἀντιβεβηκώϲ,
ἀπολοίμην καὶ διαπριϲθείην κατατμηθείην τε λέπαδνα.

Αλ. κἄγωγ᾽, ὦ Δῆμ᾽, εἰ μή ϲε φιλῶ καὶ μὴ ϲτέργω, κατατμηθεὶϲ
ἑψοίμην ἐν περικομματίοιϲ· κεἰ μὴ τούτοιϲι πέποιθαϲ,
ἐπὶ ταυτηϲὶ κατακνηϲθείην ἐν μυττωτῷ μετὰ τυροῦ
καὶ τῇ κρεάγρᾳ τῶν ὀρχιπέδων ἑλκοίμην εἰϲ Κεραμεικόν.

Πα. καὶ πῶϲ ἂν ἐμοῦ μᾶλλόν ϲε φιλῶν, ὦ Δῆμε, γένοιτο πολίτηϲ;
ὃϲ πρῶτα μὲν ἡνίκ᾽ ἐβούλευόν ϲοι χρήματα πλεῖϲτ᾽ ἀπέδειξα
ἐν τῷ κοινῷ, τοὺϲ μὲν ϲτρεβλῶν, τοὺϲ δ᾽ ἄγχων, τοὺϲ δὲ μεταιτῶν,
οὐ φροντίζων τῶν ἰδιωτῶν οὐδενόϲ, εἰ ϲοὶ χαριοίμην.

Αλ. τοῦτο μέν, ὦ Δῆμ᾽, οὐδὲν ϲεμνόν· κἀγὼ γὰρ τοῦτό ϲε δράϲω.
ἁρπάζων γὰρ τοὺϲ ἄρτουϲ ϲοι τοὺϲ ἀλλοτρίουϲ παραθήϲω.
ὡϲ δ᾽ οὐχὶ φιλεῖ ϲ᾽ οὐδ᾽ ἔϲτ᾽ εὔνουϲ, τοῦτ᾽ αὐτό ϲε πρῶτα διδάξω,
ἀλλ᾽ ἢ διὰ τοῦτ᾽ αὔθ᾽ ὁτιή ϲου τῆϲ ἀνθρακιᾶϲ ἀπολαύει.

764 alterum τὸν X: τῶν cett. 765 Ϲαλαβακχῶ sch. ad *Pac.* 755: -βάκχῳ R: -βάκχαν cett. 767 ἀντιβεβηκώϲ RΓ[ac]: ἀντιβεβληκώϲ fere cett.: ἀμφιβεβηκώϲ Dawes 768 κατατμηθείην RM, sch.: δια- cett. 776 χαριοίμην R: χαριζοίμην cett. 777 alterum τοῦτό] ταὐτό von Velsen 779 αὐτό ϲε πρῶτα] αὖ πρώτιϲτα Blaydes

ϲὲ γάρ, ὃϲ Μήδοιϲι διεξιφίϲω περὶ τῆϲ χώραϲ Μαραθῶνι,
καὶ νικήϲαϲ ἡμῖν μεγάλωϲ ἐγγλωττοτυπεῖν παρέδωκαϲ,
ἐπὶ ταῖϲι πέτραιϲ οὐ φροντίζει ϲκληρῶϲ ϲε καθήμενον οὕτωϲ,
οὐχ ὥϲπερ ἐγὼ ῥαψάμενόϲ ϲοι τουτὶ φέρω. ἀλλ' ἐπαναίρου,
κᾆτα καθίζου μαλακῶϲ, ἵνα μὴ τρίβηϲ τὴν ἐν Ϲαλαμῖνι.
*Δημ.* ἄνθρωπε, τίϲ εἶ; μῶν ἔκγονοϲ εἶ τῶν Ἁρμοδίου τιϲ ἐκείνων;
τοῦτό γέ τοί ϲου τοὔργον ἀληθῶϲ γενναῖον καὶ φιλόδημον.
*Πα.* ὡϲ ἀπὸ μικρῶν εὔνουϲ αὐτῷ θωπευματίων γεγένηϲαι.
*Αλ.* καὶ ϲὺ γὰρ αὐτὸν πολὺ μικροτέροιϲ τούτων δελεάϲμαϲιν εἷλεϲ.
*Πα.* καὶ μὴν εἴ πού τιϲ ἀνὴρ ἐφάνη τῷ δήμῳ μᾶλλον ἀμύνων
ἢ μᾶλλον ἐμοῦ ϲε φιλῶν, ἐθέλω περὶ τῆϲ κεφαλῆϲ περιδόϲθαι.
*Αλ.* καὶ πῶϲ ϲὺ φιλεῖϲ, ὃϲ τοῦτον ὁρῶν οἰκοῦντ' ἐν ταῖϲ φιδάκναιϲι
καὶ γυπαρίοιϲ καὶ πυργιδίοιϲ ἔτοϲ ὄγδοον οὐκ ἐλεαίρειϲ,
ἀλλὰ καθείρξαϲ αὐτὸν βλίττειϲ; Ἀρχεπτολέμου δὲ φέροντοϲ

781 ante *Μαραθῶνι* add. *ἐν* codd.: del. Bentley 782 *ἐγγλωττοτυπεῖν*] *εὐγλωττοποιεῖν* *Φ* 783 *ταῖϲι* Brunck: *ταῖϲ* codd., Su. ϲ 49 *οὕτωϲ*] *εἰδώϲ* Richards: *ἀθρῶν* Blaydes 786 *ἔκγονοϲ* M: *ἔγγονοϲ* cett. 787 *τοι* R, sch.: om. cett. *ϲου . . . ἀληθῶϲ*] *ϲ' ἀληθῶϲ αὐτουργὸν* R, unde *τοῦτ' αὐτό γε τοι τοὔργον ἀληθῶϲ* Reisig 789 *εἷλεϲ* AL: *ἀνεῖλεϲ* *ΕΓΘ*: *ϲυνεῖλεϲ* RMV 790 *πού τιϲ*] *πώποτ'* Cobet 792 *τοῦτον*] *γ' αὐτὸν* Blaydes *φιδάκναιϲι* Brunck, cf. titulos: *πιθάκναιϲι* codd., Su. γ 506

τὴν εἰρήνην ἐξεϲκέδαϲαϲ, τὰϲ πρεϲβείαϲ τ᾽ ἀπελαύνειϲ
ἐκ τῆϲ πόλεωϲ ῥαθαπυγίζων, αἳ τὰϲ ϲπονδὰϲ προκαλοῦνται.
Πα. ἵνα γ᾽ Ἑλλήνων ἄρξῃ πάντων. ἔϲτι γὰρ ἐν τοῖϲ λογίοιϲιν
ὡϲ τοῦτον δεῖ ποτ᾽ ἐν Ἀρκαδίᾳ πεντωβόλου ἡλιάϲαϲθαι,
ἢν ἀναμείνῃ· πάντωϲ δ᾽ αὐτὸν θρέψω ᾽γὼ καὶ θεραπεύϲω,
ἐξευρίϲκων εὖ καὶ μιαρῶϲ ὁπόθεν τὸ τριώβολον ἕξει.
Αλ. οὐχ ἵνα γ᾽ ἄρξῃ μὰ Δί᾽ Ἀρκαδίαϲ προνοούμενοϲ, ἀλλ᾽ ἵνα μᾶλλον
ϲὺ μὲν ἁρπάζῃϲ καὶ δωροδοκῇϲ παρὰ τῶν πόλεων, ὁ δὲ δῆμοϲ
ὑπὸ τοῦ πολέμου καὶ τῆϲ ὁμίχληϲ ἃ πανουργεῖϲ μὴ καθορᾷ ϲου,
ἀλλ᾽ ὑπ᾽ ἀνάγκηϲ ἅμα καὶ χρείαϲ καὶ μιϲθοῦ πρόϲ ϲε κεχήνῃ.
εἰ δέ ποτ᾽ εἰϲ ἀγρὸν οὗτοϲ ἀπελθὼν εἰρηναῖοϲ διατρίψῃ,
καὶ χῖδρα φαγὼν ἀναθαρρήϲῃ καὶ ϲτεμφύλῳ εἰϲ λόγον ἔλθῃ,
γνώϲεται οἵων ἀγαθῶν αὐτὸν τῇ μιϲθοφορᾷ παρεκόπτου·
εἶθ᾽ ἥξει ϲοι δριμὺϲ ἄγροικοϲ, κατὰ ϲοῦ τὴν ψῆφον ἰχνεύων.

796 ῥαθαπυγίζων] lm. ῥοθο- praebet Su. ρ 219 798 πεντωβόλου Kuster: πεντώβολον codd., Su. π 985 802 ἁρπάζῃϲ B, Bentley: ἁρπάξῃϲ R: ἁρπάϲῃϲ vel sim. cett. 803 καθορᾷ ϲου] καθορᾶται Su. ο 258 804 fortasse πρὸϲ ϲὲ scribendum, ut in RMΓL 805 εἰ] ἢν Dobree 805–6 διατρίψῃ . . . ἀναθαρρήϲῃ] -ψει . . . -ϲει $A^{pc}\Gamma^{pc}$M: -ψοι . . . -ϲοι $A^{ac}$ 806 ἔλθῃ RVL: ἔλθοι ΦΜ: ἐλθὼν Hirschig 808 τὴν] τε A. Palmer

ἃ ϲὺ γιγνώϲκων τόνδ' ἐξαπατᾷϲ καὶ ὀνειροπολεῖϲ περὶ αὑτοῦ.

Πα. οὔκουν δεινὸν ταυτί ϲε λέγειν δῆτ' ἔϲτ' ἐμὲ καὶ διαβάλλειν
πρὸϲ Ἀθηναίουϲ καὶ τὸν δῆμον, πεποιηκότα πλείονα χρηϲτὰ
νὴ τὴν Δήμητρα Θεμιϲτοκλέουϲ πολλῷ περὶ τὴν πόλιν ἤδη;

Αλ. ὦ πόλιϲ Ἄργουϲ, κλύεθ' οἷα λέγει; ϲὺ Θεμιϲτοκλεῖ ἀντιφερίζειϲ;
ὃϲ ἐποίηϲεν τὴν πόλιν ἡμῶν μεϲτὴν εὑρὼν ἐπιχειλῆ,
καὶ πρὸϲ τούτοιϲ ἀριϲτώϲῃ τὸν Πειραιᾶ προϲέμαξεν,
ἀφελών τ' οὐδὲν τῶν ἀρχαίων ἰχθῦϲ καινοὺϲ παρέθηκεν·
ϲὺ δ' Ἀθηναίουϲ ἐζήτηϲαϲ μικροπολίταϲ ἀποφῆναι
διατειχίζων καὶ χρηϲμῳδῶν, ὁ Θεμιϲτοκλεῖ ἀντιφερίζων.
κἀκεῖνοϲ μὲν φεύγει τὴν γῆν, ϲὺ δ' Ἀχιλλείων ἀπομάττει.

Πα. οὔκουν ταυτὶ δεινὸν ἀκούειν, ὦ Δῆμ', ἐϲτίν μ' ὑπὸ τούτου,
ὁτιή ϲε φιλῶ;

Δημ. παῦ παῦ', οὗτοϲ, καὶ μὴ ϲκέρβολλε πονηρά.
πολλοῦ δὲ πολύν με χρόνον καὶ νῦν ἐλελήθειϲ ἐγκρυφιάζων.

Αλ. μιαρώτατοϲ, ὦ Δημακίδιον, καὶ πλεῖϲτα πανοῦργα δεδρακώϲ·
ὁπόταν χαϲμᾷ, καὶ τοὺϲ καυλοὺϲ

809 αὑτοῦ van Herwerden: ϲ(ε)αυτοῦ codd. 813 interrogationem agnovit Blaydes 814 ἐπιχειλῆ saepius temptatum; πύργων pro εὑρὼν Thiercy 819 φεύγει] ἔφευγεν van Herwerden 821 παῦ παῦ' οὗτοϲ Elmsley: παῦ' οὑτοϲί codd. 824 καὶ] γὰρ Blaydes

τῶν εὐθυνῶν ἐκκαυλίζων
καταβροχθίζει, κἀμφοῖν χειροῖν
μυϲτιλᾶται τῶν δημοϲίων.
Πα. οὐ χαιρήϲειϲ, ἀλλά ϲε κλέπτονθ'
αἱρήϲω 'γὼ τρεῖϲ μυριάδαϲ.
Αλ. τί θαλαττοκοπεῖϲ καὶ πλατυγίζειϲ,
μιαρώτατοϲ ὢν περὶ τὸν δῆμον
τὸν Ἀθηναίων; καί ϲ' ἐπιδείξω
νὴ τὴν Δήμητρ', ἢ μὴ ζῴην,
δωροδοκήϲαντ' ἐκ Μυτιλήνηϲ
πλεῖν ἢ μνᾶϲ τετταράκοντα.

Χο. ὦ πᾶϲιν ἀνθρώποιϲ φανεὶϲ μέγιϲτον ὠφέλημα, [ἀντ.
ζηλῶ ϲε τῆϲ εὐγλωττίαϲ. εἰ γὰρ ὧδ' ἐποίϲει,
μέγιϲτοϲ Ἑλλήνων ἔϲει, καὶ μόνοϲ καθέξειϲ
τὰν τῇ πόλει, τῶν ξυμμάχων τ' ἄρξειϲ ἔχων τρίαιναν,
ᾗ πολλὰ χρήματ' ἐργάϲει ϲείων τε καὶ ταράττων.

καὶ μὴ μεθῇϲ τὸν ἄνδρ', ἐπειδή ϲοι λαβὴν δέδωκεν·
κατεργάϲει γὰρ ῥᾳδίωϲ πλευρὰϲ ἔχων τοιαύταϲ.
Πα. οὐκ, ὦγαθοί, ταῦτ' ἐϲτί πω ταύτῃ μὰ τὸν Ποϲειδῶ.
ἐμοὶ γάρ ἐϲτ' εἰργαϲμένον τοιοῦτον ἔργον ὥϲτε
ἀπαξάπανταϲ τοὺϲ ἐμοὺϲ ἐχθροὺϲ ἐπιϲτομίζειν,
ἕωϲ ἂν ᾖ τῶν ἀϲπίδων τῶν ἐκ Πύλου τι λοιπόν.
Αλ. ἐπίϲχεϲ ἐν ταῖϲ ἀϲπίϲιν· λαβὴν γὰρ ἐνδέδωκαϲ.
οὐ γάρ ϲ' ἐχρῆν, εἴπερ φιλεῖϲ τὸν δῆμον, ἐκ προνοίαϲ
ταύταϲ ἐᾶν αὐτοῖϲι τοῖϲ πόρπαξιν ἀνατεθῆναι.
ἀλλ' ἐϲτὶ τοῦτ', ὦ Δῆμε, μηχάνημ', ἵν', ἢν ϲὺ βούλῃ
τὸν ἄνδρα κολάϲαι τουτονί, ϲοι τοῦτο μὴ 'κγένηται.

826 χειροῖν Daubuz, Bentley: χεροῖν codd.: γε χεροῖν Lenting 830 πλατυγίζειϲ codd.: -ίζῃ Su. π 1712: πτερυγίζειϲ sch. ad *Pac.* 92, Su. μ 768 832 τὸν Vv17: τῶν cett. 834 Μυτιλήνηϲ Dindorf: Μιτυ- codd. 835 πλεῖν ἢ μνᾶϲ] μυριάδαϲ Zacher 837 ἐποίϲει Kock: -ειϲ codd. 846 ᾖ RL, Su. ε 1061: ᾖ τι cett. 847 post ἐπίϲχεϲ non post ἀϲπίϲιν interpungendum censuit Fraenkel 851 'κγένηται] 'γγένηται R

ὁρᾷς γὰρ αὐτῷ στῖφος οἷόν ἐστι βυρσοπωλῶν
νεανιῶν· τούτους δὲ περιοικοῦσι μελιτοπῶλαι
καὶ τυροπῶλαι· τοῦτο δ' εἰς ἕν ἐστι συγκεκυφός,
ὥστ' εἰ σὺ βριμήσαιο καὶ βλέψειας ὀστρακίνδα,
νύκτωρ καθαρπάσαντες ἂν τὰς ἀσπίδας θέοντες
τὰς εἰσβολὰς τῶν ἀλφίτων ἂν καταλάβοιεν ἡμῶν.
Δημ. οἴμοι τάλας· ἔχουσι γὰρ πόρπακας; ὦ πονηρέ,
ὅσον με παρεκόπτου χρόνον τοιαῦτα κρουσιδημῶν.
Πα. ὦ δαιμόνιε, μὴ τοῦ λέγοντος ἴσθι, μηδ' οἰηθῇς
ἐμοῦ ποθ' εὑρήσειν φίλον βελτίον', ὅστις εἷς ὢν
ἔπαυσα τοὺς ξυνωμότας· καί μ' οὐ λέληθεν οὐδὲν
ἐν τῇ πόλει ξυνιστάμενον, ἀλλ' εὐθέως κέκραγα.
Αλ. ὅπερ γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι πέπονθας.
ὅταν μὲν ἡ λίμνη καταστῇ, λαμβάνουσιν οὐδέν·
ἐὰν δ' ἄνω τε καὶ κάτω τὸν βόρβορον κυκῶσιν,
αἱροῦσι· καὶ σὺ λαμβάνεις, ἢν τὴν πόλιν ταράττῃς.
ἓν δ' εἰπέ μοι τοσουτονί· σκύτη τοσαῦτα πωλῶν
ἔδωκας ἤδη τουτῳὶ κάττυμα παρὰ σεαυτοῦ
ταῖς ἐμβάσιν, φάσκων φιλεῖν;
Δημ. οὐ δῆτα μὰ τὸν Ἀπόλλω.
Αλ. ἔγνωκας οὖν δῆτ' αὐτὸν οἷός ἐστιν; ἀλλ' ἐγώ σοι
ζεῦγος πριάμενος ἐμβάδων τουτὶ φορεῖν δίδωμι.
Δημ. κρίνω σ' ὅσων ἐγῷδα περὶ τὸν δῆμον ἄνδρ' ἄριστον
εὐνούστατόν τε τῇ πόλει καὶ τοῖσι δακτύλοισιν.
Πα. οὐ δεινὸν οὖν δῆτ' ἐμβάδας τοσουτονὶ δύνασθαι,
ἐμοῦ δὲ μὴ μνείαν ἔχειν ὅσων πέπονθας; ὅστις
ἔπαυσα τοὺς βινουμένους, τὸν Γρῦπον ἐξαλείψας.

856 *καθαρπάσαντες* M[pc]vΦ: *κατασπάσαντες* RM[ac]Γ[ac], Su. β 544   858 *πόνηρε* hoc accentu codd. plerique   869 *τουτῳὶ* L: *τούτῳ* vel *τοῦτο* cett. (sed post *κάττυμα* transp. RM)   873 *σ'* om. R   *ὅσων* B[pc], Bentley: *ὅσον* RvΦL: *ὅλον* M   ante *ἐγῷδα* add. *γ'* L   *ἄνδρ'* RM[ac]: *ὄντ'* M[pc] cett.   877 *βινουμένους* R[ac] Φ, Su. γ 467: *κιν-* R[pc]vL   *Γρῦπον* v.l. ap. Su.: *Γρύππον* v.l. ap. sch. M: *Γρύττον* codd.: *Γρύλλον* Blaydes

Αλ. οὔκουν ϲε ταῦτα δῆτα δεινόν ἐϲτι πρωκτοτηρεῖν
παῦϲαί τε τοὺϲ βινουμένουϲ; κοὐκ ἔϲθ' ὅπωϲ ἐκείνουϲ
οὐχὶ φθονῶν ἔπαυϲαϲ, ἵνα μὴ ῥήτορεϲ γένωνται.
τονδὶ δ' ὁρῶν ἄνευ χιτῶνοϲ ὄντα τηλικοῦτον,
οὐπώποτ' ἀμφιμαϲχάλου τὸν Δῆμον ἠξίωϲαϲ
χειμῶνοϲ ὄντοϲ· ἀλλ' ἐγώ ϲοι τουτονὶ δίδωμι.
Δημ. τοιουτονὶ Θεμιϲτοκλῆϲ οὐπώποτ' ἐπενόηϲεν.
καίτοι ϲοφὸν κἀκεῖν' ὁ Πειραιεύϲ· ἔμοιγε μέντοι
οὐ μεῖζον εἶναι φαίνετ' ἐξεύρημα τοῦ χιτῶνοϲ.
Πα. οἴμοι τάλαϲ, οἵοιϲ πιθηκιϲμοῖϲ με περιελαύνειϲ.
Αλ. οὔκ, ἀλλ' ὅπερ πίνων ἀνὴρ πέπονθ' ὅταν χεϲείῃ,
τοῖϲιν τρόποιϲ τοῖϲ ϲοῖϲιν ὥϲπερ βλαυτίοιϲι χρῶμαι.
Πα. ἀλλ' οὐχ ὑπερβαλεῖ με θωπείαιϲ· ἐγὼ γὰρ αὐτὸν
προϲαμφιῶ τοδί· ϲὺ δ' οἴμωζ', ὦ πονήρ'.
Δημ. ἰαιβοῖ.
οὐκ ἐϲ κόρακαϲ ἀποφθερεῖ, βύρϲηϲ κάκιϲτον ὄζον;
Αλ. καὶ τοῦτό ⟨γ'⟩ ἐπίτηδέϲ ϲε περιήμπεϲχ', ἵνα ϲ' ἀποπνίξῃ·
καὶ πρότερον ἐπεβούλευϲέ ϲοι. τὸν καυλὸν οἶϲθ' ἐκεῖνον
τοῦ ϲιλφίου τὸν ἄξιον γενόμενον;
Δημ. οἶδα μέντοι.
Αλ. ἐπίτηδεϲ οὗτοϲ αὐτὸν ἔϲπευϲ' ἄξιον γενέϲθαι,
ἵν' ἐϲθίοιτ' ὠνούμενοι, κᾆπειτ' ἐν ἡλιαίᾳ
βδέοντεϲ ἀλλήλουϲ ἀποκτείνειαν οἱ δικαϲταί.
Δημ. νὴ τὸν Ποϲειδῶ καὶ πρὸϲ ἐμὲ τοῦτ' εἶπ' ἀνὴρ Κόπρειοϲ.
Αλ. οὐ γὰρ τόθ' ὑμεῖϲ βδεόμενοι δήπου 'γένεϲθε πυρροί;

878 ταῦτα δῆτα M: δῆτα ταῦτα L: ταῦτα cett. 878–9 παῦϲαί τε τοὺϲ . . . κοὐκ] puncto post πρωκτοτηρεῖν posito παῦϲαι δέ· τοὺϲ . . . οὐκ Jackson 879 βινουμένουϲ vΦM$^{ac}$: κιν- cett. 880 γένωνται] γένοιντο RM$^{pc}$ 881 τηλικοῦτον X: -ονί cett. 889 βλαυτίοιϲι ΦL, Su. β 325, χ 220 codd. FM: βαλλαντίοιϲ Rv 891 πόνηρ' codd.: sed cf. 858 ἰαιβοῖ Dindorf: αἰβοῖ codd. 892 ὄζον Lenting: ὄζων codd.: ὄζει Kock 893 suppl. Bentley περιήμπεϲχ' Meineke: -εϲχεν R: -ιϲχεν cett. ϲ' RMΓ$^{pc}$L: om. cett. 895 τοῦ] τὸν A, Bentley 896 ἔϲπευϲ' Bergk: ἔϲπευϲεν RM: ἔϲπευδ' cett.

Δημ. καὶ νὴ Δί᾽ ἦν γε τοῦτο Πυρράνδρου τὸ μηχάνημα.
Πα. οἵοιϲί μ᾽, ὦ πανοῦργε, βωμολοχεύμαϲιν ταράττειϲ.
Αλ. ἡ γὰρ θεόϲ μ᾽ ἐκέλευε νικῆϲαί ϲ᾽ ἀλαζονείαιϲ.
Πα. ἀλλ᾽ οὐχὶ νικήϲειϲ. ἐγὼ γάρ φημί ϲοι παρέξειν,
ὦ Δῆμε, μηδὲν δρῶντι μιϲθοῦ τρύβλιον ῥοφῆϲαι.
Αλ. ἐγὼ δὲ κυλίχνιόν γέ ϲοι καὶ φάρμακον δίδωμι
τἀν τοῖϲιν ἀντικνημίοιϲ ἑλκύδρια περιαλείφειν.
Πα. ἐγὼ δὲ τὰϲ πολιάϲ γέ ϲοὐκλέγων νέον ποιήϲω.
Αλ. ἰδού, δέχου κέρκον λαγὼ τὠφθαλμιδίω περιψῆν.
Πα. ἀπομυξάμενοϲ, ὦ Δῆμέ, μου πρὸϲ τὴν κεφαλὴν
ἀποψῶ.
Αλ. ἐμοῦ μὲν οὖν.
Πα. ἐμοῦ μὲν οὖν.
ἐγώ ϲε ποιήϲω τριη-
ραρχεῖν, ἀναλίϲκοντα τῶν
ϲαυτοῦ, παλαιὰν ναῦν ἔχοντ᾽,
εἰϲ ἣν ἀναλῶν οὐκ ἐφέ-
ξειϲ οὐδὲ ναυπηγούμενοϲ·
διαμηχανήϲομαί θ᾽ ὅπωϲ
ἂν ἱϲτίον ϲαπρὸν λάβηϲ.
Αλ. ἀνὴρ παφλάζει—παῦε παῦ᾽—
ὑπερζέων· ὑφελκτέον
τῶν δαλίων ἀπαρυϲτέον
τε τῶν ἀπειλῶν ταυτηΐ.
Πα. δώϲειϲ ἐμοὶ καλὴν δίκην,
ἰπούμενοϲ ταῖϲ εἰϲφοραῖϲ.
ἐγὼ γὰρ εἰϲ τοὺϲ πλουϲίουϲ
ϲπεύϲω ϲ᾽ ὅπωϲ ἂν ἐγγραφῇϲ.
Αλ. ἐγὼ δ᾽ ἀπειλήϲω μὲν οὐ-

901 γε R: καὶ L: γε καὶ cett. 902 πανοῦργε RM$^{\gamma\rho}$Γ$^{\gamma\rho}$: πόνηρε cett. 903 ἐκέλευε Blaydes: -ευϲε codd. ἀλαζονείαιϲ Dindorf: -είαϲ R: -είᾳ cett. 906 γε] τε Φ 908 γε RM: om. cett. 910 ἀπομυξάμενοϲ RΓ$^{\gamma\rho}$: ἀπομαξ- cett. 921 δαλίων Bentley, qui etiam δᾳδίων coniecit: δᾴδων codd. plerique, Su. υ 707: ξύλων L 924 εἰϲφοραῖϲ] ϲυμφοραῖϲ Φ, Su. ι 582

δέν, εὔχομαι δέ ϲοι ταδί·
τὸ μὲν τάγηνον τευθίδων
ἐφεϲτάναι ϲίζον, ϲὲ δὲ
γνώμην ἐρεῖν μέλλοντα περὶ
Μιληϲίων καὶ κερδανεῖν
τάλαντον, ἢν κατεργάϲῃ,
ϲπεύδειν ὅπωϲ τῶν τευθίδων
ἐμπλήμενοϲ φθαίηϲ ἔτ' εἰϲ
ἐκκληϲίαν ἐλθών· ἔπει-
τα πρὶν φαγεῖν ἀνὴρ μεθή-
κοι, καὶ ϲὺ τὸ τάλαντον λαβεῖν
βουλόμενοϲ ἐ-
ϲθίων ἐπαποπνιγείηϲ.

Χο. εὖ γε νὴ τὸν Δία καὶ τὸν Ἀπόλλω καὶ τὴν Δήμητρα.

Δημ. κἀμοὶ δοκεῖ, καὶ τἆλλα γ' εἶναι καταφανῶϲ
ἀγαθὸϲ πολίτηϲ, οἷοϲ οὐδείϲ πω χρόνου
ἀνὴρ γεγένηται τοῖϲι πολλοῖϲ τοὐβολοῦ.
ϲὺ δ', ὦ Παφλαγών, φάϲκων φιλεῖν μ' ἐϲκορόδιϲαϲ.
καὶ νῦν ἀπόδοϲ τὸν δακτύλιον, ὡϲ οὐκέτι
ἐμοὶ ταμιεύϲειϲ.

Πα. ἔχε· τοϲοῦτον δ' ἴϲθ' ὅτι,
εἰ μή μ' ἐάϲειϲ ἐπιτροπεύειν, ἕτεροϲ αὖ
ἐμοῦ πανουργότερόϲ τιϲ ἀναφανήϲεται.

Δημ. οὐκ ἔϲθ' ὅπωϲ ὁ δακτύλιόϲ ἐϲθ' οὑτοϲὶ
οὑμόϲ· τὸ γοῦν ϲημεῖον ἕτερον φαίνεται.
ἀλλ' ἦ οὐ καθορῶ;

Αλ. φέρ' ἴδω, τί ϲοι ϲημεῖον ἦν;

Δημ. δημοῦ βοείου θρῖον ἐξωπτημένον.

Αλ. οὐ τοῦτ' ἔνεϲτιν.

Δημ. οὐ τὸ θρῖον; ἀλλὰ τί;

936 ἐλθών VΓ$^{pc}$: ἐλθεῖν cett. 937 ἀνὴρ Lenting: ἀ- codd. 940 ἐπαποπνιγείηϲ Elmsley: ἀπο- codd.: ἐναπο- Bergk: ⟨ἅμ'⟩ ἀπο- Meineke 943 κἀμοὶ RMΓ$^{pc}$L: καί μοι vΦ εἶναι] ἐϲτὶ Meineke 953 ἦ Lenting: ἢ codd. 955 οὐ τοῦτ' ἔνεϲτιν Demo, οὐ τὸ θρῖον Insiciario tribuit Jackson τοῦτ' ἔνεϲτιν RM: τοῦτό γ' ἐϲτίν cett.: τοῦτ' ἔπεϲτιν Blaydes

Αλ. λάρος κεχηνὼς ἐπὶ πέτρας δημηγορῶν.
Δημ. αἰβοῖ τάλας.
Αλ. τί ἐςτιν;
Δημ. ἀπόφερ' ἐκποδών.
οὐ τὸν ἐμὸν εἶχεν, ἀλλὰ τὸν Κλεωνύμου.
παρ' ἐμοῦ δὲ τουτονὶ λαβὼν ταμίευέ μοι.
Πα. μὴ δῆτά πώ γ', ὦ δέςποτ', ἀντιβολῶ ς' ἐγώ,
πρὶν ἄν γε τῶν χρηςμῶν ἀκούςῃς τῶν ἐμῶν.
Αλ. καὶ τῶν ἐμῶν νυν.
Πα. ἀλλ' ἐὰν τούτῳ πίθῃ,
μολγὸν γενέςθαι δεῖ ςε.
Αλ. κἂν γε τουτῳί,
ψωλὸν γενέςθαι δεῖ ςε μέχρι τοῦ μυρρίνου.
Πα. ἀλλ' οἵ γ' ἐμοὶ λέγουςιν ὡς ἄρξαι ςε δεῖ
χώρας ἁπάςης ἐςτεφανωμένον ῥόδοις.
Αλ. οὑμοὶ δέ γ' αὖ λέγουςιν ὡς ἁλουργίδα
ἔχων κατάπαςτον καὶ ςτεφάνην ἐφ' ἅρματος
χρυςοῦ διώξεις Cμικύθην καὶ κύριον.
Δημ. καὶ μὴν ἔνεγκ' αὐτοὺς ἰών, ἵν' οὑτοςὶ
αὐτῶν ἀκούςῃ.
Αλ. πάνυ γε.
Δημ. καὶ cύ νυν φέρε.
Πα. ἰδού.
Αλ. ἰδοὺ νὴ τὸν Δί'· οὐδὲν κωλύει.

Χο. ἥδιςτον φάος ἡμέρας [ςτρ.
ἔςται τοῖςι παροῦςι καὶ
τοῖςιν εἰςαφικνουμένοις,
ἢν Κλέων ἀπόληται.
καίτοι πρεςβυτέρων τινῶν
οἵων ἀργαλεωτάτων
ἐν τῷ δείγματι τῶν δικῶν
ἤκους' ἀντιλεγόντων,

962 νυν] cύ γ' Reisig 969 διώξεις] -ει Elmsley 974 τοῖςι] τοῖς R, Su. φ 88: τοῖς τε Cobet καὶ τοῖςιν] πᾶςιν καὶ (τοῖς ἀφ-) Dobree 975 εἰςαφικνουμένοις Cobet: ἀφικνουμένοιςιν codd.

ὡϲ εἰ μὴ 'γένεθ' οὗτοϲ ἐν
τῇ πόλει μέγαϲ, οὐκ ἂν ἤ-
ϲτην ϲκεύει δύο χρηϲίμω,
δοῖδυξ οὐδὲ τορύνη.

ἀλλὰ καὶ τόδ' ἔγωγε θαυ- [ἀντ.
μάζω τῆϲ ὑομουϲίαϲ
αὐτοῦ· φαϲὶ γὰρ αὐτὸν οἱ
παῖδεϲ οἳ ξυνεφοίτων,
τὴν Δωριϲτὶ μόνην ἂν ἁρ-
μόττεϲθαι θαμὰ τὴν λύραν,
ἄλλην δ' οὐκ ἐθέλειν μαθεῖν·
κᾆτα τὸν κιθαριϲτὴν
ὀργιϲθέντ' ἀπάγειν κελεύ-
ειν, "ὡϲ ἁρμονίαν ὁ παῖϲ
οὗτοϲ οὐ δύναται μαθεῖν
ἢν μὴ Δωροδοκιϲτί".

Πα. ἰδού, θέαϲαι· κοὐχ ἅπανταϲ ἐκφέρω.
Αλ. οἴμ' ὡϲ χεϲείω· κοὐχ ἅπανταϲ ἐκφέρω.
Δημ. ταυτὶ τί ἐϲτι;
Πα. λόγια.
Δημ. πάντ';
Πα. ἐθαύμαϲαϲ;
καὶ νὴ Δί' ἔτι γέ μοὔϲτι κιβωτὸϲ πλέα.
Αλ. ἐμοὶ δ' ὑπερῷον καὶ ξυνοικία δύο.
Δημ. φέρ' ἴδω, τίνοϲ γάρ εἰϲιν οἱ χρηϲμοί ποτε;
Πα. οὑμοὶ μέν εἰϲι Βάκιδοϲ.
Δημ. οἱ δὲ ϲοὶ τίνοϲ;
Αλ. Γλάνιδοϲ, ἀδελφοῦ τοῦ Βάκιδοϲ γεραιτέρου.
Δημ. εἰϲὶν δὲ περὶ τοῦ;
Πα. περὶ Ἀθηνῶν, περὶ Πύλου,

981 'γένεθ' sch. Γ, Scaliger: γένοιθ' codd., Su. δ 1560 983 ϲκεύει van Leeuwen: ϲκεύη codd. 989 ἂν L: om. cett. 1001 δύο sch.: δύω codd. 1005 Ἀθηνῶν VΦL: Ἀθηναίων R$Γ^{pc}$

*περὶ ϲοῦ, περὶ ἐμοῦ, περὶ ἁπάντων πραγμάτων.*
Δημ. *οἱ ϲοὶ δὲ περὶ τοῦ;*
Αλ. *περὶ Ἀθηνῶν, περὶ φακῆϲ,*
*περὶ Λακεδαιμονίων, περὶ ϲκόμβρων νέων,*
*περὶ τῶν μετρούντων τἄλφιτ' ἐν ἀγορᾷ κακῶϲ,*
*περὶ ϲοῦ, περὶ ἐμοῦ. τὸ πέοϲ οὑτοϲὶ δάκοι.*
Δημ. *ἄγε νυν ὅπωϲ αὐτοὺϲ ἀναγνώϲεϲθέ μοι,*
*καὶ τὸν περὶ ἐμοῦ 'κεῖνον ᾧπερ ἥδομαι,*
*ὡϲ ἐν νεφέλῃϲιν αἰετὸϲ γενήϲομαι.*
Πα. *ἄκουε δή νυν καὶ πρόϲεχε τὸν νοῦν ἐμοί.*
*"φράζευ, Ἐρεχθεΐδη, λογίων ὁδόν, ἥν ϲοι Ἀπόλλων*
*ἴαχεν ἐξ ἀδύτοιο διὰ τριπόδων ἐριτίμων.*
*ϲῴζεϲθαί ϲ' ἐκέλευ' ἱερὸν κύνα καρχαρόδοντα,*
*ὃϲ πρὸ ϲέθεν χάϲκων καὶ ὑπὲρ ϲοῦ δεινὰ κεκραγὼϲ*
*ϲοὶ μιϲθὸν ποριεῖ· κἂν μὴ δρᾷ ταῦτ', ἀπολεῖται.*
*πολλοὶ γὰρ μίϲει ϲφε κατακρώζουϲι κολοιοί."*
Δημ. *ταυτὶ μὰ τὴν Δήμητρ' ἐγὼ οὐκ οἶδ' ὅ τι λέγει.*
*τί γάρ ἐϲτ' Ἐρεχθεῖ καὶ κολοιοῖϲ καὶ κυνί;*
Πα. *ἐγὼ μέν εἰμ' ὁ κύων· πρὸ ϲοῦ γὰρ ἀπύω·*
*ϲοὶ δ' εἶπε ϲῴζεϲθαί μ' ὁ Φοῖβοϲ τὸν κύνα.*
Αλ. *οὐ τοῦτό φηϲ' ὁ χρηϲμόϲ, ἀλλ' ὁ κύων ὁδὶ*
*ὥϲπερ θύραϲ ϲου τῶν λογίων παρεϲθίει.*
*ἐμοὶ γάρ ἐϲτ' ὀρθῶϲ περὶ τούτου τοῦ κυνόϲ.*
Δημ. *λέγε νυν· ἐγὼ δὲ πρῶτα λήψομαι λίθον,*
*ἵνα μή μ' ὁ χρηϲμὸϲ ὁ περὶ τοῦ κυνὸϲ δάκῃ.*
Αλ. *"φράζευ, Ἐρεχθεΐδη, κύνα Κέρβερον*
*ἀνδραποδιϲτήν,*

1006 *ἁπάντων* RM: *πάντων* cett. 1007 *Ἀθηνῶν* E$^{pc}$ML: *Ἀθηναίων* cett. 1008 ⟨*τῶν*⟩ *Λακεδαιμονίων* Blaydes 1010 ante *τὸ* iterant e v. 1006 *περὶ ἁπάντων πραγμάτων* vL 1013 *νεφέλῃϲιν*] *-αιϲιν* R 1017 *ἐκέλευ'* P20, Blaydes: *-ευϲ'* codd. 1018 *πρὸ ϲέθεν* Porson, cf. sch.: *πρόϲθε(ν)* codd. *χάϲκων* RMΓ$^{pc}$: *λάϲκων* V$^{pc}$Γ$^{ac}$L, sch.: *δάκνων* vΦ 1019 *δρᾷ*] *δρᾷϲ* Bothe 1020 *κατακρώζουϲι* RΦL: *-κράζουϲι* VM 1021 *ἐγὼ*] *ἔγωγ'* RM$^{pc}$ 1023 *μὲν*] *γὰρ* R 1026 *θύραϲ*] *ἀθάρηϲ* Hermann 1029 in margine *τὸ πέοϲ οὑτοϲὶ δάκῃ* primitus scripsit V, deinde delevit (cf. 1010)

| | |
|---|---|
| | ὃϲ κέρκῳ ϲαίνων ϲ', ὁπόταν δειπνῇϲ, ἐπιτηρῶν |
| | ἐξέδεταί ϲου τοὔψον, ὅταν ϲύ ποι ἄλλοϲε χάϲκῃϲ· |
| | εἰϲφοιτῶν τ' εἰϲ τοὐπτάνιον λήϲει ϲε κυνηδὸν |
| | νύκτωρ τὰϲ λοπάδαϲ καὶ τὰϲ νήϲουϲ διαλείχων." |
| Δημ. | νὴ τὸν Ποϲειδῶ πολύ γ' ἄμεινον, ὦ Γλάνι. |
| Πα. | ὦ τᾶν, ἄκουϲον, εἶτα διάκρινον τόδε· |
| | "ἔϲτι γυνή, τέξει δὲ λέονθ' ἱεραῖϲ ἐν Ἀθήναιϲ, |
| | ὃϲ περὶ τοῦ δήμου πολλοῖϲ κώνωψι μαχεῖται |
| | ὥϲ τε περὶ ϲκύμνοιϲι βεβηκώϲ· τὸν ϲὺ φύλαξαι, |
| | τεῖχοϲ ποιήϲαϲ ξύλινον πύργουϲ τε ϲιδηροῦϲ." |
| | ταῦτ' οἶϲθ' ὅ τι λέγει; |
| Δημ. | μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ. |
| Πα. | ἔφραζεν ὁ θεόϲ ϲοι ϲαφῶϲ ϲῴζειν ἐμέ· |
| | ἐγὼ γὰρ ἀντὶ τοῦ λέοντόϲ εἰμί ϲοι. |
| Δημ. | καὶ πῶϲ μ' ἐλελήθειϲ Ἀντιλέων γεγενημένοϲ; |
| Αλ. | ἓν οὐκ ἀναδιδάϲκει ϲε τῶν λογίων ἑκών, |
| | ὃ μόνον ϲιδήρου τεῖχόϲ ἐϲτι καὶ ξύλων, |
| | ἐν ᾧ ϲε ϲῴζειν τόνδ' ἐκέλευ' ὁ Λοξίαϲ. |
| Δημ. | πῶϲ δῆτα τοῦτ' ἔφραζεν ὁ θεόϲ; |
| Αλ. | τουτονὶ |
| | δῆϲαί ϲ' ἐκέλευ' ἐν πεντεϲυρίγγῳ ξύλῳ. |
| Δημ. | ταυτὶ τελεῖϲθαι τὰ λόγι' ἤδη μοι δοκεῖ. |
| Πα. | μὴ πείθου· φθονεραὶ γὰρ ἐπικρώζουϲι κορῶναι. |
| | "ἀλλ' ἱέρακα φίλει μεμνημένοϲ ἐν φρεϲίν, ὅϲ ϲοι |
| | ἤγαγε ϲυνδήϲαϲ Λακεδαιμονίων κορακίνουϲ." |

1031 ϲ' Φ: om. cett. 1032 ἐξέδεται] ἐξέλεται RM ποι Cobet, Blaydes: που codd., Su. ο 728 1033 τ' R: δ' cett. 1036 τόδε J. H. Voss, Wieland: τότε codd.: τοδί Blaydes: Δημ. τὸ τί; Bamberg 1037 δὲ] τε R 1039 τὸν RMΓ$^{pc}$: ὃ vΦL φύλαξαι RMV$^{pc}$Γ$^{pc}$L: φυλάξαι V: φύλαϲϲε Φ 1042 ἔφραζεν RM: ἔφραϲεν cett. 1045 ἀναδιδάϲκει] -διδάξει Richards 1046 ὃ μόνον] ὅ τι τὸ Cobet, Mehler ϲιδήρου P64$^{ac}$, Bergk: ϲιδηροῦν P64$^{pc}$, codd. τεῖχοϲ post ἐϲτι transp. RM ξύλων RM$^{ac}$V$^{pc}$AΘL: ξύλον Γ$^{ac}$: ξύλινον V$^{pc}$EΓ$^{pc}$Mγρ, lm. sch. 1047 ἐκέλευ' Blaydes: -ευϲ' codd. 1049 ἐκέλευ' P64, codd. plerique: -ευϲ' RΓ ἐν Porson ex *Et. Magn.* 346.18: om. P64 et codd. 1050 ταυτὶ] ταύτῃ Dobree 1052 ὅϲ] ὥϲ Bergk

Αλ. τοῦτό γέ τοι Παφλαγὼν παρεκινδύνευϲε μεθυϲθείϲ.
"Κεκροπίδη κακόβουλε, τί τοῦθ' ἡγεῖ μέγα
τοὔργον;
καί κε γυνὴ φέροι ἄχθοϲ, ἐπεί κεν ἀνὴρ ἀναθείη·
ἀλλ' οὐκ ἂν μαχέϲαιτο· χέϲαιτο γάρ, εἰ μαχέϲαιτο."
Πα. ἀλλὰ τόδε φράϲϲαι, πρὸ Πύλου Πύλον ἥν ϲοι ἔφραζεν.
"ἔϲτι Πύλοϲ πρὸ Πύλοιο—"
Δημ. τί τοῦτο λέγει, "πρὸ Πύλοιο";
Αλ. τὰϲ πυέλουϲ φηϲὶν καταλήψεϲθ' ἐν βαλανείῳ.
Δημ. ἐγὼ δ' ἄλουτοϲ τήμερον γενήϲομαι;
Αλ. οὗτοϲ γὰρ ἡμῶν τὰϲ πυέλουϲ ὑφαρπάϲει.
ἀλλ' οὑτοϲὶ γάρ ἐϲτι περὶ τοῦ ναυτικοῦ
ὁ χρηϲμόϲ, ᾧ ϲε δεῖ προϲέχειν τὸν νοῦν πάνυ.
Δημ. προϲέχω· ϲὺ δ' ἀναγίγνωϲκε, τοῖϲ ναύταιϲί μου
ὅπωϲ ὁ μιϲθὸϲ πρῶτον ἀποδοθήϲεται.
Αλ. "Αἰγεΐδη, φράϲϲαι κυναλώπεκα, μή ϲε δολώϲῃ,
λαίθαργον, ταχύπουν, δολίαν κερδώ, πολύιδριν."
οἶϲθ' ὅ τι ἐϲτὶν τοῦτο;
Δημ. Φιλόϲτρατοϲ ἡ κυναλώπηξ.
Αλ. οὐ τοῦτό φηϲιν, ἀλλὰ ναῦϲ ἑκάϲτοθ' ἃϲ
αἰτεῖ ταχείαϲ ἀργυρολόγουϲ οὑτοϲί,
ταύταϲ ἀπαυδᾷ μὴ διδόναι ϲ' ὁ Λοξίαϲ.
Δημ. πῶϲ δὴ τριήρηϲ ἐϲτὶ κυναλώπηξ;
Αλ. ὅπωϲ;
ὅτι ἡ τριήρηϲ ἐϲτὶ χὠ κύων ταχύ.
Δημ. πῶϲ οὖν ἀλώπηξ προϲετέθη πρὸϲ τῷ κυνί;
Αλ. ἀλωπεκίοιϲι τοὺϲ ϲτρατιώταϲ ᾔκαϲεν,

1054 γε] δὲ R 1056 κεν] νιν Blaydes ἀναθείῃ] καταθείῃ Φ 1057 χέϲαιτο γάρ] χέϲαι γὰρ ἂν Dobree: χέϲαιτό γ' ἂν van Herwerden 1058 φράϲϲαι P20, Dindorf: φράϲαι RM$\Gamma^{pc}$: φράζεν cett. 1059 πρὸ] τὸ R, et P4 ut videtur 1062 οὗτοϲ RM: οὑτοϲὶ Εγρ, $\Gamma^{2}$: αὐτὸϲ cett. ὑφαρπάϲει Bothe: ἀφήρπαϲεν codd.: ὑφήρπαϲεν Meineke v. quam exhibent etiam P20 et P4 del. Kappeyne van de Coppello 1070 ἑκάϲτοθ' ἃϲ P4, Blaydes: ἑκάϲτοτε codd. 1074 τριήρηϲ ⟨τ'⟩ Meineke

ὁτιὴ βότρυϲ τρώγουϲιν ἐν τοῖϲ χωρίοιϲ.
Δημ. εἶέν.
τούτοιϲ ὁ μιϲθὸϲ τοῖϲ ἀλωπεκίοιϲι ποῦ;
Αλ. ἐγὼ ποριῶ, καὶ τοῦτον ἡμερῶν τριῶν.
"ἀλλ' ἔτι τόνδ' ἐπάκουϲον, ὃν εἶπέ ϲοι ἐξαλέαϲθαι
χρηϲμὸν Λητοΐδηϲ Κυλλήνην, μή ϲε δολώϲῃ."
Δημ. ποίαν Κυλλήνην;
Αλ. τὴν τούτου χεῖρ' ἐποίηϲεν
Κυλλήνην ὀρθῶϲ, ὁτιὴ φηϲ' "ἔμβαλε κυλλῇ."
Πα. οὐκ ὀρθῶϲ φράζει· τὴν Κυλλήνην γὰρ ὁ Φοῖβοϲ
εἰϲ τὴν χεῖρ' ὀρθῶϲ ᾐνίξατο τὴν Διοπείθουϲ.
ἀλλὰ γάρ ἐϲτιν ἐμοὶ χρηϲμὸϲ περὶ ϲοῦ πτερυγωτόϲ,
αἰετὸϲ ὡϲ γίγνει καὶ πάϲηϲ γῆϲ βαϲιλεύειϲ.
Αλ. καὶ γὰρ ἐμοί· καὶ γῆϲ καὶ τῆϲ Ἐρυθρᾶϲ γε θαλάϲϲηϲ,
χὤτι γ' ἐν Ἐκβατάνοιϲ δικάϲειϲ, λείχων ἐπίπαϲτα.
Πα. ἀλλ' ἐγὼ εἶδον ὄναρ, καί μοὐδόκει ἡ θεὸϲ αὐτὴ
τοῦ δήμου καταχεῖν ἀρυταίνῃ πλουθυγίειαν.
Αλ. νὴ Δία καὶ γὰρ ἐγώ· καί μοὐδόκει ἡ θεὸϲ αὐτὴ
ἐκ πόλεωϲ ἐλθεῖν καὶ γλαῦξ αὐτῇ 'πικαθῆϲθαι·
εἶτα καταϲπένδειν κατὰ τῆϲ κεφαλῆϲ ἀρυβάλλῳ
ἀμβροϲίαν κατὰ ϲοῦ, κατὰ τούτου δὲ
ϲκοροδάλμην.
Δημ. ἰοὺ ἰού.
οὐκ ἦν ἄρ' οὐδεὶϲ τοῦ Γλάνιδοϲ ϲοφώτεροϲ.
καὶ νῦν ἐμαυτὸν ἐπιτρέπω ϲοι τουτονὶ
γεροντανωγεῖν κἀναπαιδεύειν πάλιν.
Πα. μήπω γ', ἱκετεύω ϲ', ἀλλ' ἀνάμεινον, ὡϲ ἐγὼ
κριθὰϲ ποριῶ ϲοι καὶ βίον καθ' ἡμέραν.
Δημ. οὐκ ἀνέχομαι κριθῶν ἀκούων· πολλάκιϲ
ἐξηπατήθην ὑπό τε ϲοῦ καὶ Θουφάνουϲ.

1078 εἶέν sic R: εἶεν cett. τούτοιϲ ⟨δ'⟩ Blaydes 1080 τόνδ' ἐπάκουϲον] τόνδε γ' ἄκουϲον Blaydes 1084 φράζει R: -ειϲ cett. 1087 βαϲιλεύειϲ R: -εύϲειϲ cett. 1088 ἐμοί· καί] ἔμοιγ' ὡϲ Blaydes γε R$Γ^{pc}$: τε cett. 1090, 1092 μοὐδόκει RΓΘ: μοι δοκεῖ fere cett. 1100 ἐγὼ L: ἔγωγε cett. 1102 οὐκ] οὐδ' V

Πα. ἀλλ’ ἄλφιτ’ ἤδη ϲοι πποριῶ ’ϲκευαϲμένα.
Αλ. ἐγὼ δὲ μαζίϲκαϲ γε διαμεμαγμέναϲ
καὶ τοὔψον ὀπτόν· μηδὲν ἄλλ’ εἰ μὴ ’ϲθιε.
Δημ. ἀνύϲατέ νυν ὅ τι περ ποιήϲεθ’· ὡϲ ἐγώ,
ὁπότεροϲ ἂν ϲφῷν εὖ με μᾶλλον ἂν ποιῇ,
τούτῳ παραδώϲω τῆϲ Πυκνὸϲ τὰϲ ἡνίαϲ.
Πα. τρέχοιμ’ ἂν εἴϲω πρότεροϲ.
Αλ. οὐ δῆτ’, ἀλλ’ ἐγώ.

Χο. ὦ Δῆμε, καλήν γ’ ἔχειϲ [ϲτρ.
ἀρχήν, ὅτε πάντεϲ ἄν-
θρωποι δεδίαϲί ϲ’ ὥϲ-
περ ἄνδρα τύραννον.
ἀλλ’ εὐπαράγωγοϲ εἶ,
θωπευόμενόϲ τε χαί-
ρειϲ κἀξαπατώμενοϲ,
πρὸϲ τόν τε λέγοντ’ ἀεὶ
κέχηναϲ· ὁ νοῦϲ δέ ϲου
παρὼν ἀποδημεῖ.
Δημ. νοῦϲ οὐκ ἔνι ταῖϲ κόμαιϲ
ὑμῶν, ὅτε μ’ οὐ φρονεῖν
νομίζετ’· ἐγὼ δ’ ἑκὼν
ταῦτ’ ἠλιθιάζω.
αὐτόϲ τε γὰρ ἥδομαι
βρύλλων τὸ καθ’ ἡμέραν,
κλέπτοντά τε βούλομαι
τρέφειν ἕνα προϲτάτην·
τοῦτον δ’, ὅταν ᾖ πλέωϲ,
ἄραϲ ἐπάταξα.

Χο. οὕτω μὲν ἄρ’ εὖ ποιεῖϲ, [ἀντ.

1108 εὖ . . . ἂν] νῦν . . . εὖ Elmsley: εὖ . . . νῦν Kock 1110 εἴϲω RM$\Gamma^{pc}$: ἤδη cett. 1118 τόν τε R, Su. ε 3636: τε τὸν cett. 1119 δέ] τε Φ 1129 δ’ post ὅταν transp. R 1131 οὕτω P60, AΘL: χοὔτω cett. ἄρ’ Meineke: ἂν P60, codd., Su. π 3154 ποιεῖϲ Vp3: ποιοῖϲ vel ποιῇϲ cett., Su.

καί coι πυκνότης ἔνεςτ'
ἐν τῷ τρόπῳ, ὡς λέγεις,
τούτῳ πάνυ πολλή,
εἰ τούςδ' ἐπίτηδες ὥς-
περ δημοςίους τρέφεις
ἐν τῇ Πυκνί, κᾆθ' ὅταν
μή coι τύχῃ ὄψον ὄν,
τούτων ὃς ἂν ᾖ παχύς,
θύςας ἐπιδειπνεῖς.

Δημ. ςκέψαςθε δέ μ', εἰ ςοφῶς
αὐτοὺς περιέρχομαι,
τοὺς οἰομένους φρονεῖν
κἄμ' ἐξαπατύλλειν.
τηρῶ γὰρ ἑκάςτοτ' αὐ-
τούς, οὐδὲ δοκῶν ὁρᾶν,
κλέπτοντας· ἔπειτ' ἀναγ-
κάζω πάλιν ἐξεμεῖν
ἅττ' ἂν κεκλόφωςί μου,
κημὸν καταμηλῶν.

Πα. ἄπαγ' ἐς μακαρίαν ἐκποδών.

Αλ. ςύ γ', ὦ φθόρε.

Πα. ὦ Δῆμ', ἐγὼ μέντοι παρεςκευαςμένος
τρίπαλαι κάθημαι βουλόμενός ς' εὐεργετεῖν.

Αλ. ἐγὼ δὲ δεκάπαλαί γε καὶ δωδεκάπαλαι
καὶ χιλιόπαλαι καὶ προπαλαιπαλαίπαλαι.

Δημ. ἐγὼ δὲ προςδοκῶν γε τριςμυριόπαλαι
βδελύττομαί ςφω καὶ προπαλαιπαλαίπαλαι.

Αλ. οἶςθ' οὖν ὃ δρᾶςον;

Δημ. εἰ δὲ μή, φράςεις γε ςύ.

1132 καί Bergler, Reiske: εἴ P 60, codd., Su. 1134 τούτῳ] οὕτω Dobree: τῷ ςῷ Blaydes 1147 ἀναγκάζω] -άςω RM[ac] 1150 κημὸν] κημῷ Blaydes 1151 ἄπαγ'] ἔρρ' v. l. ap. sch. 1153 ς' om. R 1154 γε om. R. 1155, 1157 προπαλαιπαλαίπαλαι Dindorf: πρόπαλαι πάλαι πάλαι codd., Su. τ 1000 1158 εἰ δὲ μή R: εἴ γε μή cett.: εἴςομ' ἤν Porson φράςεις] -ῃς VΓ, Porson

Αλ. ἄφες ἀπὸ βαλβίδων ἐμέ τε καὶ τουτονί,
ἵνα ϲ' εὖ ποιῶμεν ἐξ ἴϲου.
Δημ. δρᾶν ταῦτα χρή.
ἄπιτον.
Πα. καὶ Αλ. ἰδού.
Δημ. θέοιτ' ἄν.
Αλ. ὑποθεῖν οὐκ ἐῶ.
Δημ. ἀλλ' ἦ μεγάλωϲ εὐδαιμονήϲω τήμερον
ὑπὸ τῶν ἐραϲτῶν· νὴ Δί' ἦ 'γὼ θρύψομαι.
Πα. ὁρᾷϲ; ἐγώ ϲοι πρότεροϲ ἐκφέρω δίφρον.
Αλ. ἀλλ' οὐ τράπεζαν, ἀλλ' ἐγὼ προτεραίτεροϲ.
Πα. ἰδού, φέρω ϲοι τήνδε μαζίϲκην ἐγὼ
ἐκ τῶν ὀλῶν τῶν ἐκ Πύλου μεμαγμένην.
Αλ. ἐγὼ δὲ μυϲτίλαϲ μεμυϲτιλημένας
ὑπὸ τῆϲ θεοῦ τῇ χειρὶ τἠλεφαντίνῃ.
Δημ. ὡϲ μέγαν ἄρ' εἶχεϲ, ὦ πότνια, τὸν δάκτυλον.
Πα. ἐγὼ δ' ἔτνοϲ γε πίϲινον εὔχρων καὶ καλόν·
ἐτόρυνε δ' αὔθ' ἡ Παλλὰϲ ἡ Πυλαιμάχοϲ.
Αλ. ὦ Δῆμ', ἐναργῶϲ ἡ θεόϲ ϲ' ἐπιϲκοπεῖ,
καὶ νῦν ὑπερέχει ϲου χύτραν ζωμοῦ πλέαν.
Δημ. οἴει γὰρ οἰκεῖϲθ' ἂν ἔτι τήνδε τὴν πόλιν,
εἰ μὴ φανερῶϲ ἡμῶν ὑπερεῖχε τὴν χύτραν;
Πα. τουτὶ τέμαχόϲ ϲοὔδωκεν ἡ Φοβεϲιϲτράτη.
Αλ. ἡ δ' Ὀβριμοπάτρα γ' ἐφθὸν ἐκ ζωμοῦ κρέαϲ
καὶ χόλικοϲ ἠνύϲτρου τε καὶ γαϲτρὸϲ τόμον.
Δημ. καλῶϲ γ' ἐποίηϲε τοῦ πέπλου μεμνημένη.
Πα. ἡ Γοργολόφα ϲ' ἐκέλευε τουτουὶ φαγεῖν
ἐλατῆροϲ, ἵνα τὰϲ ναῦϲ ἐλαύνωμεν καλῶϲ.
Αλ. λαβὲ καὶ ταδί νυν.
Δημ. καὶ τί τούτοιϲ χρήϲομαι

1161 personarum vices parum certae 1162–3 sic interpunxit Lowe 1166 φέρω] 'κφέρω Blaydes 1168 δέ ⟨γε⟩ Cobet 1172 αὔθ' ἡ] αὐτὴ Bothe 1177 ϲοὔδωκεν Reisig: ϲοὶ δῶκεν codd. Φοβεϲιϲτράτη] Φοβεϲτράτη scholio fretus Dindorf 1179 χόλικοϲ] -αϲ Blaydes 1181 ἐκέλευε] -ευϲε V

τοῖc ἐντέροιc;
Αλ. ἐπίτηδεc αὔτ' ἔπεμψέ cοι
εἰc τὰc τριήρειc ἐντερόνειαν ἡ θεόc·
ἐπιcκοπεῖ γὰρ περιφανῶc τὸ ναυτικόν.
ἔχε καὶ πιεῖν κεκραμένον τρία καὶ δύο.
Δημ. ὡc ἡδύc, ὦ Ζεῦ, καὶ τὰ τρία φέρων καλῶc.
Αλ. ἡ Τριτογενὴc γὰρ αὐτὸν ἐνετριτώνιcεν.
Πα. λαβέ νυν πλακοῦντοc πίονοc παρ' ἐμοῦ τόμον.
Αλ. παρ' ἐμοῦ δ' ὅλον γε τὸν πλακοῦντα τουτονί.
Πα. ἀλλ' οὐ λαγῷ' ἕξειc ὁπόθεν δῷc, ἀλλ' ἐγώ.
Αλ. οἴμοι, πόθεν λαγῷά μοι γενήcεται;
ὦ θυμέ, νυνὶ βωμολόχον ἔξευρέ τι.
Πα. ὁρᾷc τάδ', ὦ κακόδαιμον;
Αλ. ὀλίγον μοι μέλει·
ἐκεινοιὶ γὰρ ὡc ἔμ' ἔρχονταί τινεc
πρέcβειc ἔχοντεc ἀργυρίου βαλλάντια.
Πα. ποῦ ποῦ;
Αλ. τί δὲ cοὶ τοῦτ'; οὐκ ἐάcειc τοὺc ξένουc;
ὦ Δημίδιον, ὁρᾷc τὰ λαγῷ' ἅ cοι φέρω;
Πα. οἴμοι τάλαc, ἀδίκωc γε τἄμ' ὑφήρπαcαc.
Αλ. νὴ τὸν Ποcειδῶ, καὶ cὺ γὰρ τοὺc ἐκ Πύλου.
Δημ. εἴπ', ἀντιβολῶ, πῶc ἐπενόηcαc ἁρπάcαι;
Αλ. τὸ μὲν νόημα τῆc θεοῦ, τὸ δὲ κλέμμ' ἐμόν.
Πα. ἐγὼ δ' ἐκινδύνευc', ἐγὼ δ' ὤπτηcά γε.
Δημ. ἄπιθ'· οὐ γὰρ ἀλλὰ τοῦ παραθέντοc ἡ χάριc.
Πα. οἴμοι κακοδαίμων, ὑπεραναιδευθήcομαι.
Αλ. τί οὐ διακρίνειc, Δῆμ', ὁπότερόc ἐcτι νῷν
ἀνὴρ ἀμείνων περὶ cὲ καὶ τὴν γαcτέρα;
Δημ. τῷ δῆτ' ἂν ὑμᾶc χρηcάμενοc τεκμηρίῳ

1187 καὶ πιεῖν] κἀκπιεῖν V 1195 τάδ'] τόδ' Φ
1196 ἐκεινοιὶ Elmsley: ἐκεῖνοι RvΦ: v. refinxit L sunt qui τίνεc Paphlagoni tribuant 1204 Insiciario primam versus partem tribuit Lenting, totum v. Paphlagoni restituit Bothe 1206 ὑπεραναιδευθήcομαι Stephanus: -εcθήcομαι codd., Su. υ 225: -ιcθήcομαι Bekker, *Anecdota* 80.30
1207 Δῆμ', ὁπότερόc] δῆθ' ὁπότερόc Kock: πότεροc, ὦ Δῆμ' Richards

δόξαιμι κρίνειν τοῖc θεαταῖcιν cοφῶc;
Αλ. ἐγὼ φράcω cοι. τὴν ἐμὴν κίcτην ἰὼν
ξύλλαβε cιωπῇ καὶ βαcάνιcον ἅττ' ἔνι,
καὶ τὴν Παφλαγόνοc· κἀμέλει κρινεῖc καλῶc.
Δημ. φέρ' ἴδω, τί οὖν ἔνεcτιν;
Αλ. οὐχ ὁρᾷc κενήν,
ὦ παππίδιον; ἅπαντα γάρ cοι παρεφόρουν.
Δημ. αὕτη μὲν ἡ κίcτη τὰ τοῦ δήμου φρονεῖ.
Αλ. βάδιζέ νυν καὶ δεῦρο πρὸc τὴν Παφλαγόνοc.
ὁρᾷc ⟨τάδ';⟩
Δημ. οἴμοι, τῶν ἀγαθῶν ὅcων πλέα.
ὅcον τὸ χρῆμα τοῦ πλακοῦντοc ἀπέθετο·
ἐμοὶ δ' ἔδωκεν ἀποτεμὼν τυννουτονί.
Αλ. τοιαῦτα μέντοι καὶ πρότερόν c' ἠργάζετο·
cοὶ μὲν προcεδίδου μικρὸν ὧν ἐλάμβανεν,
αὐτὸc δ' ἑαυτῷ παρετίθει τὰ μείζονα.
Δημ. ὦ μιαρέ, κλέπτων δή με ταῦτ' ἐξηπάταc;
ἐγὼ δέ τυ ἐcτεφάνιξα κἠδωρηcάμαν.
Πα. ἐγὼ δ' ἔκλεπτον ἐπ' ἀγαθῷ γε τῇ πόλει.
Δημ. κατάθου ταχέωc τὸν cτέφανον, ἵν' ἐγὼ τουτῳὶ
αὐτὸν περιθῶ.
Αλ. κατάθου ταχέωc, μαcτιγία.
Πα. οὐ δῆτ', ἐπεί μοι χρηcμόc ἐcτι Πυθικὸc
φράζων ὑφ' οὗ δεῖ μ' ἀνδρὸc ἡττᾶcθαι μόνου.
Αλ. τοὐμόν γε φράζων ὄνομα καὶ λίαν caφῶc.
Πα. καὶ μήν c' ἐλέγξαι βούλομαι τεκμηρίῳ,
εἴ τι ξυνοίcειc τοῦ θεοῦ τοῖc θεcφάτοιc.

1210 θεαταῖcιν RL: -cι cett. 1214 οὐχ RM: ἀλλ' οὐχ cett. 1217 νυν Reiske: γοῦν codd. 1218 suppl. Gelenius 1221 c' RMΓ$\Theta^{pc}$: om. VAL ἠργάζετο R: εἰρ- cett. 1225 ἐγὼ] ἐγὼν Blaydes τυ v$\Gamma^{2}$L: τοι RMΦ: τ' Elmsley κἠδωρηcάμαν Zacher: κἀδωρηcάμαν M: κἀδωρηcάμην cett. 1230 δεῖ μ' ἀνδρὸc van Herwerden: δεήcει μ' RMvΓL: δεήcειν ΑΘ: χρεὼν ἔμ' Dindorf: deleto φράζων temptavit Hermann ὑφ' οὗ δεήcει μ' ἀνδρὸc 1232 τεκμηρίῳ] -ίοιc van Herwerden

καί ϲου τοϲοῦτο πρῶτον ἐκπειράϲομαι·
παῖϲ ὢν ἐφοίταϲ εἰϲ τίνοϲ διδαϲκάλου;
Αλ. ἐν ταῖϲιν εὕϲτραιϲ κονδύλοιϲ ἡρμοττόμην.
Πα. πῶϲ εἶπαϲ; ὥϲ μοὐ χρηϲμὸϲ ἅπτεται φρενῶν.
εἶέν.
ἐν παιδοτρίβου δὲ τίνα πάλην ἐμάνθανεϲ;
Αλ. κλέπτων ἐπιορκεῖν καὶ βλέπειν ἐναντία·
Πα. ὦ Φοῖβ' Ἄπολλον Λύκιε, τί ποτέ μ' ἐργάϲει;
τέχνην δὲ τίνα ποτ' εἶχεϲ ἐξανδρούμενοϲ;
Αλ. ἠλλαντοπώλουν καί τι καὶ βινεϲκόμην.
Πα. οἴμοι κακοδαίμων· οὐκέτ' οὐδέν εἰμ' ἐγώ.
λεπτή τιϲ ἐλπίϲ ἐϲτ' ἐφ' ἧϲ ὀχούμεθα.
καί μοι τοϲοῦτον εἰπέ· πότερον ἐν ἀγορᾷ
ἠλλαντοπώλειϲ ἐτεὸν ἢ 'πὶ ταῖϲ πύλαιϲ;
Αλ. ἐπὶ ταῖϲ πύλαιϲιν, οὗ τὸ τάριχοϲ ὤνιον.
Πα. οἴμοι, πέπρακται τοῦ θεοῦ τὸ θέϲφατον.
κυλίνδετ' εἴϲω τόνδε τὸν δυϲδαίμονα.
ὦ ϲτέφανε, χαίρων ἄπιθι· καί ϲ' ἄκων ἐγὼ
λείπω· ϲὲ δ' ἄλλοϲ τιϲ λαβὼν κεκτήϲεται,
κλέπτηϲ μὲν οὐκ ἂν μᾶλλον, εὐτυχὴϲ δ' ἴϲωϲ.
Αλ. Ἑλλάνιε Ζεῦ, ϲὸν τὸ νικητήριον.
Δη. ὦ χαῖρε, καλλίνικε, καὶ μέμνηϲ' ὅτι
ἀνὴρ γεγένηϲαι δι' ἐμέ· καί ϲ' αἰτῶ βραχύ,
ὅπωϲ ἔϲομαί ϲοι Φᾶνοϲ, ὑπογραφεὺϲ δικῶν.
Δημ. ἐμοὶ δέ γ' ὅ τι ϲοι τοὔνομ' εἴπ'.
Αλ. Ἀγοράκριτοϲ·
ἐν τἀγορᾷ γὰρ κρινόμενοϲ ἐβοϲκόμην.
Δημ. Ἀγορακρίτῳ τοίνυν ἐμαυτὸν ἐπιτρέπω

1237 μοὐ (i.e. μοι ὁ) Dindorf: μ' οὐ V: μου cett. 1238 εἶέν sic VL: om. cett. 1239 κλέπτων] -ειν Φ ἐναντία R: -ίον cett. 1242 καί τι καὶ Hermann: Πα. καὶ τί; Ἀλ. καὶ codd. καὶ βινεϲκόμην] κἀβ- M 1244 τιϲ] δ' ἔτ' van Herwerden 1249 post κυλίνδετε add. μ' R 1250 καί] κεἴ Bergk 1252 οὐκ ἂν] οὐχὶ Su. κ 1738, ο 983 1254–6 coryphaeo tribuunt quidam; sed cf. vv. 177–8 1256 ἔϲομαι RMΓ$^{pc}$, Su. φ 77: γένωμαι cett. Φᾶνοϲ Lehrs: Φανόϲ codd.

|  |  |
|---|---|
|  | *καὶ τὸν Παφλαγόνα παραδίδωμι τουτονί.* |
| *Αλ.* | *καὶ μὴν ἐγώ ϲ᾽, ὦ Δῆμε, θεραπεύϲω καλῶϲ,* |
|  | *ὥϲθ᾽ ὁμολογεῖν ϲε μηδέν᾽ ἀνθρώπων ἐμοῦ* |
|  | *ἰδεῖν ἀμείνω τῇ Κεχηναίων πόλει.* |

|  |  |  |
|---|---|---|
| *Χο.* | *τί κάλλιον ἀρχομένοιϲιν ἢ καταπαυομένοιϲιν* | [ϲτρ. |
|  | *ἢ θοᾶν ἵππων ἐλατῆραϲ ἀείδειν* |  |
|  | *μηδὲν εἰϲ Λυϲίϲτρατον,* |  |
|  | *μηδὲ Θούμαντιν τὸν ἀνέϲτιον αὖ* |  |
|  | *λυπεῖν ἑκούϲῃ καρδίᾳ;* |  |
|  | *καὶ γὰρ οὗτοϲ, ὦ φίλ᾽ Ἄπολλον, ⟨ἀεὶ⟩* |  |
|  | *πεινῇ, θαλεροῖϲ δακρύοιϲ* |  |
|  | *ϲᾶϲ ἁπτόμενοϲ φαρέτραϲ* |  |
|  | *Πυθῶνι δίᾳ μὴ κακῶϲ πένεϲθαι.* |  |

*λοιδορῆϲαι τοὺϲ πονηροὺϲ οὐδέν ἐϲτ᾽ ἐπίφθονον,*
*ἀλλὰ τιμὴ τοῖϲι χρηϲτοῖϲ, ὅϲτιϲ εὖ λογίζεται.*
*εἰ μὲν οὖν ἄνθρωποϲ, ὃν δεῖ πόλλ᾽ ἀκοῦϲαι καὶ κακά,*
*αὐτὸϲ ἦν ἔνδηλοϲ, οὐκ ἂν ἀνδρὸϲ ἐμνήϲθην φίλου.*
*νῦν δ᾽ Ἀρίγνωτον γὰρ οὐδεὶϲ ὅϲτιϲ οὐκ ἐπίϲταται,*
*ὅϲτιϲ ἢ τὸ λευκὸν οἶδεν ἢ τὸν ὄρθιον νόμον.*
*ἔϲτιν οὖν ἀδελφὸϲ αὐτῷ τοὺϲ τρόπουϲ οὐ ϲυγγενήϲ,*
*Ἀριφράδηϲ πονηρόϲ. ἀλλὰ τοῦτο μὲν καὶ βούλεται·*
*ἔϲτι δ᾽ οὐ μόνον πονηρόϲ, οὐ γὰρ οὐδ᾽ ἂν ᾐϲθόμην,*
*οὐδὲ παμπόνηροϲ, ἀλλὰ καὶ προϲεξηύρηκέ τι.*
*τὴν γὰρ αὑτοῦ γλῶτταν αἰϲχραῖϲ ἡδοναῖϲ λυμαίνεται,*
*ἐν καϲωρείοιϲι λείχων τὴν ἀπόπτυϲτον δρόϲον,*
*καὶ μολύνων τὴν ὑπήνην καὶ κυκῶν τὰϲ ἐϲχάραϲ,*

1263 *τῇ*] *ν̓ τῇ* Hirschig   1270 *οὗτοϲ* Dindorf: *οὑτοϲὶ* codd. suppl. Dindorf   1273 *δίᾳ μὴ* Dindorf: *ἐνδίᾳ* vel *ἐν διά* codd., sed *ἐν διὰ τὸ* *Γγρ*   1274 *λοιδορῆϲαι*] *-εῖϲθαι* Su. *λ* 753, sch.   1276 *ἄνθρωποϲ* Bernhardy: *ἅ -* codd., Su. *λ* 753 et *ει* 146   1277 *αὐτὸϲ* RM*Γ*pc, Su. bis: *οὗτοϲ* cett.   1282 *ᾐϲθόμην*] *ἠχθόμην* Bentley   1282–3 *οὐ γὰρ ... παμπόνηροϲ* RVp.cL i.m. manu posteriore: om. cett. 1285 *καϲωρείοιϲι* Cobet: *-αυρίοιϲι* codd., cf. Hsch.: *καϲαλβίοιϲι* v.l. ap. sch. et Su. *κ* 450: *καϲωρίοιϲι* Stephanus Byzantinus 366.24   1286 *κυκῶν*] *κυνῶν* Hermann

καὶ Πολυμνήϲτεια ποιῶν καὶ ξυνὼν Οἰωνίχῳ.
ὅϲτιϲ οὖν τοιοῦτον ἄνδρα μὴ ϲφόδρα βδελύττεται,
οὔποτ' ἐκ ταὐτοῦ μεθ' ἡμῶν πίεται ποτηρίου.

ἦ πολλάκιϲ ἐννυχίαιϲι φροντίϲι ϲυγγεγένημαι, [ἀντ.
καὶ διεζήτηχ' ὁπόθεν ποτὲ φαύλωϲ
ἐϲθίει Κλεώνυμοϲ.
φαϲὶ γάρ ⟨ποτ'⟩ αὐτὸν ἐρεπτόμενον
τὰ τῶν ἐχόντων ἀνέρων
οὐκ ἂν ἐξελθεῖν ἀπὸ τῆϲ ϲιπύηϲ·
τοὺϲ δ' ἀντιβολεῖν ἂν ὁμῶϲ·
"ἴθ', ὦ ἄνα, πρὸϲ γονάτων,
ἔξελθε καὶ ϲύγγνωθι τῇ τραπέζῃ."

φαϲὶν ἀλλήλαιϲ ξυνελθεῖν τὰϲ τριήρειϲ εἰϲ λόγον,
καὶ μίαν λέξαι τιν' αὐτῶν, ἥτιϲ ἦν γεραιτέρα·
"οὐδὲ πυνθάνεϲθε ταῦτ', ὦ παρθένοι, τἀν τῇ πόλει;
φαϲὶν αἰτεῖϲθαί τιν' ἡμῶν ἑκατὸν εἰϲ Καρχηδόνα,
ἄνδρα μοχθηρὸν πολίτην, ὀξίνην Ὑπέρβολον·"
ταῖϲ δὲ δόξαι δεινὸν εἶναι τοῦτο κοὐκ ἀναϲχετόν,
καί τιν' εἰπεῖν, ἥτιϲ ἀνδρῶν ἆϲϲον οὐκ ἐληλύθει·
"ἀποτρόπαι', οὐ δῆτ' ἐμοῦ γ' ἄρξει ποτ', ἀλλ' ἐάν με χρῇ,
ὑπὸ τερηδόνων ϲαπεῖϲ' ἐνταῦθα καταγηράϲομαι."—
"οὐδὲ Ναυφάντηϲ γε τῆϲ Ναύϲωνοϲ, οὐ δῆτ', ὦ θεοί,
εἴπερ ἐκ πεύκηϲ γε κἀγὼ καὶ ξύλων ἐπηγνύμην.
ἢν δ' ἀρέϲκῃ ταῦτ' Ἀθηναίοιϲ, καθῆϲθαί μοι δοκῶ
εἰϲ τὸ Θηϲεῖον πλεούϲαϲ ἢ 'πὶ τῶν Ϲεμνῶν θεῶν.
οὐ γὰρ ἡμῶν γε ϲτρατηγῶν ἐγχανεῖται τῇ πόλει·

1294 suppl. van Leeuwen: ⟨μὲν⟩ γὰρ Bentley    1297 ἂν ὁμῶϲ Zacher: ἀλλ' ὅμωϲ AΘγρ$\Gamma^2$: ἂν ὁμοίωϲ RM: ἀνομοίωϲ fere cett. 1303 Καρχηδόνα] Χαλκηδόνα $\Gamma^2$, sch.    1304 μοχθηρὸν V: πονηρὸν cett.    1307 χρῇ Bekker: χρὴ codd.    1310 πεύκηϲ] πίττηϲ Blaydes    1311 ἢν] ἂν VA: εἰ L    ἀρέϲκῃ] -οι L    Ἀθηναίοιϲ Bentley: -οιϲι codd.    δοκεῖ Bentley: δοκῶ codd., Su. θ 367 1312 πλεούϲαϲ Reiske: -ϲαιϲ fere codd.

ἀλλὰ πλείτω χωρὶϲ αὐτὸϲ ἐϲ κόρακαϲ, εἰ βούλεται,
τὰϲ ϲκάφαϲ, ἐν αἷϲ ἐπώλει τοὺϲ λύχνουϲ, καθελκύϲαϲ."

Αλ. εὐφημεῖν χρὴ καὶ ϲτόμα κλῄειν καὶ μαρτυριῶν ἀπέχεϲθαι,
καὶ τὰ δικαϲτήρια ϲυγκλῄειν, οἷϲ ἡ πόλιϲ ἥδε γέγηθεν,
ἐπὶ καιναῖϲιν δ' εὐτυχίαιϲιν παιωνίζειν τὸ θέατρον.

Χο. ὦ ταῖϲ ἱεραῖϲ φέγγοϲ Ἀθήναιϲ καὶ ταῖϲ νήϲοιϲ ἐπίκουρε,
τίν' ἔχων φήμην ἀγαθὴν ἥκειϲ, ἐφ' ὅτῳ κνιϲῶμεν ἀγυιάϲ;

Αλ. τὸν Δῆμον ἀφεψήϲαϲ ὑμῖν καλὸν ἐξ αἰϲχροῦ πεποίηκα.

Χο. καὶ ποῦ 'ϲτιν νῦν, ὦ θαυμαϲτὰϲ ἐξευρίϲκων ἐπινοίαϲ;

Αλ. ἐν ταῖϲιν ἰοϲτεφάνοιϲ οἰκεῖ ταῖϲ ἀρχαίαιϲιν Ἀθήναιϲ.

Χο. πῶϲ ἂν ἴδοιμεν; ποίαν ⟨τιν'⟩ ἔχει ϲκευήν; ποῖοϲ γεγένηται;

Αλ. οἷόϲ περ Ἀριϲτείδῃ πρότερον καὶ Μιλτιάδῃ ξυνεϲίτει.
ὄψεϲθε δέ· καὶ γὰρ ἀνοιγνυμένων ψόφοϲ ἤδη τῶν προπυλαίων.
ἀλλ' ὀλολύξατε φαινομέναιϲιν ταῖϲ ἀρχαίαιϲιν Ἀθήναιϲ
ταῖϲ θαυμαϲταῖϲ καὶ πολυύμνοιϲ, ἵν' ὁ κλεινὸϲ Δῆμοϲ ἐνοικεῖ.

Χο. ὦ ταὶ λιπαραὶ καὶ ἰοϲτέφανοι καὶ ἀριζήλωτοι Ἀθῆναι,
δείξατε τὸν τῆϲ Ἑλλάδοϲ ἡμῖν καὶ τῆϲ γῆϲ τῆϲδε μόναρχον.

1318 καιναῖϲιν L: -αιϲι codd. plerique: κοιναῖϲι ΑΘ εὐτυχίαιϲιν L: -αιϲι cett. 1319 φέγγοϲ . . . ἐπίκουρε R: νήϲοιϲ ἐπίκουρε καὶ φέγγοϲ Ἀθήναιϲ cett. 1324 ἴδοιμεν Brunck: ἴδωμεν codd. suppl. Porson ποῖοϲ Reisig: καὶ ποῖοϲ codd. 1326 δέ RML: γε Φ: δέ γε V 1327 φαινομέναιϲιν Porson: -αιϲ(ι) vel -ῃϲι codd.: fortasse -ηϲιν 1328 ταῖϲ Blaydes: καὶ codd.

Αλ. ὅδ' ἐκεῖνος ὁρᾶν τεττιγοφόρας, ἀρχαίῳ cχήματι λαμπρός,
οὐ χοιρινῶν ὄζων ἀλλὰ cπονδῶν, cμύρνῃ κατάλειπτος.
Χο. χαῖρ', ὦ βαcιλεῦ τῶν Ἑλλήνων· καί cοι ξυγχαίρομεν ἡμεῖc.
τῆc γὰρ πόλεωc ἄξια πράττειc καὶ τοῦ 'ν Μαραθῶνι τροπαίου.

Δημ. ὦ φίλτατ' ἀνδρῶν, ἐλθὲ δεῦρ', Ἀγοράκριτε.
ὅcα με δέδρακαc ἀγάθ' ἀφεψήcαc.
Αλ. ἐγώ;
ἀλλ', ὦ μέλ', οὐκ οἶcθ' οἷοc ἦcθ' αὐτὸc πάροc,
οὐδ' οἷ' ἔδραc· ἐμὲ γὰρ νομίζοιc ἂν θεόν.
Δημ. τί δ' ἔδρων πρὸ τοῦ, κάτειπε, καὶ ποῖόc τιc ἦ;
Αλ. πρῶτον μέν, ὁπότ' εἴποι τιc ἐν τἠκκληcίᾳ,
" ὦ Δῆμ', ἐραcτήc εἰμι cὸc φιλῶ τέ cε
καὶ κήδομαί cου καὶ προβουλεύω μόνοc,"
τούτοιc ὁπότε χρήcαιτό τιc προοιμίοιc,
ἀνωρτάλιζεc κἀκερουτίαc.
Δημ. ἐγώ;
Αλ. εἶτ' ἐξαπατήcαc c' ἀντὶ τούτων ᾤχετο.
Δημ. τί φῄc;
ταυτί μ' ἔδρων, ἐγὼ δὲ τοῦτ' οὐκ ᾐcθόμην;
Αλ. τὰ δ' ὦτά γ' ἄν cου νὴ Δί' ἐξεπετάννυτο
ὥcπερ cκιάδειον καὶ πάλιν ξυνήγετο.
Δημ. οὕτωc ἀνόητοc ἐγεγενήμην καὶ γέρων;
Αλ. καὶ νὴ Δί' εἴ γε δύο λεγοίτην ῥήτορε,
ὁ μὲν ποιεῖcθαι ναῦc μακράc, ὁ δ' ἕτεροc αὖ

1331 τεττιγοφόραc Porson ex Hsch.: -φόροc codd., Procopius Gazaeus, *Ep.* 57 ἀρχαίῳ] τἀρχαίῳ Blaydes, duce Brunck: κἀρχαίῳ Bentley 1334 τοῦ 'ν codd.: τοῦ Bentley 1337 αὐτὸc] ἀνὴρ vel ἐν τῷ Blaydes 1339 πρὸ τοῦ . . . καὶ R: κάτειπέ μοι πρὸ τοῦ καὶ cett. ἦ R: ἦν cett. 1346 ᾐcθόμην L: ᾔδειν cett. 1347 δ' ὦτά γ' ἄν R: δ' ὦτα γὰρ cett.: γὰρ ὦτά cου Meineke, qui νὴ ⟨τὸν⟩ Δί' supplevit 1350 Δί' εἴ γε Porson: Δί' εἰ v: Δία γ' εἰ cett. 1351 μακράc vΦ: λέγων cett.

καταμιϲθοφορῆϲαι τοῦθ', ὁ τὸν μιϲθὸν λέγων
τὸν τὰϲ τριήρειϲ παραδραμὼν ἂν ᾤχετο.
οὗτοϲ, τί κύπτειϲ; οὐχὶ κατὰ χώραν μενεῖϲ;
Δημ. αἰϲχύνομαί τοι ταῖϲ πρότερον ἁμαρτίαιϲ.
Αλ. ἀλλ' οὐ ϲὺ τούτων αἴτιοϲ, μὴ φροντίϲῃϲ,
ἀλλ' οἵ ϲε ταῦτ' ἐξηπάτων. νυνδὶ φράϲον·
ἐάν τιϲ εἴπῃ βωμολόχοϲ ξυνήγοροϲ,
"οὐκ ἔϲτιν ὑμῖν τοῖϲ δικαϲταῖϲ ἄλφιτα,
εἰ μὴ καταγνώϲεϲθε ταύτην τὴν δίκην,"
τοῦτον τί δράϲειϲ, εἰπέ, τὸν ξυνήγορον;
Δημ. ἄραϲ μετέωρον εἰϲ τὸ βάραθρον ἐμβαλῶ,
ἐκ τοῦ λάρυγγοϲ ἐκκρεμάϲαϲ Ὑπέρβολον.
Αλ. τουτὶ μὲν ὀρθῶϲ καὶ φρονίμωϲ ἤδη λέγειϲ·
τὰ δ' ἄλλα, φέρ' ἴδω, πῶϲ πολιτεύϲει; φράϲον.
Δημ. πρῶτον μὲν ὁπόϲοι ναῦϲ ἐλαύνουϲιν μακράϲ,
καταγομένοιϲ τὸν μιϲθὸν ἀποδώϲω 'ντελῆ.
Αλ. πολλοῖϲ γ' ὑπολίϲφοιϲ πυγιδίοιϲιν ἐχαρίϲω.
Δημ. ἔπειθ' ὁπλίτηϲ ἐντεθεὶϲ ἐν καταλόγῳ
οὐδεὶϲ κατὰ ϲπουδὰϲ μετεγγραφήϲεται,
ἀλλ' οὗπερ ἦν τὸ πρῶτον ἐγγεγράψεται.
Αλ. τοῦτ' ἔδακε τὸν πόρπακα τὸν Κλεωνύμου.
Δημ. οὐδ' ἀγοράϲει γ' ἀγένειοϲ οὐδεὶϲ ἐν ἀγορᾷ.
Αλ. ποῦ δῆτα Κλειϲθένηϲ ἀγοράϲει καὶ Cτράτων;
Δημ. τὰ μειράκια ταυτὶ λέγω τἀν τῷ μύρῳ,
ἃ τοιαδὶ ϲτωμύλλεται καθήμενα,
"ϲοφόϲ γ' ὁ Φαίαξ, δεξιῶϲ τ' οὐκ ἀπέθανεν.

1352 τοῦθ' A: τοῦτό γ' ΓΘ: τούτων R: τοῦτον cett. 1355 πρότερον] -ραιϲ A, Su. αι 361 1357 νυνδὶ Seidler: νῦν δὲ codd.: νῦν δὴ Brunck 1365 ante φράϲον interpunxerunt Blaydes, Hirschig 1368 γ'] δ' R ὑπολίϲφοιϲ Brunck: -λίϲποιϲ codd. 1369 ὁπλίτηϲ V: ὁ πολίτηϲ cett., Su. κ 630 1371 οὗπερ Blaydes: ὅϲπερ RMV: ὥϲπερ cett. 1373 γ'] τ' R ἐν L: ἔν τ' cett. οὐδεὶϲ post ἀγορᾷ transp. R v. ita refinxit Kock: ἐν τἀγορᾷ τ' ἀγένειοϲ οὐδεὶϲ ἀγοράϲει 1376 τοιαδὶ ϲτωμύλλεται van Herwerden: ϲτωμυλεῖται τοιαδί codd. 1377 τ' οὐκ ἀπέθανεν] ἐμάνθανε AΘ: τε κατέμαθεν Dindorf

ϲυνερτικὸϲ γάρ ἐϲτι καὶ περαντικόϲ,
καὶ γνωμοτυπικὸϲ καὶ ϲαφὴϲ καὶ κρουϲτικόϲ,
καταληπτικόϲ τ' ἄριϲτα τοῦ θορυβητικοῦ."
Αλ. οὔκουν καταδακτυλικὸϲ ϲὺ τοῦ λαλητικοῦ;
Δημ. μὰ Δί', ἀλλ' ἀναγκάϲω κυνηγετεῖν ἐγὼ
τούτουϲ ἅπανταϲ, παυϲαμένουϲ ψηφιϲμάτων.
Αλ. ἔχε νυν ἐπὶ τούτοιϲ τουτονὶ τὸν ὀκλαδίαν
καὶ παῖδ' ἐνόρχην, ὃϲ περιοίϲει τόνδε ϲοι·
κἄν που δοκῇ ϲοι, τοῦτον ὀκλαδίαν ποίει.
Δημ. μακάριοϲ εἰϲ τἀρχαῖα δὴ καθίϲταμαι.
Αλ. φήϲειϲ γ', ἐπειδὰν τὰϲ τριακοντούτιδαϲ
ϲπονδὰϲ παραδῶ ϲοι. δεῦρ' ἴθ', αἱ Ϲπονδαί, ταχύ.
Δημ. ὦ Ζεῦ πολυτίμηθ', ὡϲ καλαί· πρὸϲ τῶν θεῶν,
ἔξεϲτιν αὐτῶν κατατριακοντουτίϲαι;
πῶϲ ἔλαβεϲ αὐτὰϲ ἐτεόν;
Αλ. οὐ γὰρ ὁ Παφλαγὼν
ἀπέκρυπτε ταύταϲ ἔνδον, ἵνα ϲὺ μὴ λάβηϲ;
νῦν οὖν ἐγώ ϲοι παραδίδωμ' εἰϲ τοὺϲ ἀγροὺϲ
αὐτὰϲ ἰέναι λαβόντα.
Δημ. τὸν δὲ Παφλαγόνα,
ὃϲ ταῦτ' ἔδραϲεν, εἴφ' ὅ τι ποιήϲειϲ κακόν.
Αλ. οὐδὲν μέγ' ἀλλ' ἢ τὴν ἐμὴν ἕξει τέχνην·
ἐπὶ ταῖϲ πύλαιϲ ἀλλαντοπωλήϲει μόνοϲ,
τὰ κύνεια μιγνὺϲ τοῖϲ ὀνείοιϲ τρώγμαϲιν,
μεθύων τε ταῖϲ πόρναιϲι λοιδορήϲεται,
κἀκ τῶν βαλανείων πίεται τὸ λούτριον.
Δημ. εὖ γ' ἐπενόηϲαϲ οὗπέρ ἐϲτιν ἄξιοϲ,
πόρναιϲι καὶ βαλανεῦϲι διακεκραγέναι,

1378 ϲυνερτικὸϲ sch.: ϲυνερκτικὸϲ codd., Su. ϲ 1508 aliquot codd.: ϲυνεκτικὸϲ Su. codd. FV: ϲυνεριϲτικὸϲ vel ϲυνερειϲτικὸϲ Su. φ 152 1385 ὃϲ περιοίϲει Richards: ὅϲπερ οἴϲει codd. 1392 ἔλαβεϲ αὐτὰϲ Bentley: ἔλαβεϲ ταύταϲ ΦL: ἔλαβε ταύταϲ RMv, unde ἐλάβετ' αὐτὰϲ Jackson 1393 λάβηϲ] λάβοιϲ Brunck 1399 τρώγμαϲιν Wilson: πράγμαϲιν codd. 1400 τε] δὲ Φ 1401 λούτριον Elmsley: λοῦτρον vel λουτρὸν codd., Su. λ 693

καί ϲ' ἀντὶ τούτων εἰϲ τὸ πρυτανεῖον καλῶ
εἰϲ τὴν ἕδραν θ', ἵν' ἐκεῖνοϲ ἧϲθ' ὁ φαρμακόϲ.
ἕπου δὲ ταυτηνὶ λαβὼν τὴν βατραχίδα·
κἀκεῖνον ἐκφερέτω τιϲ ὡϲ ἐπὶ τὴν τέχνην,
ἵν' ἴδωϲιν αὐτόν, οἷϲ ἐλωβᾶθ', οἱ ξένοι.

1405 ἧϲθ' Meineke: ἦν codd., Su. ε 262 1408 οἷϲ RVM: οὓϲ cett. post hunc v. desunt aliquot vv.

# *ΝΕΦΕΛΑΙ*

# PAPYRI

| | |
|---|---|
| P. Berol. 13219, saec. V–VI (vv. 946–1015) | (P 8) |
| P. Berol. 13225–6, saec. V (vv. 177–270, 936–73) | (P 6) |
| P. Oxy. 1371, saec. V (vv. 2–5, 10–11, 38–48) | (P 2) |
| P. S. I. 1171, saec. III (vv. 577–635) | (P 7) |
| P. Strasbourg inv. 621, saec. V–VII (vv. 1372–85, 1407–28) | (P 9) |

# CODICES

*Praecipui*

| | |
|---|---|
| R | Ravennas 429 |
| V | Marcianus gr. 474 |
| E | Estensis gr. 127 (α. U. 5. 10) |
| K | Ambrosianus C 222 inf. |
| N | Neapolitanus II F 27 |
| Θ | Laurentianus Conventi Soppressi 140 |

*Hic illic citantur etiam*

| | |
|---|---|
| A | Parisinus gr. 2712 |
| Ct1 | Cantabrigiensis, Bibl. Univ. Nn. III. 15 pars prima |
| Ct3 | Cantabrigiensis, Bibl. Univ. Nn. III. 3 |
| Ln5 | Harleianus 5725 |
| M | Ambrosianus L 39 sup. |
| Md1 | Matritensis 4683 |
| Np1 | Neapolitanus II F 22 |
| O7 | Oxoniensis Canonicianus gr. 46 |
| O8 | Oxoniensis Rawlinson G 89 |
| Par 8 | Parisinus gr. 2821 |
| Par 9 | Parisinus gr. 2822 |
| Par 14 | Parisinus gr. 2827 |

| | |
|---|---|
| Par 19 | Parisinus suppl. gr. 135 |
| Par 20 | Parisinus suppl. gr. 463 |
| U | Vaticanus Urbinas gr. 141 |
| V3 | Venetus Marcianus gr. 473 |
| Vb3 | Vaticanus Barberinianus gr. 126 |
| Vc1 | Vaticanus Chisianus gr. R. IV. 10 |
| Vs1 | Vaticanus Reginensis gr. 147 |
| Vv2 | Vaticanus gr. 57 |
| Vv4 | Vaticanus gr. 198 |
| Z | Vindobonensis phil. gr. 227 |
| *Δ* | Laurentianus 31.16 |
| *Φ* | Laurentianus Conventi Soppressi 66 |
| X | Laurentianus 31.13 |
| *Ψ* | Laurentianus 31.22 |

# *ΥΠΟΘΕCΕΙC*

## I

*Τὸ δρᾶμα τῶν Νεφελῶν κατὰ Cωκράτουc γέγραπται τοῦ φιλοcόφου ἐπίτηδεc ὡc κακοδιδαcκαλοῦντοc τοὺc νέουc Ἀθήνηcι, τῶν κωμικῶν πρὸc τοὺc φιλοcόφουc ἐχόντων τινὰ ἀντιλογίαν· οὐχ, ὥc τινεc, δι' Ἀρχέλαον τὸν Μακεδόνων βαcιλέα, ὅτι προὔκρινεν αὐτὸν Ἀριcτοφάνουc.*

## II

*Φαcὶ τὸν Ἀριcτοφάνη γράψαι τὰc Νεφέλαc ἀναγκαcθέντα ὑπὸ Ἀνύτου καὶ Μελήτου, ἵνα προδιαcκέψαιντο, ποῖοί τινεc εἶεν Ἀθηναῖοι κατὰ Cωκράτουc ἀκούοντεc. ηὐλαβοῦντο γάρ, ὅτι πολλοὺc εἶχεν ἐραcτὰc καὶ μάλιcτα τοὺc περὶ Ἀλκιβιάδην, οἳ καὶ ἐπὶ τοῦ δράματοc τούτου μηδὲ νικῆcαι ἐποίηcαν τὸν ποιητήν. ὁ δὲ πρόλογόc ἐcτι τῶν Νεφελῶν ἁρμοδιώτατα καὶ δεξιώτατα cυγκείμενοc. πρεcβύτηc γάρ ἐcτιν ἄγροικοc ἀχθόμενοc παιδὶ ἀcτικοῦ φρονήματοc γέμοντι καὶ τῆc εὐγενείαc εἰc πολυτέλειαν ἀπολελαυκότι. ἡ γὰρ τῶν Ἀλκμαιωνιδῶν οἰκία, ὅθεν ἦν τὸ πρὸc μητρὸc γένοc ὁ μειρακίcκοc, ἐξ ἀρχῆc, ὥc φηcιν Ἡρόδοτοc, τεθριπποτρόφοc ἦν καὶ πολλὰc ἀνῃρημένη νίκαc, τὰc μὲν Ὀλυμπίαcι, τὰc δὲ Πυθοῖ, ἐνίαc δὲ Ἰcθμοῖ καὶ Νεμέᾳ καὶ ἐν ἄλλοιc πολλοῖc ἀγῶcιν. εὐδοκιμοῦcαν οὖν ὁρῶν ὁ νεανίcκοc ἀπέκλινε πρὸc τὸ ἦθοc τῶν πρὸc μητρὸc προγόνων.*

argumenta alia alii codices habent, sed in R omnino desunt

I 1 *τῶν Νεφελῶν* N: *τὸ τῶν Νεφελῶν* EΘ: om. V 5 *αὐτὸν* Θ: om. cett.

II 2 *προδιαcκέψαιντο*] -*ψωνται* EΘ 5 *καὶ* om. E

## III

*Πρεϲβύτηϲ τιϲ Ϲτρεψιάδηϲ ὑπὸ δανείων καταπονούμενοϲ διὰ τὴν ἱπποτροφίαν τοῦ παιδὸϲ δεῖται τούτου, φοιτήϲαντοϲ ὡϲ τὸν Ϲωκράτην μαθεῖν τὸν ἥττονα λόγον, εἴ πωϲ δύναιτο τὰ ἄδικα λέγων ἐν τῷ δικαϲτηρίῳ τοὺϲ χρήϲταϲ νικᾶν καὶ μηδενὶ τῶν δανειϲτῶν μηδὲν ἀποδοῦναι. οὐ βουλομένου δὲ τοῦ μειρακίϲκου, διαγνοὺϲ αὐτὸϲ ἐλθὼν μανθάνειν, μαθητὴν τοῦ Ϲωκράτουϲ ἐκκαλέϲαϲ τινὰ διαλέγεται. ἐκκυκληθείϲηϲ δὲ τῆϲ διατριβῆϲ οἵ τε μαθηταὶ κύκλῳ καθήμενοι πιναροὶ ϲυνορῶνται, καὶ αὐτὸϲ ὁ Ϲωκράτηϲ ἐπὶ κρεμάθραϲ αἰωρούμενοϲ καὶ ἀποϲκοπῶν τὰ μετέωρα θεωρεῖται. μετὰ ταῦτα τελεῖ παραλαβὼν τὸν πρεϲβύτην, καὶ τοὺϲ νομιζομένουϲ παρ᾽ αὐτῷ θεούϲ, Ἀέρα, προϲέτι δὲ Αἰθέρα καὶ Νεφέλαϲ κατακαλεῖται. πρὸϲ δὲ τὴν εὐχὴν εἰϲέρχονται Νεφέλαι ἐν ϲχήματι χοροῦ καὶ φυϲιολογήϲαντοϲ οὐκ ἀπιθάνωϲ τοῦ Ϲωκράτουϲ καταϲτᾶϲαι πρὸϲ τοὺϲ θεατὰϲ περὶ πλειόνων διαλέγονται. μετὰ δὲ ταῦτα ὁ μὲν πρεϲβύτηϲ διδαϲκόμενοϲ ἐν τῷ φανερῷ τινα τῶν μαθημάτων γελωτοποιεῖ· καὶ ἐπειδὴ διὰ τὴν ἀμαθίαν ἐκ τοῦ φροντιϲτηρίου ἐκβάλλεται, ἄγων πρὸϲ βίαν τὸν υἱὸν ϲυνίϲτηϲι τῷ Ϲωκράτει. τούτου δὲ ἐξαγαγόντοϲ αὐτῷ ἐν τῷ θεάτρῳ τὸν ἄδικον καὶ τὸν δίκαιον λόγον διαγωνιϲθεὶϲ ὁ ἄδικοϲ πρὸϲ τὸν δίκαιον λόγον καὶ παραλαβὼν αὐτὸν [ὁ ἄδικοϲ λόγοϲ] ἐκδιδάϲκει. κομιϲάμενοϲ δὲ αὐτὸν ὁ πατὴρ ἐκπεπονημένον ἐπηρεάζει τοῖϲ χρήϲταιϲ καὶ ὡϲ κατωρθωκὼϲ εὐωχεῖ παρα-*

III 1–7 *πρεϲβύτηϲ . . . διαλέγεται* ut novum argumentum iterant codices aliquot, sed pro 3 *εἴ πωϲ κτλ.* praebent *μὴ πειθομένου δὲ τοῦ μειρακίου αὐτὸϲ ἐλθὼν μανθάνει, μαθητὴν τοῦ Ϲωκράτουϲ ἐκκαλέϲαϲ* 5 *τῶν δανειϲτῶν* codd.: del. Dover 6 *μειρακίϲκου*] *μειρακίου* ENΘ *μανθάνειν*] *μανθάνει* NΘ, post quod *μαθητὴν οὖν* Θ, *ἐκκαλέϲαϲ πρῶτον καὶ διαλεχθεὶϲ μαθητῇ τοῦ Ϲωκράτουϲ* N 7 *ἐκκυκληθείϲηϲ* Fritzsche: *ἐκλυθείϲηϲ* codd. 10 *τελεῖ* Musurus: *τελεῖν* VΘ: om. N 14 *καταϲτᾶϲαι*] *ἀποκαταϲτᾶϲαι* N 16 *μαθημάτων* N: *μαθητῶν* cett. 18 *ἄγων* A: *διάγων* cett. 20 post *λόγον* add. *καὶ* VE 21 *καὶ* VE: om. NΘ del. Dover

λαβών. γενομένης δὲ περὶ τὴν εὐωχίαν ἀντιλογίας πληγὰς λαβὼν ὑπὸ τοῦ παιδὸς βοὴν ἵςτηςι, καὶ καταλαλούμενος ὑπὸ τοῦ παιδὸς ὅτι δίκαιον τοὺς πατέρας ὑπὸ τῶν υἱῶν ἀντιτύπτεςθαι, ὑπεραλγῶν διὰ τὴν πρὸς τὸν υἱὸν cύγκρουςιν ὁ γέρων καταςκάπτει καὶ ἐμπίπρηςι τὸ φροντιςτήριον τῶν Cωκρατικῶν. τὸ δὲ δρᾶμα τῶν πάνυ δυνατῶς πεποιημένων.

IV

Πατὴρ τὸν υἱὸν cωκρατίζειν προτρέπεται·
καὶ τῆς περὶ αὐτὸν ψυχρολογίας διατριβὴ
ἱκανή, λόγων θ' ὑπόνοια πρὸς τοὐναντίον.
χορὸς δὲ Νεφελῶν ὡς ἐπωφελῆ λέγων,
καὶ τὴν ἀςέβειαν Cωκράτους διεξιών,
ἄλλαι θ' ὑπὲρ τἀνδρὸς κατηγορίαι πικραί,
καὶ τῶν μαθητῶν εἰς πατραλοίας ἐκτόπως.
εἶτ' ἐμπυριςμὸς τῆς ςχολῆς τοῦ Cωκράτους.
τὸ δὲ δρᾶμα τοῦτο τῆς ὅλης ποιήςεως
κάλλιςτον εἶναί φηςι καὶ τεχνικώτατον.

V

Αἱ πρῶται Νεφέλαι ἐδιδάχθηςαν ἐν ἄςτει ἐπὶ ἄρχοντος Ἰςάρχου, ὅτε Κρατῖνος μὲν ἐνίκα Πυτίνῃ, Ἀμειψίας δὲ Κόννῳ. διόπερ Ἀριςτοφάνης ἀπορριφθεὶς παραλόγως ᾠήθη δεῖν ἀναδιδάξας τὰς Νεφέλας τὰς δευτέρας καταμέμφεςθαι τὸ θέατρον. ἀτυχῶν δὲ πολὺ μᾶλλον καὶ ἐν τοῖς ἔπειτα οὐκέτι τὴν διαςκευὴν εἰςήγαγεν. αἱ δὲ δεύτεραι Νεφέλαι ἐπὶ Ἀμεινίου ἄρχοντος.

2 καταλαλούμενος N: προςκατα- EΘ: προςκαλούμενος V
IV 1 προτρέπεται] βούλεται V 3 ὑπόνοια codd. recc.: ἀπό- vett.
6 ὑπὲρ V: ὑπ' cett. τἀνδρὸς Wagner: ἀνδρὸς codd.

## VI

Τοῦτο ταὐτόν ἐστι τῷ προτέρῳ. διεσκεύασται δὲ ἐπὶ μέρους, ὡς ἂν δὴ ἀναδιδάξαι μὲν αὐτὸ τοῦ ποιητοῦ προθυμηθέντος, οὐκέτι δὲ τοῦτο δι' ἥν ποτε αἰτίαν ποιήσαντος. καθόλου μὲν οὖν σχεδὸν παρὰ πᾶν μέρος γεγενημένη ⟨ἡ⟩ διόρθωσις . . . τὰ μὲν γὰρ περιῄρηται, τὰ δὲ παραπέπλεκται καὶ ἐν τῇ τάξει καὶ ἐν τῇ τῶν προσώπων διαλλαγῇ μετεσχημάτισται, ἃ δὲ ὁλοσχερῆ τῆς διασκευῆς τοιαῦτα ὄντα τετύχηκεν. αὐτίκα ἡ μὲν παράβασις τοῦ χοροῦ ἤμειπται, καὶ ὅπου ὁ δίκαιος λόγος πρὸς τὸν ἄδικον λαλεῖ, καὶ τελευταῖον ὅπου καίεται ἡ διατριβὴ Σωκράτους.

## VII

Τὴν κωμῳδίαν καθῆκε κατὰ Σωκράτους ὡς τοιαῦτα νομίζοντος, καὶ Νεφέλας καὶ Ἀέρα καὶ τί γὰρ ἄλλ' ἢ ξένους εἰσάγοντος δαίμονας. χορῷ δὲ ἐχρήσατο Νεφελῶν πρὸς τὴν τοῦ ἀνδρὸς κατηγορίαν· διὰ τοῦτο οὕτως ἐπεγράφη. διτταὶ δὲ φέρονται Νεφέλαι. οἱ δὲ κατηγορήσαντες Σωκράτους Ἄνυτος καὶ Μέλητος. διήχθρευσε γὰρ Σωκράτης κατὰ τούτων, οἳ καὶ δόντες ἀργύριον τῷ Ἀριστοφάνει παρεκίνησαν αὐτὸν κατ' ἐκείνου γράψαι τὴν τῶν Νεφελῶν κωμῳδίαν. οὐκ ἠδύναντο γὰρ κατ' ἐκείνου λέγειν διὰ τὸ μέγαν νομίζεσθαι αὐτόν.

VI 4 γεγενημένη] γεγένηται Bücheler suppl. Bücheler lacunam statuit Dover 6 ἃ] τὰ Dindorf 7 ὁλοσχερῆ] -ρῆς VE: -ροῦς Dindorf τοιαῦτα ὄντα del. Bergk

VII. 6–7 διήχθρευσε . . . αὐτόν om. VE

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΣΤΡΕΨΙΑΔΗΣ
ΦΕΙΔΙΠΠΙΔΗΣ
ΟΙΚΕΤΗΣ ΣΤΡΕΨΙΑΔΟΥ
ΜΑΘΗΤΗΣ ΣΩΚΡΑΤΟΥΣ Α
ΣΩΚΡΑΤΗΣ
ΧΟΡΟΣ ΝΕΦΕΛΩΝ
ΚΡΕΙΤΤΩΝ ΛΟΓΟΣ
ΗΤΤΩΝ ΛΟΓΟΣ
ΧΡΗΣΤΗΣ Α
ΧΡΗΣΤΗΣ Β
ΜΑΘΗΤΗΣ Β

# *ΝΕΦΕΛΑΙ*

*ΣΤΡΕΨΙΑΔΗΣ*

ἰοὺ ἰού.
ὦ Ζεῦ βασιλεῦ, τὸ χρῆμα τῶν νυκτῶν ὅσον·
ἀπέραντον. οὐδέποθ' ἡμέρα γενήσεται;
καὶ μὴν πάλαι γ' ἀλεκτρυόνος ἤκουσ' ἐγώ·
οἱ δ' οἰκέται ῥέγκουσιν. ἀλλ' οὐκ ἂν πρὸ τοῦ.
ἀπόλοιο δῆτ', ὦ πόλεμε, πολλῶν οὕνεκα,
ὅτ' οὐδὲ κολάσ' ἔξεστί μοι τοὺς οἰκέτας.
ἀλλ' οὐδ' ὁ χρηστὸς οὑτοσὶ νεανίας
ἐγείρεται τῆς νυκτός, ἀλλὰ πέρδεται
ἐν πέντε σισύραις ἐγκεκορδυλημένος.
ἀλλ' εἰ δοκεῖ, ῥέγκωμεν ἐγκεκαλυμμένοι.
ἀλλ' οὐ δύναμαι δείλαιος εὕδειν δακνόμενος
ὑπὸ τῆς δαπάνης καὶ τῆς φάτνης καὶ τῶν χρεῶν
διὰ τουτονὶ τὸν υἱόν. ὁ δὲ κόμην ἔχων
ἱππάζεταί τε καὶ ξυνωρικεύεται
ὀνειροπολεῖ θ' ἵππους. ἐγὼ δ' ἀπόλλυμαι
ὁρῶν ἄγουσαν τὴν σελήνην εἰκάδας·
οἱ γὰρ τόκοι χωροῦσιν. ἅπτε, παῖ, λύχνον
κἄκφερε τὸ γραμματεῖον, ἵν' ἀναγνῶ λαβὼν
ὁπόσοις ὀφείλω καὶ λογίσωμαι τοὺς τόκους.
φέρ' ἴδω, τί ὀφείλω; δώδεκα μνᾶς Πασίᾳ.
τοῦ δώδεκα μνᾶς Πασίᾳ; τί ἐχρησάμην;
ὅτ' ἐπριάμην τὸν κοππατίαν. οἴμοι τάλας,
εἴθ' ἐξεκόπην πρότερον τὸν ὀφθαλμὸν λίθῳ.

3 ἀπέραντον] ἀπέρατον VE[ac], lm. sch. E: [P7] 5 ῥέγκουσι] ῥέγχουσι fortasse novit sch.

ΦΕΙΔΙΠΠΙΔΗC

Φίλων, ἀδικεῖς. ἔλαυνε τὸν ςαυτοῦ δρόμον.
**Cτ.** τοῦτ' ἐςτὶ τουτὶ τὸ κακὸν ὅ μ' ἀπολώλεκεν·
ὀνειροπολεῖ γὰρ καὶ καθεύδων ἱππικήν.
**Φε.** πόςους δρόμους ἐλᾷ τὰ πολεμιςτήρια;
**Cτ.** ἐμὲ μὲν ςὺ πολλοὺς τὸν πατέρ' ἐλαύνεις δρόμους.
ἀτὰρ τί χρέος ἔβα με μετὰ τὸν Παςίαν;
τρεῖς μναῖ διφρίςκου καὶ τροχοῖν Ἀμυνίᾳ.
**Φε.** ἄπαγε τὸν ἵππον ἐξαλίςας οἴκαδε.
**Cτ.** ἀλλ', ὦ μέλ', ἐξήλικας ἐμέ γ' ἐκ τῶν ἐμῶν,
ὅτε καὶ δίκας ὤφληκα χἄτεροι τόκου
ἐνεχυράςεςθαί φαςιν.
**Φε.** ἐτεόν, ὦ πάτερ,
τί δυςκολαίνεις καὶ ςτρέφει τὴν νύχθ' ὅλην;
**Cτ.** δάκνει μέ τις δήμαρχος ἐκ τῶν ςτρωμάτων.
**Φε.** ἔαςον, ὦ δαιμόνιε, καταδαρθεῖν τί με.
**Cτ.** ςὺ δ' οὖν κάθευδε· τὰ δὲ χρέα ταῦτ' ἴςθ' ὅτι
εἰς τὴν κεφαλὴν ἅπαντα τὴν ςὴν τρέψεται.
φεῦ.
εἴθ' ὤφελ' ἡ προμνήςτρι' ἀπολέςθαι κακῶς,
ἥτις με γῆμ' ἐπῆρε τὴν ςὴν μητέρα·
ἐμοὶ γὰρ ἦν ἄγροικος ἥδιςτος βίος
εὐρωτιῶν, ἀκόρητος, εἰκῇ κείμενος,
βρύων μελίτταις καὶ προβάτοις καὶ ςτεμφύλοις.
ἔπειτ' ἔγημα Μεγακλέους τοῦ Μεγακλέους
ἀδελφιδῆν ἄγροικος ὢν ἐξ ἄςτεως,
ςεμνήν, τρυφῶςαν, ἐγκεκοιςυρωμένην.
ταύτην ὅτ' ἐγάμουν, ςυγκατεκλινόμην ἐγὼ
ὄζων τρυγός, τραςιᾶς, ἐρίων, περιουςίας,
ἡ δ' αὖ μύρου, κρόκου, καταγλωττιςμάτων,

26 τουτὶ R: τοῦτο cett. 28 ἐλᾷ] ἐλᾷς Hermann, et fortasse legit sch. R 31 Ἀμυνίᾳ] Ἀμεινίᾳ V 35 ἐνεχυράςεςθαι V3 et fortasse sch.: -ςαςθαι cett. 37 τις post δήμαρχος traiciunt RENL 40 τρέψεται] ςτρέψεται V: ςτρέψαι R[*], τρέψαι R[pc] 47 ἄςτεως Dindorf: -εος codd.: [P7]

*δαπάνης, λαφυγμοῦ, Κωλιάδος, Γενετυλλίδος.*
*οὐ μὴν ἐρῶ γ' ὡς ἀργὸς ἦν, ἀλλ' ἐσπάθα.*
*ἐγὼ δ' ἂν αὐτῇ θοἰμάτιον δεικνὺς τοδὶ*
*πρόφασιν ἔφασκον "ὦ γύναι, λίαν σπαθᾷς."*

*ΟΙΚΕΤΗΣ*

*ἔλαιον ἡμῖν οὐκ ἔνεστ' ἐν τῷ λύχνῳ.*
*Στ.* *οἴμοι. τί γάρ μοι τὸν πότην ἧπτες λύχνον;*
*δεῦρ' ἔλθ', ἵνα κλάῃς.*
*Οι.* *διὰ τί δῆτα κλαύσομαι;*
*Στ.* *ὅτι τῶν παχειῶν ἐνετίθεις θρυαλλίδων.*
*μετὰ ταῦθ', ὅπως νῷν ἐγένεθ' υἱὸς οὑτοσί,*
*ἐμοί τε δὴ καὶ τῇ γυναικὶ τἀγαθῇ,*
*περὶ τοὐνόματος δὴ 'ντεῦθεν ἐλοιδορούμεθα·*
*ἡ μὲν γὰρ ἵππον προσετίθει πρὸς τοὔνομα,*
*Ξάνθιππον ἢ Χαίριππον ἢ Καλλιππίδην,*
*ἐγὼ δὲ τοῦ πάππου 'τιθέμην Φειδωνίδην.*
*τέως μὲν οὖν ἐκρινόμεθ'· εἶτα τῷ χρόνῳ*
*κοινῇ ξυνέβημεν κἀθέμεθα Φειδιππίδην.*
*τοῦτον τὸν υἱὸν λαμβάνουσ' ἐκορίζετο·*
*"ὅταν σὺ μέγας ὢν ἅρμ' ἐλαύνῃς πρὸς πόλιν,*
*ὥσπερ Μεγακλέης, ξυστίδ' ἔχων—"· ἐγὼ δ' ἔφην*
*"ὅταν μὲν οὖν τὰς αἶγας ἐκ τοῦ φελλέως,*
*ὥσπερ ὁ πατήρ σου, διφθέραν ἐνημμένος—".*
*ἀλλ' οὐκ ἐπείθετο τοῖς ἐμοῖς οὐδὲν λόγοις,*
*ἀλλ' ἵππερόν μοι κατέχεεν τῶν χρημάτων.*
*νῦν οὖν ὅλην τὴν νύκτα φροντίζων ὁδοῦ*
*μίαν ηὗρον ἀτραπὸν δαιμονίως ὑπερφυᾶ,*
*ἣν ἢν ἀναπείσω τουτονί, σωθήσομαι.*

56 *ΟΙΚΕΤΗΣ* Dover: *ΘΕΡΑΠΩΝ* codd. plerique: *ΔΟΥΛΟΣ* EK 58 *ἔλθ'*] *ἴθ'* NΘ, Su. δ 286, Daubuz 62 *δὴ 'ντεῦθεν* K et fortasse voluit R: *δὴν ἐντεῦθεν* V: *ταῦτ'* L: *δὴ ταῦτ'* cett., unde *δὴ 'νταῦθ'* Reisig: *ἐντεῦθεν* codd. recc. 64 *Χαίριππον* V: *Χάριππον* fere cett.: *Κάλλιππον* R 73 *ἐπείθετο*] *ἐπίθετο* Thomas Magister 74 *μοι* $E^{pc}KN\Theta^{ac}$: *μου* cett., Su. ι 528 76 *ηὗρον* Dindorf: *εὗρον* codd.

ἀλλ᾽ ἐξεγεῖραι πρῶτον αὐτὸν βούλομαι.
πῶϲ δῆτ᾽ ἂν ἥδιϲτ᾽ αὐτὸν ἐπεγείραιμι; πῶϲ;
Φειδιππίδη, Φειδιππίδιον.
Φε. τί, ὦ πάτερ;
Ϲτ. κύϲον με καὶ τὴν χεῖρα δὸϲ τὴν δεξιάν.
Φε. ἰδού. τί ἐϲτιν;
Ϲτ. εἰπέ μοι, φιλεῖϲ ἐμέ;
Φε. νὴ τὸν Ποϲειδῶ τουτονὶ τὸν ἵππιον.
Ϲτ. μὴ ᾽μοιγε τοῦτον μηδαμῶϲ τὸν ἵππιον·
οὗτοϲ γὰρ ὁ θεὸϲ αἴτιόϲ μοι τῶν κακῶν.
ἀλλ᾽ εἴπερ ἐκ τῆϲ καρδίαϲ μ᾽ ὄντωϲ φιλεῖϲ,
ὦ παῖ, πιθοῦ.
Φε. τί οὖν πίθωμαι δῆτά ϲοι;
Ϲτ. ἔκϲτρεψον ὡϲ τάχιϲτα τοὺϲ ϲαυτοῦ τρόπουϲ,
καὶ μάνθαν᾽ ἐλθὼν ἂν ἐγὼ παραινέϲω.
Φε. λέγε δή, τί κελεύειϲ;
Ϲτ. καί τι πείϲει;
Φε. πείϲομαι,
νὴ τὸν Διόνυϲον.
Ϲτ. δεῦρό νυν ἀπόβλεπε.
ὁρᾷϲ τὸ θύριον τοῦτο καὶ τῳκίδιον;
Φε. ὁρῶ. τί οὖν τοῦτ᾽ ἐϲτὶν ἐτεόν, ὦ πάτερ;
Ϲτ. ψυχῶν ϲοφῶν τοῦτ᾽ ἐϲτὶ φροντιϲτήριον.
ἐνταῦθ᾽ ἐνοικοῦϲ᾽ ἄνδρεϲ, οἳ τὸν οὐρανὸν
λέγοντεϲ ἀναπείθουϲιν ὡϲ ἔϲτιν πνιγεύϲ,
κἄϲτιν περὶ ἡμᾶϲ οὗτοϲ, ἡμεῖϲ δ᾽ ἄνθρακεϲ.
οὗτοι διδάϲκουϲ᾽, ἀργύριον ἤν τιϲ διδῷ,
λέγοντα νικᾶν καὶ δίκαια κἄδικα.
Φε. εἰϲὶν δὲ τίνεϲ;
Ϲτ. οὐκ οἶδ᾽ ἀκριβῶϲ τοὔνομα·
μεριμνοφροντιϲταὶ καλοί τε κἀγαθοί.

79 ἐπεγείραιμι] ἀνεγ- VE$^{ac}$ 87 πίθωμαι Vv2 (Thomas Magister), Dawes: πείθομαι RV: πιθοῦμαι cett. 88 ἔκϲτρεψον] ἔκτρεψον EU, fortasse recte 95 ἐνοικοῦϲ᾽] sch. θακοῦϲ᾽ legisse suspicatus est Lenting 97 ἄνθρακεϲ Meineke: ἅ- codd.

Φε. αἰβοῖ, πονηροί γ᾽. οἶδα· τοὺϲ ἀλαζόναϲ,
τοὺϲ ὠχριῶνταϲ, τοὺϲ ἀνυποδήτουϲ λέγειϲ,
ὧν ὁ κακοδαίμων Ϲωκράτηϲ καὶ Χαιρεφῶν.
Ϲτ. ἢ ἤ, ϲιώπα. μηδὲν εἴπῃϲ νήπιον.
ἀλλ᾽ εἴ τι κήδει τῶν πατρῴων ἀλφίτων,
τούτων γενοῦ μοι, ϲχαϲάμενοϲ τὴν ἱππικήν.
Φε. οὐκ ἂν μὰ τὸν Διόνυϲον εἰ δοίηϲ γέ μοι
τοὺϲ φαϲιανοὺϲ οὓϲ τρέφει Λεωγόραϲ.
Ϲτ. ἴθ᾽, ἀντιβολῶ ϲ᾽, ὦ φίλτατ᾽ ἀνθρώπων ἐμοί,
ἐλθὼν διδάϲκου.
Φε. καὶ τί ϲοι μαθήϲομαι;
Ϲτ. εἶναι παρ᾽ αὐτοῖϲ φαϲιν ἄμφω τὼ λόγω,
τὸν κρείττον᾽, ὅϲτιϲ ἐϲτί, καὶ τὸν ἥττονα.
τούτοιν τὸν ἕτερον τοῖν λόγοιν, τὸν ἥττονα,
νικᾶν λέγοντά φαϲι τἀδικώτερα.
ἢν οὖν μάθῃϲ μοι τὸν ἄδικον τοῦτον λόγον,
ἃ νῦν ὀφείλω διὰ ϲέ, τούτων τῶν χρεῶν
οὐκ ἂν ἀποδοίην οὐδ᾽ ἂν ὀβολὸν οὐδενί.
Φε. οὐκ ἂν πιθοίμην· οὐ γὰρ ἂν τλαίην ἰδεῖν
τοὺϲ ἱππέαϲ τὸ χρῶμα διακεκναιϲμένοϲ.
Ϲτ. οὐκ ἄρα μὰ τὴν Δήμητρα τῶν γ᾽ ἐμῶν ἔδει,
οὔτ᾽ αὐτὸϲ οὔθ᾽ ὁ ζύγιοϲ οὔθ᾽ ὁ ϲαμφόραϲ·
ἀλλ᾽ ἐξελῶ ϲ᾽ ἐϲ κόρακαϲ ἐκ τῆϲ οἰκίαϲ.
Φε. ἀλλ᾽ οὐ περιόψεταί μ᾽ ὁ θεῖοϲ Μεγακλέηϲ
ἄνιππον. ἀλλ᾽ εἴϲειμι, ϲοῦ δ᾽ οὐ φροντιῶ.
Ϲτ. ἀλλ᾽ οὐδ᾽ ἐγὼ μέντοι πεϲών γε κείϲομαι,
ἀλλ᾽ εὐξάμενοϲ τοῖϲιν θεοῖϲ διδάξομαι
αὐτὸϲ βαδίζων εἰϲ τὸ φροντιϲτήριον.
πῶϲ οὖν γέρων ὢν κἀπιλήϲμων καὶ βραδὺϲ
λόγων ἀκριβῶν ϲκινδαλάμουϲ μαθήϲομαι;

104 v. om. R 108 οὐκ] οὐδ᾽ Blaydes 114 v. om. RV 115 τἀδικώτερα] τἀδικώτατα L 122 ϲαμφόραϲ] ϲαπφόραϲ EKN Θγρ 125 ἀλλ᾽ εἴϲειμι] ὄντ᾽, ἀλλ᾽ εἶμι O7, Cobet 127 τοῖϲιν EL: τοῖϲι cett. 130 ϲκινδαλάμουϲ] -άλμουϲ RV: -αλμοὺϲ EΘ

ἰτητέον. τί ταῦτ' ἔχων ϲτραγγεύομαι
ἀλλ' οὐχὶ κόπτω τὴν θύραν; παῖ, παιδίον.

ΜΑΘΗΤΗϹ

βάλλ' ἐϲ κόρακαϲ. τίϲ ἐϲθ' ὁ κόψαϲ τὴν θύραν;
Ϲτ. Φείδωνοϲ υἱὸϲ Ϲτρεψιάδηϲ Κικυννόθεν.
Μα. ἀμαθήϲ γε νὴ Δί', ὅϲτιϲ οὑτωϲὶ ϲφόδρα
ἀπεριμερίμνωϲ τὴν θύραν λελάκτικαϲ
καὶ φροντίδ' ἐξήμβλωκαϲ ἐξηυρημένην.
Ϲτ. ϲύγγνωθί μοι· τηλοῦ γὰρ οἰκῶ τῶν ἀγρῶν.
ἀλλ' εἰπέ μοι τὸ πρᾶγμα τοὐξημβλωμένον.
Μα. ἀλλ' οὐ θέμιϲ πλὴν τοῖϲ μαθηταῖϲιν λέγειν.
Ϲτ. λέγε νυν ἐμοὶ θαρρῶν· ἐγὼ γὰρ οὑτοϲὶ
ἥκω μαθητὴϲ εἰϲ τὸ φροντιϲτήριον.
Μα. λέξω, νομίϲαι δὲ ταῦτα χρὴ μυϲτήρια.
ἀνήρετ' ἄρτι Χαιρεφῶντα Ϲωκράτηϲ
ψύλλαν ὁπόϲουϲ ἅλλοιτο τοὺϲ αὑτῆϲ πόδαϲ.
δακοῦϲα γὰρ τοῦ Χαιρεφῶντοϲ τὴν ὀφρῦν
ἐπὶ τὴν κεφαλὴν τὴν Ϲωκράτουϲ ἀφήλατο.
Ϲτ. πῶϲ δῆτα διεμέτρηϲε;
Μα. δεξιώτατα.
κηρὸν διατήξαϲ, εἶτα τὴν ψύλλαν λαβὼν
ἐνέβαψεν εἰϲ τὸν κηρὸν αὐτῆϲ τὼ πόδε,
κᾆτα ψυχείϲῃ περιέφυϲαν Περϲικαί.
ταύταϲ ὑπολύϲαϲ ἀνεμέτρει τὸ χωρίον.
Ϲτ. ὦ Ζεῦ βαϲιλεῦ, τῆϲ λεπτότητοϲ τῶν φρενῶν.
Μα. τί δῆτ' ἄν, ἕτερον εἰ πύθοιο Ϲωκράτουϲ
φρόντιϲμα;
Ϲτ. ποῖον; ἀντιβολῶ, κάτειπέ μοι.

131 *ϲτραγγεύομαι*] *ϲτραγεύ-* RVE[ac]K  133 *βάλλ'*] *βάλ'* V  137 *ἐξηυρημένην* A, Porson: *ἐξευρ-* cett.  145 *ἅλλοιτο* Ks.l.[ac]Θ[2]AL, v.l. ap. Su. *ψ* 152 et sch. Pind. O. 14.31: *ἅλοιτο* cett.  147 alterum *τὴν*] *τοῦ* VKNΘL  148 *διεμέτρηϲε* codd. plerique et fortasse Lucianus *Prom.* 6: *τοῦτο διεμέτρηϲε* R: *ἐμέτρηϲε* V: *τοῦτ' ἐμέτρηϲε* L  151 *ψυχείϲῃ* Ct3, Elmsley: *ψυγείϲῃ* codd., Su. *π* 1376: *ψυχέντοϲ* Meineke

Μα. ἀνῄρετ᾽ αὐτὸν Χαιρεφῶν ὁ Ϲφήττιοϲ
ὁπότερα τὴν γνώμην ἔχοι, τὰϲ ἐμπίδαϲ
κατὰ τὸ ϲτόμ᾽ ᾄδειν ἢ κατὰ τοὐρροπύγιον.
Ϲτ. τί δῆτ᾽ ἐκεῖνοϲ εἶπε περὶ τῆϲ ἐμπίδοϲ;
Μα. ἔφαϲκεν εἶναι τοὔντερον τῆϲ ἐμπίδοϲ
ϲτενόν, διὰ λεπτοῦ δ᾽ ὄντοϲ αὐτοῦ τὴν πνοὴν
βίᾳ βαδίζειν εὐθὺ τοὐρροπυγίου·
ἔπειτα κοῖλον πρὸϲ ϲτενῷ προϲκείμενον
τὸν πρωκτὸν ἠχεῖν ὑπὸ βίαϲ τοῦ πνεύματοϲ.
Ϲτ. ϲάλπιγξ ὁ πρωκτόϲ ἐϲτιν ἄρα τῶν ἐμπίδων.
ὦ τριϲμακάριοϲ τοῦ διεντερεύματοϲ.
ἦ ῥᾳδίωϲ φεύγων ἂν ἀποφύγοι δίκην,
ὅϲτιϲ δίοιδε τοὔντερον τῆϲ ἐμπίδοϲ.
Μα. πρῴην δέ γε γνώμην μεγάλην ἀφῃρέθη
ὑπ᾽ ἀϲκαλαβώτου.
Ϲτ. τίνα τρόπον; κάτειπέ μοι.
Μα. ζητοῦντοϲ αὐτοῦ τῆϲ ϲελήνηϲ τὰϲ ὁδοὺϲ
καὶ τὰϲ περιφοράϲ, εἶτ᾽ ἄνω κεχηνότοϲ
ἀπὸ τῆϲ ὀροφῆϲ νύκτωρ γαλεώτηϲ κατέχεϲεν.
Ϲτ. ἥϲθην γαλεώτῃ καταχέϲαντι Ϲωκράτουϲ.
Μα. ἐχθὲϲ δέ γ᾽ ἡμῖν δεῖπνον οὐκ ἦν ἑϲπέραϲ.
Ϲτ. εἶέν. τί οὖν πρὸϲ τἄλφιτ᾽ ἐπαλαμήϲατο;
Μα. κατὰ τῆϲ τραπέζηϲ καταπάϲαϲ λεπτὴν τέφραν,
κάμψαϲ ὀβελίϲκον, εἶτα διαβήτην λαβὼν
ἐκ τῆϲ παλαίϲτραϲ θοἰμάτιον ὑφείλετο.
Ϲτ. τί δῆτ᾽ ἐκεῖνον τὸν Θαλῆν θαυμάζομεν;
ἄνοιγ᾽ ἄνοιγ᾽ ἀνύϲαϲ τὸ φροντιϲτήριον,
καὶ δεῖξον ὡϲ τάχιϲτά μοι τὸν Ϲωκράτη.

156 *Χαιρεφῶν*] *Χαιρεκράτηϲ* vel *Κλειτοφῶν* dubitanter Sommerstein 157 *ἔχοι*] *ἔχει* $E^{pc}$KN$Θ^{pc}$, v.l. ap. Su. ο 474, sch. ad Lucian. *Musc. laud.* 19 161 *διὰ λεπτοῦ* RV: *διαλέπτου* cett. 169 *πρῴην* R, Su. γ 339: *πρώην* cett. 176 *εἶέν* Coulon: *εἶεν* codd. (sed *εἶέν* ut videtur R); non amplius notatur 178 post hunc v. lacunam statuit Kock 179 *θοἰμάτιον*] *ἱμάτιον* sch. R, Demetrius *de eloc.* 125: [P6]: *θυλάκιον* van Herwerden 182 *Ϲωκράτη* Musurus, O8: *-ην* cett.

μαθητιῶ γάρ. ἀλλ' ἄνοιγε τὴν θύραν.
ὦ Ἡράκλειϲ, ταυτὶ ποδαπὰ τὰ θηρία;
Μα. τί ἐθαύμαϲαϲ; τῷ ϲοι δοκοῦϲιν εἰκέναι;
Ϲτ. τοῖϲ ἐκ Πύλου ληφθεῖϲι, τοῖϲ Λακωνικοῖϲ.
ἀτὰρ τί ποτ' εἰϲ τὴν γῆν βλέπουϲιν οὑτοιί;
Μα. ζητοῦϲιν οὗτοι τὰ κατὰ γῆϲ.
Ϲτ. βολβοὺϲ ἄρα
ζητοῦϲι. μή νυν τοῦτό γ' ἔτι φροντίζετε·
ἐγὼ γὰρ οἶδ' ἵν' εἰϲὶ μεγάλοι καὶ καλοί.
τί γὰρ οἵδε δρῶϲιν οἱ ϲφόδρ' ἐγκεκυφότεϲ;
Μα. οὗτοι δ' ἐρεβοδιφῶϲιν ὑπὸ τὸν Τάρταρον.
Ϲτ. τί δῆθ' ὁ πρωκτὸϲ εἰϲ τὸν οὐρανὸν βλέπει;
Μα. αὐτὸϲ καθ' αὑτὸν ἀϲτρονομεῖν διδάϲκεται.
ἀλλ' εἴϲιθ', ἵνα μὴ 'κεῖνοϲ ὑμῖν ἐπιτύχῃ.
Ϲτ. μήπω γε, μήπω γ'· ἀλλ' ἐπιμεινάντων, ἵνα
αὐτοῖϲι κοινώϲω τι πραγμάτιον ἐμόν.
Μα. ἀλλ' οὐχ οἷόν τ' αὐτοῖϲι πρὸϲ τὸν ἀέρα
ἔξω διατρίβειν πολὺν ἄγαν ἐϲτὶν χρόνον.
Ϲτ. πρὸϲ τῶν θεῶν, τί γὰρ τάδ' ἐϲτίν; εἰπέ μοι.
Μα. ἀϲτρονομία μὲν αὑτηί.
Ϲτ. τουτὶ δὲ τί;
Μα. γεωμετρία.
Ϲτ. τοῦτ' οὖν τί ἐϲτι χρήϲιμον;
Μα. γῆν ἀναμετρεῖϲθαι.
Ϲτ. πότερα τὴν κληρουχικήν;
Μα. οὔκ, ἀλλὰ τὴν ϲύμπαϲαν.
Ϲτ. ἀϲτεῖον λέγειϲ·
τὸ γὰρ ϲόφιϲμα δημοτικὸν καὶ χρήϲιμον.
Μα. αὕτη δέ ϲοι γῆϲ περίοδοϲ πάϲηϲ. ὁρᾷϲ;

185 δοκοῦϲιν εἰκέναι V: δοκοῦϲιν ἐοικέναι fere cett.: δοκοῦϲ' ἐοικέναι Np1, Bentley 189 τοῦτό γ' ἔτι Reisig: τοῦτό γε RKΘL: τοῦτ' ἔτι VEN: τουτογὶ Porson 192 δ' RKNΘL: γ' VE^pc 195 ὑμῖν Bergk e sch.: ἡμῖν codd., Su. ε 428 ἐπιτύχῃ] περιτύχῃ E 198 οἷόν τ'] δέον γ' Θγρ 200 τάδ'] τόδ' V^pc 203 ἀναμετρεῖϲθαι] -μετρῆϲαι N

αἵδε μὲν Ἀθῆναι.
Cτ. τί cὺ λέγειc; οὐ πείθομαι,
ἐπεὶ δικαcτὰc οὐχ ὁρῶ καθημένουc.
Μα. ὡc τοῦτ᾽ ἀληθῶc Ἀττικὴ τὸ χωρίον.
Cτ. καὶ ποῦ Κικυννῆc εἰcιν, οὑμοὶ δημόται;
Μα. ἐνταῦθ᾽ ἔνειcιν. ἡ δέ γ᾽ Εὔβοι᾽, ὡc ὁρᾷc,
ἡδὶ παρατέταται μακρὰ πόρρω πάνυ.
Cτ. οἶδ᾽· ὑπὸ γὰρ ἡμῶν παρετάθη καὶ Περικλέουc.
ἀλλ᾽ ἡ Λακεδαίμων ποῦ ᾽cτιν;
Μα. ὅπου ᾽cτίν; αὑτηί.
Cτ. ὡc ἐγγὺc ἡμῶν. τοῦτο μεταφροντίζετε,
ταύτην ἀφ᾽ ἡμῶν ἀπαγαγεῖν πόρρω πάνυ.
Μα. ἀλλ᾽ οὐχ οἷόν τε.
Cτ. νὴ Δί᾽, οἰμώξεcθ᾽ ἄρα.
φέρε, τίc γὰρ οὗτοc οὑπὶ τῆc κρεμάθραc ἀνήρ;
Μα. αὐτόc.
Cτ. τίc αὐτόc;
Μα. Cωκράτηc.
Cτ. ὦ Cωκράτηc.
ἴθ᾽ οὗτοc, ἀναβόηcον αὐτόν μοι μέγα.
Μα. αὐτὸc μὲν οὖν cὺ κάλεcον· οὐ γάρ μοι cχολή.
Cτ. ὦ Cώκρατεc,
ὦ Cωκρατίδιον.

CΩΚΡΑΤΗC

τί με καλεῖc, ὦ ᾽φήμερε;
Cτ. πρῶτον μὲν ὅτι δρᾷc, ἀντιβολῶ, κάτειπέ μοι.
Cω. ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον.
Cτ. ἔπειτ᾽ ἀπὸ ταρροῦ τοὺc θεοὺc ὑπερφρονεῖc,

209 *Ἀττικὴ* Dobree: *Ἀττικὸν* codd. et fortasse P6 210 *Κικυννῆc* Brunck: *-υν(ν)εῖc* vel *-υνῆc* codd. 214 prius *'cτιν*] *'cθ'* A 215 *μεταφροντίζετε* Bentley, cf. sch. R: *μέγα φροντίζετε* Su. *μ* 348: *πάνυ φροντίζετε* codd. 218 *Cωκράτηc* van Leeuwen, duce anonymo in ed. a. 1670: *Cώκρατεc* codd. 226 *ἔπειτ'*] *κἄπειτ'* Planudes ap. Bachmann, *Anecdota* 2.108 *ὑπερφρονεῖc*] *περιφρονεῖc* V

ἀλλ' οὐκ ἀπὸ τῆς γῆς, εἴπερ;
Ϲω. οὐ γὰρ ἄν ποτε
ἐξηῦρον ὀρθῶς τὰ μετέωρα πράγματα,
εἰ μὴ κρεμάσας τὸ νόημα καὶ τὴν φροντίδα
λεπτὴν καταμείξας εἰς τὸν ὅμοιον ἀέρα.
εἰ δ' ὢν χαμαὶ τἄνω κάτωθεν ἐσκόπουν,
οὐκ ἄν ποθ' ηὗρον· οὐ γὰρ ἀλλ' ἡ γῆ βίᾳ
ἕλκει πρὸς αὑτὴν τὴν ἰκμάδα τῆς φροντίδος.
πάσχει δὲ ταὐτὸ τοῦτο καὶ τὰ κάρδαμα.
Ϲτ. πῶς φῄς;
ἡ φροντὶς ἕλκει τὴν ἰκμάδ' εἰς τὰ κάρδαμα;
ἴθι νυν κατάβηθ', ὦ Ϲωκρατίδιον, ὡς ἐμέ,
ἵνα με διδάξῃς ὧνπερ οὕνεκ' ἐλήλυθα.
Ϲω. ἦλθες δὲ κατὰ τί;
Ϲτ. βουλόμενος μαθεῖν λέγειν·
ὑπὸ γὰρ τόκων χρήστων τε δυσκολωτάτων
ἄγομαι, φέρομαι, τὰ χρήματ' ἐνεχυράζομαι.
Ϲω. πόθεν δ' ὑπόχρεως σαυτὸν ἔλαθες γενόμενος;
Ϲτ. νόσος μ' ἐπέτριψεν ἱππική, δεινὴ φαγεῖν.
ἀλλά με δίδαξον τὸν ἕτερον τοῖν σοῖν λόγοιν,
τὸν μηδὲν ἀποδιδόντα. μισθὸν δ' ὅντιν' ἂν
πράττῃ μ', ὀμοῦμαί σοι καταθήσειν τοὺς θεούς.
Ϲω. ποίους θεοὺς ὀμεῖ σύ; πρῶτον γὰρ θεοὶ
ἡμῖν νόμισμ' οὐκ ἔστι.
Ϲτ. τῷ γὰρ ὄμνυτ'; ἢ
σιδαρέοισιν, ὥσπερ ἐν Βυζαντίῳ;
Ϲω. βούλει τὰ θεῖα πράγματ' εἰδέναι σαφῶς
ἅττ' ἐστὶν ὀρθῶς;
Ϲτ. νὴ Δί', εἴπερ ἔστι γε.
Ϲω. καὶ συγγενέσθαι ταῖς Νεφέλαισιν εἰς λόγους,

228 *ἐξηῦρον* Dindorf: *ἐξεῦρον* codd: non amplius notatur 235 *πῶς* P6 ut videtur: *τί* codd. 237 *ὡς*] *εἰς* Es.l., N 238 *διδάξῃς* RN: *ἐκδιδάξῃς* cett. *οὕνεκα*] *ἕνεκα* Vv4 243 *ἐπέτριψεν*] *ἔτριψεν* RVΘγρ 248 *ἢ* huc transp. L: in initio v. 249 praebent vett.: del. Piccolomini 252 *συγγενέσθαι*] *ξυγγ-* KL

ταῖϲ ἡμετέραιϲι δαίμοϲιν;
Ϲτ. μάλιϲτά γε.
Ϲω. κάθιζε τοίνυν ἐπὶ τὸν ἱερὸν ϲκίμποδα.
Ϲτ. ἰδού, κάθημαι.
Ϲω. τουτονὶ τοίνυν λαβὲ
τὸν ϲτέφανον.
Ϲτ. ἐπὶ τί ϲτέφανον; οἴμοι, Ϲώκρατεϲ,
ὥϲπερ με τὸν Ἀθάμανθ' ὅπωϲ μὴ θύϲετε.
Ϲω. οὔκ, ἀλλὰ πάνταϲ ταῦτα τοὺϲ τελουμένουϲ
ἡμεῖϲ ποιοῦμεν.
Ϲτ. εἶτα δὴ τί κερδανῶ;
Ϲω. λέγειν γενήϲει τρῖμμα, κρόταλον, παιπάλη.
ἀλλ' ἔχ' ἀτρεμεί.
Ϲτ. μὰ τὸν Δί' οὐ ψεύϲει γέ με·
καταπαττόμενοϲ γὰρ παιπάλη γενήϲομαι;

Ϲω. εὐφημεῖν χρὴ τὸν πρεϲβύτην καὶ τῆϲ εὐχῆϲ ἐπακούειν.
ὦ δέϲποτ' ἄναξ, ἀμέτρητ' Ἀήρ, ὃϲ ἔχειϲ τὴν γῆν
μετέωρον,
λαμπρόϲ τ' Αἰθήρ, ϲεμναί τε θεαὶ Νεφέλαι
βροντηϲικέραυνοι,
ἄρθητε, φάνητ', ὦ δέϲποιναι, τῷ φροντιϲτῇ μετέωροι.
Ϲτ. μήπω, μήπω γε, πρὶν ἂν τουτὶ πτύξωμαι, μὴ
καταβρεχθῶ.
τὸ δὲ μηδὲ κυνῆν οἴκοθεν ἐλθεῖν ἐμὲ τὸν κακοδαίμον'
ἔχοντα.
Ϲω. ἔλθετε δῆτ', ὦ πολυτίμητοι Νεφέλαι, τῷδ' εἰϲ
ἐπίδειξιν·
εἴτ' ἐπ' Ὀλύμπου κορυφαῖϲ ἱεραῖϲ χιονοβλήτοιϲι
κάθηϲθε,

258 *πάνταϲ ταῦτα* Reiske: *πάντα ταῦτα* EKL: *ταῦτα πάντα* cett. 261 *ἀτρεμεί* Hermann: *-μί* RV: *-μαϲ* cett. 262 interrogationem agnovit West 263 *ἐπακούειν*] *ὑπ-* R[ac]EKNΘL 268 *μηδὲ* EMd1U: *μὴ* cett., sch. *Vesp.* 445, Eustathius 1542.42, unde *κυνέην* Salmasius *κακοδαίμον'*] *δύϲτηνον* VN: *ταπεινὸν* Eustathius

εἴτ' Ὠκεανοῦ πατρὸϲ ἐν κήποιϲ ἱερὸν χορὸν ἵϲτατε Νύμφαιϲ,
εἴτ' ἄρα Νείλου προχοαῖϲ ὑδάτων χρυϲέαιϲ ἀρύτεϲθε πρόχοιϲιν,
ἢ Μαιῶτιν λίμνην ἔχετ' ἢ ϲκόπελον νιφόεντα Μίμαντοϲ·
ὑπακούϲατε δεξάμεναι θυϲίαν καὶ τοῖϲ ἱεροῖϲι χαρεῖϲαι.

ΧΟΡΟϹ

ἀέναοι Νεφέλαι, [ϲτρ.
ἀρθῶμεν φανεραὶ δροϲερὰν φύϲιν εὐάγητον
πατρὸϲ ἀπ' Ὠκεανοῦ βαρυαχέοϲ
ὑψηλῶν ὀρέων κορυφὰϲ ἔπι δενδροκόμουϲ, ἵνα
τηλεφανεῖϲ ϲκοπιὰϲ ἀφορώμεθα
καρπούϲ τ' ἀρδομέναν ἱερὰν χθόνα
καὶ ποταμῶν ζαθέων κελαδήματα
καὶ πόντον κελάδοντα βαρύβρομον·
ὄμμα γὰρ αἰθέροϲ ἀκάματον ϲελαγεῖται
μαρμαρέαιϲιν αὐγαῖϲ.
ἀλλ' ἀποϲειϲάμεναι νέφοϲ ὄμβριον
ἀθανάταϲ ἰδέαϲ ἐπιδώμεθα
τηλεϲκόπῳ ὄμματι γαῖαν.

Ϲω. ὦ μέγα ϲεμναὶ Νεφέλαι, φανερῶϲ ἠκούϲατέ μου καλέϲαντοϲ.
ᾔϲθου φωνῆϲ ἅμα καὶ βροντῆϲ μυκηϲαμένηϲ θεόϲεπτον;

Ϲτ. καὶ ϲέβομαί γ', ὦ πολυτίμητοι, καὶ βούλομαι ἀνταποπαρδεῖν

272 ἀρύτεϲθε Su. α 4067: ἀρύεϲθε codd. πρόχοιϲιν R$^{ac}$: πρόχυϲιν Su. praeter cod. T: προχόοιϲι R$^{pc}$VΘγρ: προχόοιϲ EKNΘ: πρόχουϲιν cett., Su. cod. T 276 εὐάγητον] εὐάητον R post hanc vocem add. ἀφεῖϲαι U 282 καρπούϲ] κήπουϲ Wilamowitz ante ἱερὰν add. θ' codd. praeter VAK$^{pc}$Md1 287 μαρμαρέαιϲιν V: -έηϲιν Md1: -έαιϲ ἐν cett. 289 ἀθανάταϲ ἰδέαϲ R: -αιϲ -αιϲ cett. 292 θεόϲεπτον Dover, duce Wilamowitz: θεοϲέπτου codd., Su. θ 184

πρὸς τὰς βροντάς· οὕτως αὐτὰς τετραμαίνω καὶ πεφόβημαι·
κεἰ θέμις ἐςτίν, νυνί γ' ἤδη, κεἰ μὴ θέμις ἐςτί, χεςείω.
Cω. οὐ μὴ ςκώψει, μηδὲ ποιήςεις ἅπερ οἱ τρυγοδαίμονες οὗτοι;
ἀλλ' εὐφήμει· μέγα γάρ τι θεῶν κινεῖται ςμῆνος ἀοιδαῖς.

Χο. παρθένοι ὀμβροφόροι, [ἀντ.
ἔλθωμεν λιπαρὰν χθόνα Παλλάδος, εὔανδρον γᾶν
Κέκροπος ὀψόμεναι πολυήρατον·
οὗ ςέβας ἀρρήτων ἱερῶν, ἵνα μυςτοδόκος δόμος
ἐν τελεταῖς ἁγίαις ἀναδείκνυται,
οὐρανίοις τε θεοῖς δωρήματα,
ναοί θ' ὑψερεφεῖς καὶ ἀγάλματα,
καὶ πρόςοδοι μακάρων ἱερώταται,
εὐςτέφανοί τε θεῶν θυςίαι θαλίαι τε
παντοδαπαῖςιν ὥραις,
ἦρί τ' ἐπερχομένῳ Βρομία χάρις,
εὐκελάδων τε χορῶν ἐρεθίςματα
καὶ μοῦςα βαρύβρομος αὐλῶν.

Cτ. πρὸς τοῦ Διός, ἀντιβολῶ ςε, φράςον, τίνες εἴς', ὦ Cώκρατες, αὗται
αἱ φθεγξάμεναι τοῦτο τὸ ςεμνόν; μῶν ἡρῷναί τινές εἰςιν;
Cω. ἥκιςτ', ἀλλ' οὐράνιαι Νεφέλαι, μεγάλαι θεαὶ ἀνδράςιν ἀργοῖς,
αἵπερ γνώμην καὶ διάλεξιν καὶ νοῦν ἡμῖν παρέχουςιν

294 τετραμαίνω Su. τ 396: τετρατμαίνω R$^{ac}$: τετραμμαίνω V: τετρεμαίνω cett.: cf. 374 296 ςκώψει Elmsley: -ῃς codd. ποιήςεις R: -ῃς cett. 299 post λιπαρὰν add. ἐς codd. praeter KL 306 ὑψερεφεῖς K$^{pc}$: ὑψη- fere cett.: ὑψι- L 310 παντοδαπαῖςιν Blaydes: -αῖς ἐν vel -αῖςιν ἐν codd.

καὶ τερατείαν καὶ περίλεξιν καὶ κροῦϲιν καὶ κατάληψιν.
Ϲτ. ταῦτ' ἄρ' ἀκούϲαϲ' αὐτῶν τὸ φθέγμ' ἡ ψυχή μου πεπότηται
καὶ λεπτολογεῖν ἤδη ζητεῖ καὶ περὶ καπνοῦ ϲτενολεϲχεῖν
καὶ γνωμιδίῳ γνώμην νύξαϲ' ἑτέρῳ λόγῳ ἀντιλογῆϲαι·
ὥϲτ', εἴ πωϲ ἔϲτιν, ἰδεῖν αὐτὰϲ ἤδη φανερῶϲ ἐπιθυμῶ.
Ϲω. βλέπε νυν δευρὶ πρὸϲ τὴν Πάρνηθ'· ἤδη γὰρ ὁρῶ κατιούϲαϲ
ἡϲυχῇ αὐτάϲ.
Ϲτ. φέρε, ποῦ; δεῖξον.
Ϲω. χωροῦϲ' αὗται πάνυ πολλαὶ
διὰ τῶν κοίλων καὶ τῶν δαϲέων, αὗται πλάγιαι.
Ϲτ. τί τὸ χρῆμα;
ὡϲ οὐ καθορῶ.
Ϲω. παρὰ τὴν εἴϲοδον.
Ϲτ. ἤδη νυνὶ μόλιϲ οὕτωϲ.
Ϲω. νῦν γέ τοι ἤδη καθορᾷϲ αὐτάϲ, εἰ μὴ λημᾷϲ κολοκύνταιϲ.
Ϲτ. νὴ Δί' ἔγωγ', ὦ πολυτίμητοι· πάντα γὰρ ἤδη κατέχουϲιν.
Ϲω. ταύταϲ μέντοι ϲὺ θεὰϲ οὔϲαϲ οὐκ ᾔδειϲ οὐδ' ἐνόμιζεϲ;
Ϲτ. μὰ Δί', ἀλλ' ὁμίχλην καὶ δρόϲον αὐτὰϲ ἡγούμην καὶ καπνὸν εἶναι.
Ϲω. οὐ γὰρ μὰ Δί' οἶϲθ' ὁτιὴ πλείϲτουϲ αὗται βόϲκουϲι ϲοφιϲτάϲ,
Θουριομάντειϲ, ἰατροτέχναϲ, ϲφραγιδονυχαργοκομήταϲ,
κυκλίων τε χορῶν ᾀϲματοκάμπταϲ, ἄνδραϲ μετεωροφένακαϲ,

322 φανερῶϲ] φανερὰϲ Halbertsma  324 ἡϲυχῇ Elmsley: ἡϲύχωϲ vel ἥϲυχοϲ codd.: ἥϲυχα (ταύταϲ) codd. recc.  326 παρὰ] πρὸϲ VE$^{pc}$N  νυνὶ] νῦν RE$^{*}$Θ: νῦν καὶ E$^{pc}$N  οὕτωϲ R: ὁρῶ VE$^{*}$KΘL: ἀθρῶ fere cett.  329 ᾔδειϲ] ᾔδηϲθ' Hirschig, fortasse recte

οὐδὲν δρῶνταϲ βόϲκουϲ᾽ ἀργούϲ, ὅτι ταύταϲ μουϲοποιοῦϲιν.
Ϲτ. ταῦτ᾽ ἄρ᾽ ἐποίουν "ὑγρᾶν Νεφελᾶν ϲτρεπταίγλαν δάιον ὁρμάν",
"πλοκάμουϲ θ᾽ ἑκατογκεφάλα Τυφῶ", "πρημαινούϲαϲ τε θυέλλαϲ",
εἶτ᾽ "ἀερίαϲ διερᾶϲ γαμψοὺϲ οἰωνοὺϲ ἀερονηχεῖϲ",
"ὄμβρουϲ θ᾽ ὑδάτων δροϲερᾶν νεφελᾶν"· εἶτ᾽ ἀντ᾽ αὐτῶν κατέπινον
κεϲτρᾶν τεμάχη μεγαλᾶν ἀγαθᾶν κρέα τ᾽ ὀρνίθεια κιχηλᾶν.
Ϲω. διὰ μέντοι τάϲδ᾽. οὐχὶ δικαίωϲ;
Ϲτ. λέξον δή μοι, τί παθοῦϲαι,
εἴπερ νεφέλαι γ᾽ εἰϲὶν ἀληθῶϲ, θνηταῖϲ εἴξαϲι γυναιξίν;
οὐ γὰρ ἐκεῖναί γ᾽ εἰϲὶ τοιαῦται.
Ϲω. φέρε, ποῖαι γάρ τινέϲ εἰϲιν;
Ϲτ. οὐκ οἶδα ϲαφῶϲ· εἴξαϲιν δ᾽ οὖν ἐρίοιϲιν πεπταμένοιϲιν,
κοὐχὶ γυναιξίν, μὰ Δί᾽, οὐδ᾽ ὁτιοῦν· αὗται δὲ ῥῖναϲ ἔχουϲιν.
Ϲω. ἀπόκριναί νυν ἅττ᾽ ἂν ἔρωμαι.
Ϲτ. λέγε νυν ταχέωϲ ὅτι βούλει.
Ϲω. ἤδη ποτ᾽ ἀναβλέψαϲ εἶδεϲ νεφέλην κενταύρῳ ὁμοίαν
ἢ παρδάλει ἢ λύκῳ ἢ ταύρῳ;
Ϲτ. νὴ Δί᾽ ἔγωγ᾽. εἶτα τί τοῦτο;
Ϲω. γίγνονται πάνθ᾽ ὅτι βούλονται· κᾆτ᾽ ἢν μὲν ἴδωϲι κομήτην

335 ϲτρεπταίγλαν] -αίγλαϲ R: -αίγλᾶν Θ: -αιγλᾶν codd. recc., v.l. ap. sch. Thomano-Tricliniana: ϲτραπταίγλαν Bentley 337 διερᾶϲ Reisig: διερὰϲ codd. γαμψούϲ ⟨τ᾽⟩ Par 9, Bentley 339 μεγαλᾶν V, lm. sch. E: μεγάλαν cett. 340 post δὴ add. νῦν codd. praeter KL, sed νῦν K s.l. 343 δ᾽ οὖν] γοῦν VMd1U, Choeroboscus in Theod. 127.4, *Et. Magn.* 297.19 ἐρίοιϲιν Kuster: -οιϲι codd., Choeroboscus, *Et. Magn.*, Su. ει 165 -ϲιν πεπταμένοιϲιν] διαπεπταμένοιϲιν Reisig 344 γυναιξίν L, lm. sch. E: -ξί cett. δὲ EL: δέ γε fere cett. 345 ἂν E[pc], Daubuz: ἄν ϲ᾽ cett. 347 παρδάλει] πορδάλει VMd1 348 γίγνονται Brunck: γίν- codd. ὅ τι] ὅϲα VMd1

ἄγριόν τινα τῶν λαϲίων τούτων, οἷόνπερ τὸν Ξενοφάντου,
ϲκώπτουϲαι τὴν μανίαν αὐτοῦ κενταύροιϲ ᾔκαϲαν αὑτάϲ.
Ϲτ. τί γὰρ ἢν ἅρπαγα τῶν δημοϲίων κατίδωϲι Ϲίμωνα, τί δρῶϲιν;
Ϲω. ἀποφαίνουϲαι τὴν φύϲιν αὐτοῦ λύκοι ἐξαίφνηϲ ἐγένοντο.
Ϲτ. ταῦτ᾽ ἄρα, ταῦτα Κλεώνυμον αὗται τὸν ῥίψαϲπιν χθὲϲ ἰδοῦϲαι,
ὅτι δειλότατον τοῦτον ἑώρων, ἔλαφοι διὰ τοῦτ᾽ ἐγένοντο.
Ϲω. καὶ νῦν γ᾽ ὅτι Κλειϲθένη εἶδον, ὁρᾷϲ, διὰ τοῦτ᾽ ἐγένοντο γυναῖκεϲ.
Ϲτ. χαίρετε τοίνυν, ὦ δέϲποιναι· καὶ νῦν, εἴπερ τινὶ κἄλλῳ,
οὐρανομήκη ῥήξατε κἀμοὶ φωνήν, ὦ παμβαϲίλειαι.
Χο. χαῖρ᾽, ὦ πρεϲβῦτα παλαιογενέϲ, θηρατὰ λόγων φιλομούϲων.
ϲύ τε, λεπτοτάτων λήρων ἱερεῦ, φράζε πρὸϲ ἡμᾶϲ ὅ τι χρῄζειϲ·
οὐ γὰρ ἂν ἄλλῳ γ᾽ ὑπακούϲαιμεν τῶν νῦν μετεωροϲοφιϲτῶν
πλὴν ἢ Προδίκῳ, τῷ μὲν ϲοφίαϲ καὶ γνώμηϲ οὕνεκα, ϲοὶ δέ,
ὅτι βρενθύει τ᾽ ἐν ταῖϲιν ὁδοῖϲ καὶ τὠφθαλμὼ παραβάλλειϲ
κἀνυπόδητοϲ κακὰ πόλλ᾽ ἀνέχει κἀφ᾽ ἡμῖν ϲεμνοπροϲωπεῖϲ.
Ϲτ. ὦ γῆ, τοῦ φθέγματοϲ, ὡϲ ἱερὸν καὶ ϲεμνὸν καὶ τερατῶδεϲ.
Ϲω. αὗται γάρ τοι μόναι εἰϲὶ θεαί, τἄλλα δὲ πάντ᾽ ἐϲτὶ φλύαροϲ.

349 Ξενοφάντου] Ξενοφῶντοϲ V 355 Κλειϲθένη E: -νην cett. 358 παλαιογενέϲ] παλαιγενέϲ VEKΘ, sch. RV, Su. π 54 362 παραβάλλειϲ] -ει EKΘL, Su. β 532 364 ϲεμνὸν] τερπνὸν VMd1

Ϲτ. ὁ Ζεὺϲ δ' ὑμῖν, φέρε, πρὸϲ τῆϲ γῆϲ, οὑλύμπιοϲ οὐ θεόϲ ἐϲτιν;
Ϲω. ποῖοϲ Ζεύϲ; οὐ μὴ ληρήϲειϲ· οὐδ' ἔϲτι Ζεύϲ.
Ϲτ. τί λέγειϲ ϲύ;
ἀλλὰ τίϲ ὕει; τουτὶ γὰρ ἔμοιγ' ἀπόφηναι πρῶτον ἁπάντων.
Ϲω. αὗται δήπου· μεγάλοιϲ δέ ϲ' ἐγὼ ϲημείοιϲ αὐτὸ διδάξω.
φέρε, ποῦ γὰρ πώποτ' ἄνευ νεφελῶν ὕοντ' ἤδη τεθέαϲαι;
καίτοι χρῆν αἰθρίαϲ ὕειν αὐτόν, ταύταϲ δ' ἀποδημεῖν.
Ϲτ. νὴ τὸν Ἀπόλλω, τοῦτό γέ τοι τῷ νυνὶ λόγῳ εὖ προϲέφυϲαϲ·
καίτοι πρότερον τὸν Δί' ἀληθῶϲ ᾤμην διὰ κοϲκίνου οὐρεῖν.
ἀλλ' ὅϲτιϲ ὁ βροντῶν ἐϲτι φράϲον, τοῦθ' ὅ με ποιεῖ τετραμαίνειν.
Ϲω. αὗται βροντῶϲι κυλινδόμεναι.
Ϲτ. τῷ τρόπῳ, ὦ πάντα ϲὺ τολμῶν;
Ϲω. ὅταν ἐμπληϲθῶϲ' ὕδατοϲ πολλοῦ κἀναγκαϲθῶϲι φέρεϲθαι
κατακριμνάμεναι πλήρειϲ ὄμβρου δι' ἀνάγκην, εἶτα βαρεῖαι
εἰϲ ἀλλήλαϲ ἐμπίπτουϲαι ῥήγνυνται καὶ παταγοῦϲιν.
Ϲτ. ὁ δ' ἀναγκάζων ἐϲτὶ τίϲ αὐτάϲ—οὐχ ὁ Ζεύϲ;—ὥϲτε φέρεϲθαι;
Ϲω. ἥκιϲτ', ἀλλ' αἰθέριοϲ Δῖνοϲ.
Ϲτ. Δῖνοϲ; τουτί μ' ἐλελήθει,
ὁ Ζεὺϲ οὐκ ὤν, ἀλλ' ἀντ' αὐτοῦ Δῖνοϲ νυνὶ βαϲιλεύων.

366 ὑμῖν E[ac] Ψ, Daubuz, Dobree: ἡμῖν cett. 367 ληρήϲειϲ R s.l.: -ϲῃϲ cett. 371 post αἰθρίαϲ add. οὔϲηϲ VMd1, Su. α 3291 372 τῷ νυνὶ] δὴ τῷ νῦν Porson 374 τοῦθ' ὅ VKΘ: τοῦτο RENL τετραμμαίνειν (sic) V: τετρεμαίνειν cett.: cf. 294 377 κατακριμνάμεναι V: κατακρημ- vel κᾆτα κρημ- cett.

ἀτὰρ οὐδέν πω περὶ τοῦ πατάγου καὶ τῆϲ βροντῆϲ μ' ἐδίδαξαϲ.
Ϲω. οὐκ ἤκουϲάϲ μου τὰϲ νεφέλαϲ ὕδατοϲ μεϲτὰϲ ὅτι φημὶ
ἐμπιπτούϲαϲ εἰϲ ἀλλήλαϲ παταγεῖν διὰ τὴν πυκνότητα;
Ϲτ. φέρε, τουτὶ τῷ χρὴ πιϲτεύειν;
Ϲω. ἀπὸ ϲαυτοῦ 'γώ ϲε διδάξω.
ἤδη ζωμοῦ Παναθηναίοιϲ ἐμπληϲθεὶϲ εἶτ' ἐταράχθηϲ
τὴν γαϲτέρα, καὶ κλόνοϲ ἐξαίφνηϲ αὐτὴν διεκορκορύγηϲεν;
Ϲτ. νὴ τὸν Ἀπόλλω, καὶ δεινὰ ποιεῖ γ' εὐθύϲ μοι καὶ τετάρακται,
χὥϲπερ βροντὴ τὸ ζωμίδιον παταγεῖ καὶ δεινὰ κέκραγεν·
ἀτρέμαϲ πρῶτον "παππὰξ παππάξ", κἄπειτ' ἐπάγει "παπαπαππάξ",
χὤταν χέζω, κομιδῇ βροντᾷ "παπαπαππάξ", ὥϲπερ ἐκεῖναι.
Ϲω. ϲκέψαι τοίνυν ἀπὸ γαϲτριδίου τυννουτουὶ οἷα πέπορδαϲ·
τὸν δ' ἀέρα τόνδ' ὄντ' ἀπέραντον πῶϲ οὐκ εἰκὸϲ μέγα βροντᾶν;
Ϲτ. ταῦτ' ἄρα καὶ τὠνόματ' ἀλλήλοιν βροντὴ καὶ πορδὴ ὁμοίω.
ἀλλ' ὁ κεραυνὸϲ πόθεν αὖ φέρεται λάμπων πυρί, τοῦτο δίδαξον,
καὶ καταφρύγει βάλλων ἡμᾶϲ, τοὺϲ δὲ ζῶνταϲ περιφλεύει;
τοῦτον γὰρ δὴ φανερῶϲ ὁ Ζεὺϲ ἵηϲ' ἐπὶ τοὺϲ ἐπιόρκουϲ.
Ϲω. καὶ πῶϲ, ὦ μῶρε ϲὺ καὶ Κρονίων ὄζων καὶ βεκκεϲέληνε,

382 οὐδέν πω V: οὐδέπω cett. 384 εἰϲ ἀλλήλαϲ] ἀλλήλαιϲι V πυκνότητα] ὑγρότητα V 387 ἐξαίφνηϲ post αὐτὴν transp. VANU 394 hunc v. Socrati continuant quidam 396 περιφλεύει Blaydes: -φλύει codd. plerique: -φλέγει VEs.l. Θi.l.

*εἴπερ βάλλει τοὺϲ ἐπιόρκουϲ, δῆτ᾿ οὐχὶ Cίμων᾿ ἐνέπρηϲεν*
*οὐδὲ Κλεώνυμον οὐδὲ Θέωρον; καίτοι ϲφόδρα γ᾿ εἴϲ᾿ ἐπίορκοι·*
*ἀλλὰ τὸν αὑτοῦ γε νεὼν βάλλει καὶ Cούνιον, ἄκρον Ἀθηνέων*
*καὶ τὰϲ δρῦϲ τὰϲ μεγάλαϲ· τί μαθών; οὐ γὰρ δὴ δρῦϲ γ᾿ ἐπιορκεῖ.*
Cτ. *οὐκ οἶδ᾿· ἀτὰρ εὖ ϲὺ λέγειν φαίνει. τί γάρ ἐϲτιν δῆθ᾿ ὁ κεραυνόϲ;*
Cω. *ὅταν εἰϲ ταύταϲ ἄνεμοϲ ξηρὸϲ μετεωριϲθεὶϲ κατακληϲθῇ,*
*ἔνδοθεν αὐτὰϲ ὥϲπερ κύϲτιν φυϲᾷ, κἄπειθ᾿ ὑπ᾿ ἀνάγκηϲ*
*ῥήξαϲ αὐτὰϲ ἔξω φέρεται ϲοβαρὸϲ διὰ τὴν πυκνότητα,*
*ὑπὸ τοῦ ῥοίβδου καὶ τῆϲ ῥύμηϲ αὐτὸϲ ἑαυτὸν κατακαίων.*
Cτ. *νὴ Δί᾿ ἐγὼ γοῦν ἀτεχνῶϲ ἔπαθον τουτί ποτε Διαϲίοιϲιν,*
*ὀπτῶν γαϲτέρα τοῖϲ ϲυγγενέϲιν, κᾆτ᾿ οὐκ ἔϲχων ἀμελήϲαϲ·*
*ἡ δ᾿ ἄρ᾿ ἐφυϲᾶτ᾿, εἶτ᾿ ἐξαίφνηϲ διαλακήϲαϲα πρὸϲ αὐτὼ*
*τὠφθαλμώ μου προϲετίληϲεν καὶ κατέκαυϲεν τὸ πρόϲωπον.*

399 *δῆτ᾿* VE$^{pc}$: *πῶϲ* NΘ$^{ac}$, Su. *κ* 1379: *πῶϲ δῆτ᾿* EΘ$^{pc}$L, Su. *ϲ* 447, sch. *Ach.* 134 401 *Ἀθηνέων* Porson: *Ἀθηναίων* RVEMd1L, sch. Dion. Per. 506: *Ἀθηνῶν* KNΘ, Demetrius *de eloc.* 150 402 *μαθών* RVKs.l. L: *παθών* EKi.l.NΘγρ *γε* VE$^{pc}$: om. RE$^{ac}$KNΘL 403 *ἐϲτιν* codd. recc.: *ἐϲτι* cett. 404 *κατακληϲθῇ* Meineke: *-κλειϲθῇ* codd. 407 *κατακαίων* RV: *-κάων* codd. plerique 409 *ὀπτῶν* R: *ὤπτων* cett. *ϲυγγενέϲιν* RL: *-ϲι* cett. *ἔϲχων* ΘL, novit sch. vet.: *ἔϲχον* cett., Su. *ο* 886 411 *προϲετίληϲεν* et *κατέκαυϲεν* RL: *-ϲε ... -ϲε* cett. post v. 411 traiecit vv. 423–6 Fritzsche

*Cω.* ἄλλο τι δῆτ' οὐ νομιεῖc ἤδη θεὸν οὐδένα πλὴν ἅπερ ἡμεῖc, 423
τὸ Χάοc τουτὶ καὶ τὰc Νεφέλαc καὶ τὴν γλῶτταν, τρία ταυτί;
*Cτ.* οὐδ' ἂν διαλεχθείην γ' ἀτεχνῶc τοῖc ἄλλοιc οὐδ' ἂν ἀπαντῶν· 425
οὐδ' ἂν θύcαιμ' οὐδ' ἂν cπείcαιμ', οὐδ' ἐπιθείην λιβανωτόν. 426

*Χο.* ὦ τῆc μεγάληc ἐπιθυμήcαc cοφίαc ἄνθρωπε παρ' ἡμῶν, 412
ὡc εὐδαίμων ἐν Ἀθηναίοιc καὶ τοῖc Ἕλληcι γενήcει,
εἰ μνήμων εἶ καὶ φροντιcτὴc καὶ τὸ ταλαίπωρον ἔνεcτιν
ἐν τῇ ψυχῇ, καὶ μὴ κάμνειc μήθ' ἑcτὼc μήτε βαδίζων, 415
μήτε ῥιγῶν ἄχθει λίαν μήτ' ἀριcτᾶν ἐπιθυμεῖc,
οἴνου τ' ἀπέχει καὶ γυμναcίων καὶ τῶν ἄλλων ἀνοήτων,
καὶ βέλτιcτον τοῦτο νομίζειc, ὅπερ εἰκὸc δεξιὸν ἄνδρα,
νικᾶν πράττων καὶ βουλεύων καὶ τῇ γλώττῃ πολεμίζων.
*Cτ.* ἀλλ' οὕνεκά γε ψυχῆc cτερρᾶc δυcκολοκοίτου τε μερίμνηc 420
καὶ φειδωλοῦ καὶ τρυcιβίου γαcτρὸc καὶ θυμβρεπιδείπνου,
ἀμέλει, θαρρῶν οὕνεκα τούτων ἐπιχαλκεύειν παρέχοιμ' ἄν. 422

423 *ἄλλο τι* Grynaeus post Musurum (*aliud aliquid* Divus): *ἀλλ' ὅτι* codd. *δῆτ' οὐ* E$^{pc}$NΘ: *δῆτ' οὖν* VE$^{ac}$L: *δῆτ' οὖν τ' οὐ* K: *δὴ* R 425 *γ'* RVEΘ$^{pc}$X: om. cett. 412 *ἄνθρωπε*] *ὤν-* RVE *παρ' ἡμῶν*] *παρ' ἡμῖν* V: *δικαίωc* Diog. L. 2.27 413 *γενήcει*] *διάξειc* vel *διαζῇc* Diog. L. 414 *εἰ ... εἶ*] *εἶ γὰρ μνήμων* Diog. L. 415 *ψυχῇ*] *γνώμῃ* Diog. L. 416 *μήτε ... μήτ'*] *μηδὲ ... μηδ'* Blaydes *ἀριcτᾶν*] *ἀρίcτων* Diog. L.: *ἀριcτῶν* Su. τ 954 cod. G 417 *οἴνου* codd., Diog. L., Su. α 2548: *ὕπνου* *Et. Magn.* 394.32 *καὶ γυμναcίων*] *κἀδηφαγίαc* Diog. L. 420 *οὕνεκα* Elmsley: *ἕνεκεν* codd.: *εἵνεκα* Bergk 422 *οὕνεκα* Elmsley: *εἵνεκα* V: *ἕνεκα* cett.

Χο. λέγε νυν ἡμῖν ὅτι cοι δρῶμεν θαρρῶν· ὡc οὐκ ἀτυχήcειc,
ἡμᾶc τιμῶν καὶ θαυμάζων καὶ ζητῶν δεξιὸc εἶναι.
Cτ. ὦ δέcποιναι, δέομαι τοίνυν ὑμῶν τουτὶ πάνυ μικρόν,
τῶν Ἑλλήνων εἶναί με λέγειν ἑκατὸν cταδίοιcιν ἄριcτον.
Χο. ἀλλ' ἔcται cοι τοῦτο παρ' ἡμῶν· ὥcτε τὸ λοιπόν γ' ἀπὸ τουδὶ
ἐν τῷ δήμῳ γνώμαc οὐδεὶc νικήcει πλείοναc ἢ cύ.
Cτ. μὴ 'μοιγε λέγειν γνώμαc μεγάλαc· οὐ γὰρ τούτων ἐπιθυμῶ,
ἀλλ' ὅc' ἐμαυτῷ cτρεψοδικῆcαι καὶ τοὺc χρήcταc διολιcθεῖν.
Χο. τεύξει τοίνυν ὧν ἱμείρειc· οὐ γὰρ μεγάλων ἐπιθυμεῖc.
ἀλλὰ cεαυτὸν θαρρῶν παράδοc τοῖc ἡμετέροιc προπόλοιcιν.
Cτ. δράcω ταῦθ' ὑμῖν πιcτεύcαc· ἡ γὰρ ἀνάγκη με πιέζει
διὰ τοὺc ἵππουc τοὺc κοππατίαc καὶ τὸν γάμον ὅc μ' ἐπέτριψεν.
νῦν οὖν ἀτεχνῶc ὅ τι βούλονται
τουτὶ τό γ' ἐμὸν cῶμ' αὐτοῖcιν
παρέχω, τύπτειν, πεινῆν, διψῆν,
αὐχμεῖν, ῥιγῶν, ἀcκὸν δείρειν,
εἴπερ τὰ χρέα διαφευξοῦμαι,
τοῖc τ' ἀνθρώποιc εἶναι δόξω
θραcύc, εὔγλωττοc, τολμηρόc, ἴτηc,
βδελυρόc, ψευδῶν cυγκολλητήc,
εὑρηcιεπήc, περίτριμμα δικῶν,
κύρβιc, κρόταλον, κίναδοc, τρύμη,

431 γ' R$^{pc}$NL: om. R$^{ac}$VEKΘ 436 *θαρρῶν* hic RVE$^{pc}$N: post *παράδοc* cett. 439 post *οὖν* add. *χρήcθων* codd.: del. Cobet: *νῦν οὖν* ⟨*οὗτοι*⟩ *χρήcθων* Reisig, ⟨*μ' οὗτοι*⟩ Sommerstein 440 *τό γ' ἐμὸν*] *τοὐμὸν* Cobet 442 *ῥιγῶν* Dobree: *ῥιγοῦν* codd. *δείρειν* Scaliger: *δέρειν* codd. vett.: *δαίρειν* L

μάcθλης, εἴρων, γλοιός, ἀλαζών,
κέντρων, μιαρός, cτρόφις, ἀργαλέος,
ματιολοιχός.
ταῦτ' εἴ με καλοῦc' ἀπαντῶντες,
δρώντων ἀτεχνῶc ὅτι χρῄζουcιν·
κεἰ βούλονται,
νὴ τὴν Δήμητρ' ἔκ μου χορδὴν
τοῖc φροντιcταῖc παραθέντων.

Χο. λῆμα μὲν πάρεcτι τῳδέ γ' οὐκ ἄτολμον ἀλλ' ἕτοιμον.
ἴcθι δ' ὡc
ταῦτα μαθὼν παρ' ἐμοῦ κλέος οὐρανόμηκες
ἐν βροτοῖcιν ἕξειc.

Cτ. τί πείcομαι;

Χο. τὸν πάντα χρόνον μετ' ἐμοῦ
ζηλωτότατον βίον ἀνθρώπων διάξειc.

Cτ. ἆρά γε τοῦτ' ἄρ' ἐγώ ποτ' ὄψομαι;

Χο. ὥcτε γέ cου
πολλοὺc ἐπὶ ταῖcι θύραιc ἀεὶ καθῆcθαι,
βουλομένουc ἀνακοινοῦcθαι τε καὶ εἰc λόγον ἐλθεῖν
πράγματα κἀντιγραφὰc πολλῶν ταλάντων,
ἄξια cῇ φρενὶ cυμβουλευcομένουc μετὰ coῦ.

ἀλλ' ἐγχείρει τὸν πρεcβύτην ὅ τι περ μέλλειc
προδιδάcκειν,
καὶ διακίνει τὸν νοῦν αὐτοῦ καὶ τῆc γνώμηc ἀποπειρῶ.

Cω. ἄγε δή, κάτειπέ μοι cὺ τὸν cαυτοῦ τρόπον,
ἵν' αὐτὸν εἰδὼc ὅcτιc ἐcτὶ μηχανὰc
ἤδη 'πὶ τούτοιc πρόc cε καινὰc προcφέρω.

Cτ. τί δέ; τειχομαχεῖν μοι διανοεῖ, πρὸc τῶν θεῶν;

Cω. οὔκ, ἀλλὰ βραχέα cου πυθέcθαι βούλομαι,

451 ματιολοιχόc] ματτυολοιχόc Ln5, Bentley 452 ἀπαντῶντεc R: ἁ- cett. καλοῦc' RK: -οῦcιν V: λέγουc' ENΘ: λέγουcιν L 453 χρῄζουcιν L: -cι cett. 466 ὄψομαι] ἐπόψομαι Su. α 3730 471 ἐc λόγον (sic) L, cf. sch. V: εὐλόγουc V: εἰc λόγουc cett. 480 cε Blaydes: cὲ codd.

εἰ μνημονικὸϲ εἶ.

Ϲτ. δύο τρόπω, νὴ τὸν Δία.

ἢν μέν γ' ὀφείληταί τί μοι, μνήμων πάνυ·

ἐὰν δ' ὀφείλω ϲχέτλιοϲ, ἐπιλήϲμων πάνυ.

Ϲω. ἔνεϲτι δῆτα μανθάνειν ἐν τῇ φύϲει;

Ϲτ. λέγειν μὲν οὐκ ἔνεϲτ', ἀποϲτερεῖν δ' ἔνι.

Ϲω. πῶϲ οὖν δυνήϲει μανθάνειν;

Ϲτ. ἀμέλει, καλῶϲ.

Ϲω. ἄγε νυν ὅπωϲ, ὅταν τι προβάλωμαι ϲοφὸν

περὶ τῶν μετεώρων, εὐθέωϲ ὑφαρπάϲει.

Ϲτ. τί δαί; κυνηδὸν τὴν ϲοφίαν ϲιτήϲομαι;

Ϲω. ἄνθρωποϲ ἀμαθὴϲ οὑτοϲὶ καὶ βάρβαροϲ.

δέδοικά ϲ', ὦ πρεϲβῦτα, μὴ πληγῶν δέει.

φέρ' ἴδω, τί δρᾷϲ, ἤν τιϲ ϲε τύπτῃ;

Ϲτ. τύπτομαι,

ἔπειτ' ἐπιϲχὼν ὀλίγον ἐπιμαρτύρομαι·

εἶτ' αὖθιϲ ἀκαρῆ διαλιπὼν δικάζομαι.

Ϲω. ἴθι νυν, κατάθου θοἰμάτιον.

Ϲτ. ἠδίκηκά τι;

Ϲω. οὔκ, ἀλλὰ γυμνοὺϲ εἰϲιέναι νομίζεται.

Ϲτ. ἀλλ' οὐχὶ φωράϲων ἔγωγ' εἰϲέρχομαι.

Ϲω. κατάθου. τί ληρεῖϲ;

Ϲτ. εἰπὲ δή νύν μοι τοδί·

ἢν ἐπιμελὴϲ ὦ καὶ προθύμωϲ μανθάνω,

τῷ τῶν μαθητῶν ἐμφερὴϲ γενήϲομαι;

Ϲω. οὐδὲν διοίϲειϲ Χαιρεφῶντοϲ τὴν φύϲιν.

Ϲτ. οἴμοι κακοδαίμων, ἡμιθνὴϲ γενήϲομαι.

Ϲω. οὐ μὴ λαλήϲειϲ, ἀλλ' ἀκολουθήϲειϲ ἐμοὶ

ἀνύϲαϲ τι δευρὶ θᾶττον.

Ϲτ. εἰϲ τὼ χεῖρέ νυν

483 εἰ] ἢ Dobree  484 μέν γ'] μὲν γὰρ RK  485 possis ante ϲχέτλιοϲ interpungere  489 προβάλωμαι] προβάλωμαί ϲοι R: προβάλω ϲοι Hirschig  490 ὑφαρπάϲει] -ϲειϲ $K^{ac}$: -ϲῃϲ NL  492 ἄνθρωποϲ van Leeuwen: ἄ- codd.  493 δέει] δέῃ VEKNL  505 λαλήϲειϲ] -ϲῃϲ Ri.l., EKNΘ  ἀκολουθήϲειϲ] -ϲαϲ $R^{pc}K^{ac}$: -ϲον Egl.

δόϲ μοι μελιτοῦτταν πρότερον, ὡϲ δέδοικ' ἐγὼ
εἴϲω καταβαίνων ὥϲπερ εἰϲ Τροφωνίου.
Ϲω. χώρει. τί κυπτάζειϲ ἔχων περὶ τὴν θύραν;

Χο. ἀλλ' ἴθι χαίρων
τῆϲ ἀνδρείαϲ οὕνεκα ταύτηϲ.
εὐτυχία γένοιτο τἀν-
θρώπῳ, ὅτι προήκων
εἰϲ βαθὺ τῆϲ ἡλικίαϲ
νεωτέροιϲ τὴν φύϲιν αὑ-
τοῦ πράγμαϲιν χρωτίζεται
καὶ ϲοφίαν ἐπαϲκεῖ.

ὦ θεώμενοι, κατερῶ πρὸϲ ὑμᾶϲ ἐλευθέρωϲ
τἀληθῆ, νὴ τὸν Διόνυϲον τὸν ἐκθρέψαντά με.
οὕτω νικήϲαιμί τ' ἐγὼ καὶ νομιζοίμην ϲοφόϲ,
ὡϲ ὑμᾶϲ ἡγούμενοϲ εἶναι θεατὰϲ δεξιοὺϲ
καὶ ταύτην ϲοφώτατ' ἔχειν τῶν ἐμῶν κωμῳδιῶν,
†πρώτουϲ ἠξίωϲ' ἀναγεῦϲ' ὑμᾶϲ†, ἣ παρέϲχε μοι
ἔργον πλεῖϲτον· εἶτ' ἀνεχώρουν ὑπ' ἀνδρῶν φορτικῶν
ἡττηθεὶϲ οὐκ ἄξιοϲ ὤν· ταῦτ' οὖν ὑμῖν μέμφομαι
τοῖϲ ϲοφοῖϲ, ὧν οὕνεκ' ἐγὼ ταῦτ' ἐπραγματευόμην.
ἀλλ' οὐδ' ὣϲ ὑμῶν ποθ' ἑκὼν προδώϲω τοὺϲ δεξιούϲ.
ἐξ ὅτου γὰρ ἐνθάδ' ὑπ' ἀνδρῶν, οἷϲ ἡδὺ καὶ ψέγειν,
ὁ ϲώφρων τε χὡ καταπύγων ἄριϲτ' ἠκουϲάτην,
κἀγώ, παρθένοϲ γὰρ ἔτ' ἦν, κοὐκ ἐξῆν πώ μοι τεκεῖν,
ἐξέθηκα, παῖϲ δ' ἑτέρα τιϲ λαβοῦϲ' ἀνείλετο,
ὑμεῖϲ δ' ἐξεθρέψατε γενναίωϲ κἀπαιδεύϲατε·
ἐκ τούτου μοι πιϲτὰ παρ' ὑμῶν γνώμηϲ ἔϲθ' ὅρκια.

507 μελιτοῦτταν Θ: μελιττοῦταν cett. 511 οὕνεκα Brunck: εἵνεκα vel ἕνεκα codd. 512–13 γένοιτο τἀνθρώπῳ] γένοιτ' ἀνθρώπῳ VL, Su. χ 551 513 ὅτι] ἐπεὶ Blaydes 515 αὑτοῦ K: αὐ- cett. 516 πράγμαϲιν Hermann: -ϲι codd., Su. χ 551 520 νικήϲαιμί τ' ἐγὼ Bentley: νικήϲαιμ' ἔγωγε codd. 523 πρώτουϲ] πρώτην Welcker ἀναγεῦϲ'] ἀναδῆϲ' Kaehler 526 οὕνεκ'] εἵνεκ' V 528 οἷϲ] οὓϲ Blaydes ψέγειν van Herwerden: λέγειν codd. 530 ἦν] ἦ Dindorf, fortasse recte 533 ὑμῶν V3 s.l., Sauppe: ὑμῖν cett.

νῦν οὖν Ἠλέκτραν κατ᾽ ἐκείνην ἥδ᾽ ἡ κωμῳδία
ζητοῦϲ᾽ ἦλθ᾽, ἤν που ᾽πιτύχῃ θεαταῖϲ οὕτω ϲοφοῖϲ·
γνώϲεται γάρ, ἤνπερ ἴδῃ, τἀδελφοῦ τὸν βόϲτρυχον.
ὡϲ δὲ ϲώφρων ἐϲτὶ φύϲει ϲκέψαϲθ᾽· ἥτιϲ πρῶτα μὲν
οὐδὲν ἦλθε ῥαψαμένη ϲκύτινον καθειμένον,
ἐρυθρὸν ἐξ ἄκρου, παχύ, τοῖϲ παιδίοιϲ ἵν᾽ ᾖ γέλωϲ·
οὐδ᾽ ἔϲκωψεν τοὺϲ φαλακρούϲ, οὐδὲ κόρδαχ᾽ εἵλκυϲεν,
οὐδὲ πρεϲβύτηϲ ὁ λέγων τἄπη τῇ βακτηρίᾳ
τύπτει τὸν παρόντ᾽, ἀφανίζων πονηρὰ ϲκώμματα,
οὐδ᾽ εἰϲῇξε δᾷδαϲ ἔχουϲ᾽ οὐδ᾽ "ἰοὺ ἰού" βοᾷ,
ἀλλ᾽ αὑτῇ καὶ τοῖϲ ἔπεϲιν πιϲτεύουϲ᾽ ἐλήλυθεν.
κἀγὼ μὲν τοιοῦτοϲ ἀνὴρ ὢν ποιητὴϲ οὐ κομῶ,
οὐδ᾽ ὑμᾶϲ ζητῶ ᾽ξαπατᾶν δὶϲ καὶ τρὶϲ ταὔτ᾽ εἰϲάγων,
ἀλλ᾽ αἰεὶ καινὰϲ ἰδέαϲ εἰϲφέρων ϲοφίζομαι,
οὐδὲν ἀλλήλαιϲιν ὁμοίαϲ καὶ πάϲαϲ δεξιάϲ·
ὃϲ μέγιϲτον ὄντα Κλέων᾽ ἔπαιϲ᾽ εἰϲ τὴν γαϲτέρα
κοὐκ ἐτόλμηϲ᾽ αὖθιϲ ἐπεμπηδῆϲ᾽ αὐτῷ κειμένῳ.
οὗτοι δ᾽, ὡϲ ἅπαξ παρέδωκεν λαβὴν Ὑπέρβολοϲ,
τοῦτον δείλαιον κολετρῶϲ᾽ ἀεὶ καὶ τὴν μητέρα.
Εὔπολιϲ μὲν τὸν Μαρικᾶν πρώτιϲτον παρείλκυϲεν
ἐκϲτρέψαϲ τοὺϲ ἡμετέρουϲ Ἱππέαϲ κακὸϲ κακῶϲ,
προϲθεὶϲ αὐτῷ γραῦν μεθύϲην τοῦ κόρδακοϲ
οὕνεχ᾽, ἣν
Φρύνιχοϲ πάλαι πεποίηχ᾽, ἣν τὸ κῆτοϲ ἤϲθιεν.
εἶθ᾽ Ἕρμιπποϲ αὖθιϲ ἐποίηϲεν εἰϲ Ὑπέρβολον,
ἅλλοι τ᾽ ἤδη πάντεϲ ἐρείδουϲιν εἰϲ Ὑπέρβολον,
τὰϲ εἰκοὺϲ τῶν ἐγχέλεων τὰϲ ἐμὰϲ μιμούμενοι.
ὅϲτιϲ οὖν τούτοιϲι γελᾷ, τοῖϲ ἐμοῖϲ μὴ χαιρέτω·
ἢν δ᾽ ἐμοὶ καὶ τοῖϲιν ἐμοῖϲ εὐφραίνηϲθ᾽ εὑρήμαϲιν,
εἰϲ τὰϲ ὥραϲ τὰϲ ἑτέραϲ εὖ φρονεῖν δοκήϲετε.

534 Ἠλέκτραν NΘ$^2$L, lm. sch. rec.: Ἠλέκτρα cett. 538 ϲκύτινον] ϲκυτίον XLn5, Dobree 540 ἔϲκωψεν RV: -ψε cett. 544 ἔπεϲιν L: -ϲι cett. 555–6 οὕνεχ᾽, ἣν Bentley: οὕνεκα, | ἣν codd. 557 ἐποίηϲεν Brunck: ἐποίηϲ᾽ V: πεποίηκεν cett. 558 ἅλλοι Meineke: ἄλλοι codd. 561 τοῖϲιν ἐμοῖϲ V: τοῖϲ ἐμοῖϲιν cett.

ὑψιμέδοντα μὲν θεῶν [ϲτρ.
Ζῆνα τύραννον εἰϲ χορὸν
πρῶτα μέγαν κικλήϲκω·
τόν τε μεγαϲθενῆ τριαί-
νηϲ ταμίαν,
γῆϲ τε καὶ ἁλμυρᾶϲ θαλάϲ-
ϲηϲ ἄγριον μοχλευτήν·
καὶ μεγαλώνυμον ἡμέτερον πατέρ᾽,
Αἰθέρα ϲεμνότατον, βιοθρέμμονα πάντων·
τόν θ᾽ ἱππονώμαν, ὃϲ ὑπερ-
λάμπροιϲ ἀκτῖϲιν κατέχει
γῆϲ πέδον, μέγαϲ ἐν θεοῖϲ
ἐν θνητοῖϲί τε δαίμων.

ὦ ϲοφώτατοι θεαταί, δεῦρο τὸν νοῦν προϲέχετε.
ἠδικημέναι γὰρ ὑμῖν μεμφόμεϲθ᾽ ἐναντίον·
πλεῖϲτα γὰρ θεῶν ἁπάντων ὠφελούϲαιϲ τὴν πόλιν,
δαιμόνων ἡμῖν μόναιϲ οὐ θύετ᾽ οὐδὲ ϲπένδετε,
αἵτινεϲ τηροῦμεν ὑμᾶϲ. ἢν γὰρ ᾖ τιϲ ἔξοδοϲ
μηδενὶ ξὺν νῷ, τότ᾽ ἢ βροντῶμεν ἢ ψακάζομεν.
εἶτα τὸν θεοῖϲιν ἐχθρὸν βυρϲοδέψην Παφλαγόνα
ἡνίχ᾽ ᾑρεῖϲθε ϲτρατηγόν, τὰϲ ὀφρῦϲ ξυνήγομεν
κἀποιοῦμεν δεινά, βροντὴ δ᾽ ἐρράγη δι᾽ ἀϲτραπῆϲ.
ἡ ϲελήνη δ᾽ ἐξέλειπε τὰϲ ὁδούϲ, ὁ δ᾽ ἥλιοϲ
τὴν θρυαλλίδ᾽ εἰϲ ἑαυτὸν εὐθέωϲ ξυνελκύϲαϲ
οὐ φανεῖν ἔφαϲκεν ὑμῖν, εἰ ϲτρατηγήϲοι Κλέων.
ἀλλ᾽ ὅμωϲ εἵλεϲθε τοῦτον. φαϲὶ γὰρ δυϲβουλίαν
τῇδε τῇ πόλει προϲεῖναι· ταῦτα μέντοι τοὺϲ θεούϲ,
ἅττ᾽ ἂν ὑμεῖϲ ἐξαμάρτητ᾽, ἐπὶ τὸ βέλτιον τρέπειν.
ὡϲ δὲ καὶ τοῦτο ξυνοίϲει ῥᾳδίωϲ διδάξομεν·
ἢν Κλέωνα τὸν λάρον δώρων ἑλόντεϲ καὶ κλοπῆϲ

572 ἀκτῖϲιν L: -ϲι cett. 575 προϲέχετε] πρόϲϲχετε Bentley
577 ὠφελούϲαιϲ] -οῦϲαι R 580 ψακάζομεν P7, R: ψεκ- cett.
582 ξυνήγομεν P7, V: ϲυν- cett. 584 ἐξέλειπεν (sic) U: ἐξέλιπε cett.
586 ϲτρατηγήϲοι P7, sch. E: -ϲει cett. 588 ταῦτα] πάντα Bentley

εἶτα φιμώϲητε τούτου τῷ ξύλῳ τὸν αὐχένα,
αὖθιϲ εἰϲ τἀρχαῖον ὑμῖν, εἴ τι κἀξημάρτετε,
ἐπὶ τὸ βέλτιον τὸ πρᾶγμα τῇ πόλει ξυνοίϲεται.

ἀμφί μοι αὖτε, Φοῖβ' ἄναξ [ἀντ.
Δήλιε, Κυνθίαν ἔχων
ὑψικέρατα πέτραν·
ἥ τ' Ἐφέϲου μάκαιρα πάγ-
χρυϲον ἔχειϲ οἶκον, ἐν ᾧ κόραι ϲε Λυ-
δῶν μεγάλωϲ ϲέβουϲιν,
ἥ τ' ἐπιχώριοϲ ἡμετέρα θεὸϲ
αἰγίδοϲ ἡνίοχοϲ, πολιοῦχοϲ Ἀθάνα,
Παρναϲϲίαν θ' ὃϲ κατέχων
πέτραν ϲὺν πεύκαιϲ ϲελαγεῖ
Βάκχαιϲ Δελφίϲιν ἐμπρέπων,
κωμαϲτὴϲ Διόνυϲοϲ.

ἡνίχ' ἡμεῖϲ δεῦρ' ἀφορμᾶϲθαι παρεϲκευάϲμεθα,
ἡ ϲελήνη ξυντυχοῦϲ' ἡμῖν ἐπέϲτειλεν φράϲαι,
πρῶτα μὲν χαίρειν Ἀθηναίοιϲι καὶ τοῖϲ ξυμμάχοιϲ·
εἶτα θυμαίνειν ἔφαϲκε· δεινὰ γὰρ πεπονθέναι
ὠφελοῦϲ' ὑμᾶϲ ἅπανταϲ οὐ λόγοιϲ ἀλλ' ἐμφανῶϲ·
πρῶτα μὲν τοῦ μηνὸϲ εἰϲ δᾷδ' οὐκ ἔλαττον ἢ δραχμήν,
ὥϲτε καὶ λέγειν ἅπανταϲ ἐξιόνταϲ ἑϲπέραϲ,
"μὴ πρίῃ, παῖ, δᾷδ', ἐπειδὴ φῶϲ Ϲεληναίηϲ καλόν."
ἄλλα τ' εὖ δρᾶν φηϲιν, ὑμᾶϲ δ' οὐκ ἄγειν τὰϲ ἡμέραϲ
οὐδὲν ὀρθῶϲ, ἀλλ' ἄνω τε καὶ κάτω κυδοιδοπᾶν·
ὥϲτ' ἀπειλεῖν φηϲιν αὐτῇ τοὺϲ θεοὺϲ ἑκάϲτοτε,
ἡνίκ' ἂν ψευϲθῶϲι δείπνου κἀπίωϲιν οἴκαδε
τῆϲ ἑορτῆϲ μὴ τυχόντεϲ κατὰ λόγον τῶν ἡμερῶν.

593 κἀξημάρτετε P7, V: -τηται cett. 594 ξυνοίϲεται] ϲυν- RKΘ 604 πεύκαιϲ] -κῃ P7, X: -ηϲ V ϲελαγεῖ] -εῖϲ N 608 ξυντυχοῦϲ' ... ἐπέϲτειλεν P7: ϲυν- ... -λε codd. 610 εἶτα] κᾆτα codd. recc. 614 Ϲεληναίηϲ] -νιαϲ P7: -ναῖον van Herwerden 615 φηϲιν] φαϲιν P7 ὑμᾶϲ δ' οὐκ L^pc, Bentley: ὑμᾶϲ κοὐκ cett.: κοὐκ[ὑμᾶϲ (sic) P7 ut videtur

κᾆθ' ὅταν θύειν δέῃ, ϲτρεβλοῦτε καὶ δικάζετε·
πολλάκιϲ δ' ἡμῶν ἀγόντων τῶν θεῶν ἀπαϲτίαν,
ἡνίκ' ἂν πενθῶμεν ἢ τὸν Μέμνον' ἢ Ϲαρπηδόνα,
ϲπένδεθ' ὑμεῖϲ καὶ γελᾶτ'· ἀνθ' ὧν λαχὼν Ὑπέρβολοϲ
τῆτεϲ ἱερομνημονεῖν κἄπειθ' ὑφ' ἡμῶν τῶν θεῶν
τὸν ϲτέφανον ἀφηρέθη· μᾶλλον γὰρ οὕτωϲ εἴϲεται
κατὰ ϲελήνην ὡϲ ἄγειν χρὴ τοῦ βίου τὰϲ ἡμέραϲ.

Ϲω. μὰ τὴν Ἀναπνοήν, μὰ τὸ Χάοϲ, μὰ τὸν Ἀέρα,
οὐκ εἶδον οὕτωϲ ἄνδρ' ἄγροικον οὐδαμοῦ
οὐδ' ἄπορον οὐδὲ ϲκαιὸν οὐδ' ἐπιλήϲμονα·
ὅϲτιϲ ϲκαλαθυρμάτι' ἄττα μικρὰ μανθάνων
ταῦτ' ἐπιλέληϲται πρὶν μαθεῖν· ὅμωϲ γε μὴν
αὐτὸν καλῶ θύραζε δευρὶ πρὸϲ τὸ φῶϲ.
ποῦ Ϲτρεψιάδηϲ; ἔξει τὸν ἀϲκάντην λαβών;
Ϲτ. ἀλλ' οὐκ ἐῶϲί μ' ἐξενεγκεῖν οἱ κόρειϲ.
Ϲω. ἁνύϲαϲ τι κατάθου καὶ πρόϲεχε τὸν νοῦν.
Ϲτ. ἰδού.
Ϲω. ἄγε δή, τί βούλει πρῶτα νυνὶ μανθάνειν
ὧν οὐκ ἐδιδάχθηϲ πώποτ' οὐδέν; εἰπέ μοι.
πότερα περὶ μέτρων ἢ περὶ ἐπῶν ἢ ῥυθμῶν;
Ϲτ. περὶ τῶν μέτρων ἔγωγ'· ἔναγχοϲ γάρ ποτε
ὑπ' ἀλφιταμοιβοῦ παρεκόπην διχοινίκῳ.
Ϲω. οὐ τοῦτ' ἐρωτῶ ϲ', ἀλλ' ὅτι κάλλιϲτον μέτρον
ἡγεῖ· πότερα τὸ τρίμετρον ἢ τὸ τετράμετρον;
Ϲτ. ἐγὼ μὲν οὐδὲν πρότερον ἡμιέκτεω.
Ϲω. οὐδὲν λέγειϲ, ὤνθρωπε.
Ϲτ. περίδου νυν ἐμοί,
εἰ μὴ τετράμετρόν ἐϲτιν ἡμιέκτεων.

622 alterum ἢ P7, V: ἢ τὸν cett. 628 οὐδαμοῦ P7, V, Su. ϲ 548: οὐδένα cett. 630 ϲκαλαθυρμάτι'] καλ- P7, $R^{pc}$V 631 ταῦτ'] πάντ' Blaydes 638 πότερα] πότερον R περὶ ἐπῶν ἢ ῥυθμῶν REK, cf. sch. in Hephaestionem 83.21 et 179.6 Consbruch: ἐπῶν ἢ περὶ ῥυθμῶν V: περὶ ῥυθμῶν ἢ ἐπῶν NΘ: ῥυθμῶν ἢ περὶ ἐπῶν Hermann 640 διχοινίκῳ] -ίκου Blaydes 643 ἡμιέκτεω Dover: -έου codd. 645 ἡμιέκτεων Dover: -τέον REK: -τέου VEs.l. NΘ

Cω. ἐc κόρακαc· ὡc ἄγροικοc εἶ καὶ δυcμαθήc.
ταχύ γ' ἂν δύναιο μανθάνειν περὶ ῥυθμῶν.
Cτ. τί δέ μ' ὠφελήcουc' οἱ ῥυθμοὶ πρὸc τἄλφιτα;
Cω. πρῶτον μὲν εἶναι κομψὸν ἐν ξυνουcίᾳ,
ἐπαΐειν θ' ὁποῖόc ἐcτι τῶν ῥυθμῶν
κατ' ἐνόπλιον, χὠποῖοc αὖ κατὰ δάκτυλον.
Cτ. κατὰ δάκτυλον; νὴ τὸν Δί', ἀλλ' οἶδ'.
Cω. εἰπὲ δή.
Cτ. {τίc ἄλλοc ἀντὶ τουτουὶ τοῦ δακτύλου;}
πρὸ τοῦ μέν, ἔτ' ἐμοῦ παιδὸc ὄντοc, οὑτοcί.
Cω. ἀγρεῖοc εἶ καὶ cκαιόc.
Cτ. οὐ γάρ, ᾠζυρέ,
τούτων ἐπιθυμῶ μανθάνειν οὐδέν.
Cω. τί δαί;
Cτ. ἐκεῖν' ἐκεῖνο, τὸν ἀδικώτατον λόγον.
Cω. ἀλλ' ἕτερα δεῖ cε πρότερα τούτου μανθάνειν,
τῶν τετραπόδων ἅττ' ἐcτὶν ὀρθῶc ἄρρενα.
Cτ. ἀλλ' οἶδ' ἔγωγε τἄρρεν', εἰ μὴ μαίνομαι·
κριόc, τράγοc, ταῦροc, κύων, ἀλεκτρυών.
Cω. ὁρᾷc ἃ πάcχειc; τήν τε θήλειαν καλεῖc
ἀλεκτρυόνα κατὰ ταὐτὸ καὶ τὸν ἄρρενα.
Cτ. πῶc δή, φέρε;
Cω. πῶc; ἀλεκτρυὼν κἀλεκτρυών.
Cτ. νὴ τὸν Ποcειδῶ. νῦν δὲ πῶc με χρὴ καλεῖν;
Cω. ἀλεκτρύαιναν, τὸν δ' ἕτερον ἀλέκτορα.
Cτ. ἀλεκτρύαιναν; εὖ γε, νὴ τὸν Ἀέρα·

647 *ταχύ γ'*] *τάχα δ'* Thomas Magister: *ταχὺ δ'* lm. sch. EM 649 *ξυνουcίᾳ* V: cυν- cett. 650 *ἐπαΐειν θ'* Blaydes, cf. sch.: *ἐπαΐειντ* $R^{pc}$: *ἐπαΐοντ* $R^{ac}$: *ἐπαΐειν* sch. in Hephaestionem 203.8: *εἶτ' ἐπαΐειν* cett. 652 verba *νὴ τὸν Δία* Socrati tribuit Hirschig 653 v. iam van Leeuwenio suspectum eiecit Dover 654 *ἔτ'* Thomas Magister, L: *ἐπ'* RVEK: om. NΘ 655 *ἀγρεῖοc*] *ἄγροικοc* Ks.l.NΘs.l.: *ἀχρεῖοc* $M^{pc}Θ^{pc}$L 656 *δαί*] *δή* R: *δέ* L 658 *δεῖ cε* post *τούτου* transp. V *πρότερα*] *πρότερον* $REK^{ac}Θ$ *τούτου*] *τούτων* R 661 post hunc v. lacunam statuit Bentley 662 *ἃ*] *ὃ* RV 663 *κατὰ ταὐτὸ*] *κατ' αὐτὸ* $VE^{ac}$: *καὶ ταὐτὸ* Φ, Hermann

ὥϲτ' ἀντὶ τούτου τοῦ διδάγματοϲ μόνου
διαλφιτώϲω ϲου κύκλῳ τὴν κάρδοπον.
Ϲω. ἰδοὺ μάλ' αὖθιϲ, τοῦθ' ἕτερον· τὴν κάρδοπον
ἄρρενα καλεῖϲ θήλειαν οὖϲαν.
Ϲτ. τῷ τρόπῳ;
ἄρρενα καλῶ 'γὼ κάρδοπον;
Ϲω. μάλιϲτά γε,
ὥϲπερ γε καὶ Κλεώνυμον.
Ϲτ. πῶϲ δή; φράϲον.
Ϲω. ταὐτὸν δύναταί ϲοι κάρδοποϲ Κλεωνύμῳ.
Ϲτ. ἀλλ', ὦγάθ', οὐδ' ἦν κάρδοποϲ Κλεωνύμῳ,
ἀλλ' ἐν θυείᾳ ϲτρογγύλῃ γ' ἀνεμάττετο.
ἀτὰρ τὸ λοιπὸν πῶϲ με χρὴ καλεῖν;
Ϲω. ὅπωϲ;
τὴν καρδόπην, ὥϲπερ καλεῖϲ τὴν Ϲωϲτράτην.
Ϲτ. τὴν καρδόπην, θήλειαν;
Ϲω. ὀρθῶϲ γὰρ λέγειϲ.
Ϲτ. ἐκεῖνο δ' ἦν ἂν "καρδόπη Κλεωνύμη".
Ϲω. ἔτι δέ γε περὶ τῶν ὀνομάτων μαθεῖν ϲε δεῖ,
ἅττ' ἄρρεν' ἐϲτίν, ἅττα δ' αὐτῶν θήλεα.
Ϲτ. ἀλλ' οἶδ' ἔγωγ' ἃ θήλε' ἐϲτίν.
Ϲω. εἰπὲ δή.
Ϲτ. Λύϲιλλα, Φίλιννα, Κλειταγόρα, Δημητρία.
Ϲω. ἄρρενα δὲ ποῖα τῶν ὀνομάτων;
Ϲτ. μυρία.
Φιλόξενοϲ, Μεληϲίαϲ, Ἀμυνίαϲ.
Ϲω. ἀλλ' ὦ πόνηρε, ταῦτά γ' ἔϲτ' οὐκ ἄρρενα.
Ϲτ. οὐκ ἄρρεν' ὑμῖν ἐϲτιν;
Ϲω. οὐδαμῶϲ γ', ἐπεὶ

672 'γὼ] 'γὼ τὴν ENΘ: τὴν Brunck  676 γ' om. VK  ἀνεμάττετο] ἂν ἐμάττετο Δ  679 ὀρθῶϲ γὰρ] ὀρθότερον EKNΘL  680 δ' ἦν ἂν] locus difficilis: δύναμαι West: χρῆν ἄρα Blaydes  Κλεωνύμη Ct3: -ύμῃ cett.  681 ἔτι δέ $Θ^{1}$Vp3$^{pc}$: ἔτι RVE$^{ac}$: ἔτ' ἔτι E$^{pc}$N: ἔτι K: ἔτι δὴ $Θ^{2}$L  686 Ἀμυνίαϲ] Ἀμεινίαϲ V in linea  688 ὑμῖν Ms.l. Θ$^{pc}$ZL: ἡμῖν cett.

πῶϲ ἂν καλέϲειαϲ ἐντυχὼν Ἀμυνίᾳ;
Στ. ὅπωϲ ἄν; ὡδί· "δεῦρο δεῦρ', Ἀμυνία".
Σω. ὁρᾷϲ; γυναῖκα τὴν Ἀμυνίαν καλεῖϲ.
Στ. οὔκουν δικαίωϲ, ἥτιϲ οὐ ϲτρατεύεται;
ἀτὰρ τί ταῦθ' ἃ πάντεϲ ἴϲμεν μανθάνω;
Σω. οὐδέν, μὰ Δί'· ἀλλὰ κατακλινεὶϲ δευρὶ—
Στ. τί δρῶ;
Σω. ἐκφρόντιϲόν τι τῶν ϲεαυτοῦ πραγμάτων.
Στ. μὴ δῆθ', ἱκετεύω, 'νταῦθά γ'· ἀλλ' εἴπερ γε χρή,
χαμαί μ' ἔαϲον αὐτὰ ταῦτ' ἐκφροντίϲαι.
Σω. οὐκ ἔϲτι παρὰ ταῦτ' ἄλλα.
Στ. κακοδαίμων ἐγώ.
οἵαν δίκην τοῖϲ κόρεϲι δώϲω τήμερον.

Χο. φρόντιζε δὴ καὶ διάθρει [ϲτρ.
πάντα τρόπον τε ϲαυτὸν
ϲτρόβει πυκνώ-
ϲαϲ. ταχὺϲ δ', ὅταν εἰϲ ἄπορον
πέϲῃϲ, ἐπ' ἄλλο πήδα
νόημα φρενόϲ· ὕπνοϲ δ' ἀπέ-
ϲτω γλυκύθυμοϲ ὀμμάτων.

Στ. ἀτταταῖ ἀτταταῖ.
Χο. τί πάϲχειϲ; τί κάμνειϲ;
Στ. ἀπόλλυμαι δείλαιοϲ· ἐκ τοῦ ϲκίμποδοϲ
δάκνουϲί μ' ἐξέρποντεϲ οἱ Κορίνθιοι,
καὶ τὰϲ πλευρὰϲ δαρδάπτουϲιν
καὶ τὴν ψυχὴν ἐκπίνουϲιν
καὶ τοὺϲ ὄρχειϲ ἐξέλκουϲιν

689 post πῶϲ add. γ' R 692 ἥτιϲ RV, cf. Hsch. η 948: ὅϲτιϲ EKNΘL 696 'νταῦθά γ' Dobree (ἐνταῦθά γ' Par 8 et 20): ϲ' ἐνταῦθα RVEΘ: ϲ' ἐνθάδ' KNL, lm. sch. U εἴπερ NZs.l.L.: εἰ cett. 697 αὐτὰ ταῦτ'] ταὐτὰ ταῦτ' Blaydes: an αὐτὰ πάντ'? 706 post hunc v. nihil versibus 810–13 respondere animadvertit sch. ad 700 et 804; lacunam statuit Hermann 711–15 verbis nu ephelcysticum add. Thomas Magister, L: -ϲι vett. 712–13 hos vv. inverso ordine praebent RV

καὶ τὸν πρωκτὸν διορύττουϲιν,
καί μ' ἀπολοῦϲιν.
Χο. μή νυν βαρέωϲ ἄλγει λίαν.
Ϲτ. καὶ πῶϲ; ὅτε μου
φροῦδα τὰ χρήματα, φρούδη χροιά,
φρούδη ψυχή, φρούδη δ' ἐμβάϲ·
καὶ πρὸϲ τούτοιϲ ἔτι τοῖϲι κακοῖϲ
φρουρᾶϲ ᾄδων
ὀλίγου φροῦδοϲ γεγένημαι.
Ϲω. οὗτοϲ, τί ποιεῖϲ; οὐχὶ φροντίζειϲ;
Ϲτ. ἐγώ;
νὴ τὸν Ποϲειδῶ.
Ϲω. καὶ τί δῆτ' ἐφρόντιϲαϲ;
Ϲτ. ὑπὸ τῶν κόρεων εἴ μου τι περιλειφθήϲεται.
Ϲω. ἀπολεῖ κάκιϲτ'.
Ϲτ. ἀλλ', ὦ 'γάθ', ἀπόλωλ' ἀρτίωϲ.
Χο. οὐ μαλθακιϲτέ', ἀλλὰ περικαλυπτέα.
ἐξευρετέοϲ γὰρ νοῦϲ ἀποϲτερητικὸϲ
κἀπαιόλημ'.
Ϲτ. οἴμοι, τίϲ ἂν δῆτ' ἐπιβάλοι
ἐξ ἀρνακίδων γνώμην ἀποϲτερητρίδα;
Ϲω. φέρε νυν ἀθρήϲω πρῶτον, ὅτι δρᾷ, τουτονί.
οὗτοϲ, καθεύδειϲ;
Ϲτ. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ.
Ϲω. ἔχειϲ τι;
Ϲτ. μὰ Δί' οὐ δῆτ' ἔγωγ'.
Ϲω. οὐδὲν πάνυ;
Ϲτ. οὐδέν γε πλὴν ἢ τὸ πέοϲ ἐν τῇ δεξιᾷ.
Ϲω. οὐκ ἐγκαλυψάμενοϲ ταχέωϲ τι φροντιεῖϲ;
Ϲτ. περὶ τοῦ; ϲὺ γάρ μοι τοῦτο φράϲον, ὦ Ϲώκρατεϲ.

720 ἔτι] ἐπὶ R κακοῖϲ ENL: κακοῖϲι cett. 727–9a coryphaeo tribuit Willems, Socrati codd. 728 ἐξευρετέοϲ MdIN, Su. π 878 codd. plerique: -ητέοϲ codd. plerique, Su. codd. $\mathrm{GM}^{pc}$: εὑρητέοϲ L 733 οὐ δῆτ'] οὐδὲν EKNΘ, Su. ε 4002, unde οὐδέν γ' Thomas Magister, L

Cω. αὐτὸc ὅ τι βούλει πρῶτος ἐξευρὼν λέγε.
Cτ. ἀκήκοας μυριάκις ἁγὼ βούλομαι,
περὶ τῶν τόκων, ὅπως ἂν ἀποδῶ μηδενί.
Cω. ἴθι νυν καλύπτου, καὶ cχάcαc τὴν φροντίδα
λεπτὴν κατὰ μικρὸν περιφρόνει τὰ πράγματα,
ὀρθῶc διαιρῶν καὶ cκοπῶν.
Cτ. οἴμοι τάλαc.
Cω. ἔχ' ἀτρέμα· κἂν ἀπορῇc τι τῶν νοημάτων,
ἀφεὶc ἄπελθε, κᾆτα τῇ γνώμῃ πάλιν
κίνηcον αὖθιc αὐτὸ καὶ ζυγώθριcον.
Cτ. ὦ Cωκρατίδιον φίλτατον.
Cω. τί, ὦ γέρον;
Cτ. ἔχω τόκου γνώμην ἀποcτερητικήν.
Cω. ἐπίδειξον αὐτήν.
Cτ. εἰπὲ δή νύν μοι—
Cω. τὸ τί;
Cτ. γυναῖκα φαρμακίδ' εἰ πριάμενος Θετταλὴν
καθέλοιμι νύκτωρ τὴν cελήνην, εἶτα δὴ
αὐτὴν καθείρξαιμ' εἰc λοφεῖον cτρογγύλον,
ὥcπερ κάτροπτον, κᾆτα τηροίην ἔχων—
Cω. τί δῆτα τοῦτ' ἂν ὠφελήcειέν c';
Cτ. ὅ τι;
εἰ μηκέτ' ἀνατέλλοι cελήνη μηδαμοῦ,
οὐκ ἂν ἀποδοίην τοὺc τόκουc.
Cω. ὁτιὴ τί δή;
Cτ. ὁτιὴ κατὰ μῆνα τἀργύριον δανείζεται.
Cω. εὖ γ'. ἀλλ' ἕτερον αὖ cοι προβαλῶ τι δεξιόν.
εἴ cοι γράφοιτο πεντετάλαντόc τιc δίκη,
ὅπωc ἂν αὐτὴν ἀφανίcειαc εἰπέ μοι.

737 πρῶτοc] πρῶτον Tzetzes in sch. U, Par 14, Reisig ἐξευρὼν RV: -ρεῖν cett. 744 τῇ γνώμῃ Reiske: τὴν γνώμην codd. πάλιν] πάλαι RV 748 τὸ τί;] τοδί NZ 752 κάτροπτον Dover e titulis: κάτοπτρον codd. 754 ἀνατέλλοι $\Theta^1$: ἀνατέλλει $RVK^{ac}$: ἀντέλλοι $EK^{pc}N\Theta^2L$ 755 ἂν] ἄν γ' $E^{ac}K\Theta L$ ὁτιὴ RVNZL: τιὴ cett. 756 τἀργύριον] -ια Vc1, novit sch. E

Ϲτ. ὅπωϲ; ὅπωϲ; οὐκ οἶδ'· ἀτὰρ ζητητέον.
Ϲω. μή νυν περὶ ϲαυτὸν εἶλλε τὴν γνώμην ἀεί,
ἀλλ' ἀποχάλα τὴν φροντίδ' εἰϲ τὸν ἀέρα,
λινόδετον ὥϲπερ μηλολόνθην τοῦ ποδόϲ.
Ϲτ. ηὕρηκ' ἀφάνιϲιν τῆϲ δίκηϲ ϲοφωτάτην,
ὥϲτ' αὐτὸν ὁμολογεῖν ϲέ μοι.
Ϲω. ποίαν τινά;
Ϲτ. ἤδη παρὰ τοῖϲι φαρμακοπώλαιϲ τὴν λίθον
ταύτην ἑόρακαϲ, τὴν καλήν, τὴν διαφανῆ,
ἀφ' ἧϲ τὸ πῦρ ἅπτουϲι;
Ϲω. τὴν ὕαλον λέγειϲ;
Ϲτ. ἔγωγε. φέρε, τί δῆτ' ἄν, εἰ ταύτην λαβών,
ὁπότε γράφοιτο τὴν δίκην ὁ γραμματεύϲ,
ἀπωτέρω ϲτὰϲ ὧδε πρὸϲ τὸν ἥλιον
τὰ γράμματ' ἐκτήξαιμι τῆϲ ἐμῆϲ δίκηϲ;
Ϲω. ϲοφῶϲ γε, νὴ τὰϲ Χάριταϲ.
Ϲτ. οἴμ', ὡϲ ἥδομαι
ὅτι πεντετάλαντοϲ διαγέγραπταί μοι δίκη.
Ϲω. ἄγε δὴ ταχέωϲ τουτὶ ξυνάρπαϲον.
Ϲτ. τὸ τί;
Ϲω. ὅπωϲ ἀποϲτρέψαιϲ ἂν ἀντιδικῶν δίκην,
μέλλων ὀφλήϲειν, μὴ παρόντων μαρτύρων.
Ϲτ. φαυλότατα καὶ ῥᾷϲτ'.
Ϲω. εἰπὲ δή.
Ϲτ. καὶ δὴ λέγω.
εἰ πρόϲθεν ἔτι μιᾶϲ ἐνεϲτώϲηϲ δίκηϲ,
πρὶν τὴν ἐμὴν καλεῖϲθ', ἀπαγξαίμην τρέχων.
Ϲω. οὐδὲν λέγειϲ.
Ϲτ. νὴ τοὺϲ θεοὺϲ ἔγωγ', ἐπεὶ
οὐδεὶϲ κατ' ἐμοῦ τεθνεῶτοϲ εἰϲάξει δίκην.
Ϲω. ὑθλεῖϲ· ἄπερρ', οὐκ ἂν διδαξαίμην ϲ' ἔτι.

761 εἶλλε RVM$^{pc}$: ἴλλε EKN: εἷλε L 770 ὁπότε γράφοιτο] ὁπόταν γράφοιτο Su. υ 6: ὁπότ' ἐγγράφοιτο Cobet 776 ἀντιδικῶν] -δίκων V: ἀντιλέγων Richards 783 διδαξαίμην] διδάξαιμ' ἂν Elmsley: διδάξαιμέν Reiske

Cτ. ὁτιὴ τί; ναί, πρὸc τῶν θεῶν, ὦ Cώκρατεc.
Cω. ἀλλ' εὐθὺc ἐπιλήθει cύ γ' ἅττ' ἂν καὶ μάθῃc·
ἐπεὶ τί νυνὶ πρῶτον ἐδιδάχθηc; λέγε.
Cτ. φέρ' ἴδω, τί μέντοι πρῶτον ἦν; τί πρῶτον ἦν;
τίc ἦν ἐν ᾗ ματτόμεθα μέντοι τἄλφιτα;
οἴμοι, τίc ἦν;
Cω. οὐκ ἐc κόρακαc ἀποφθερεῖ,
ἐπιληcμότατον καὶ cκαιότατον γερόντιον;
Cτ. οἴμοι. τί οὖν δῆθ' ὁ κακοδαίμων πείcομαι;
ἀπὸ γὰρ ὀλοῦμαι μὴ μαθὼν γλωττοcτροφεῖν.
ἀλλ', ὦ Νεφέλαι, χρηcτόν τι cυμβουλεύcατε.
Χο. ἡμεῖc μέν, ὦ πρεcβῦτα, cυμβουλεύομεν,
εἴ coι τιc υἱόc ἐcτιν ἐκτεθραμμένοc,
πέμπειν ἐκεῖνον ἀντὶ cαυτοῦ μανθάνειν.
Cτ. ἀλλ' ἔcτ' ἔμοιγ' υἱὸc καλόc τε κἀγαθόc·
ἀλλ' οὐκ ἐθέλει γὰρ μανθάνειν. τί ἐγὼ πάθω;
Χο. cὺ δ' ἐπιτρέπειc;
Cτ. εὐcωματεῖ γὰρ καὶ cφριγᾷ,
κἄcτ' ἐκ γυναικῶν εὐπτέρων καὶ Κοιcύραc.
ἀτὰρ μέτειμί γ' αὐτόν· ἢν δὲ μὴ 'θέλῃ,
οὐκ ἔcθ' ὅπωc οὐκ ἐξελῶ 'κ τῆc οἰκίαc.
ἀλλ' ἐπανάμεινόν μ' ὀλίγον εἰcελθὼν χρόνον.

Χο. ἆρ' αἰcθάνει πλεῖcτα δι' ἡ- [ἀντ.
μᾶc ἀγάθ' αὐτίχ' ἕξων
μόναc θεῶν;
ὡc ἕτοιμοc ὅδ' ἐcτὶν ἅπαν-
τα δρᾶν ὅc' ἂν κελεύῃc.
cὺ δ' ἀνδρὸc ἐκπεπληγμένου
καὶ φανερῶc ἐπηρμένου
γνοὺc ἀπολάψειc ὅτι πλεῖcτον δύναcαι

786 ἐδιδάχθηc] ἐδιδάcκου E[ac]KΘL 797 ἔcτ' ἔμοιγ'] ἐcτί μοι γ' Thiersch 800 καὶ V: om. R: τῶν ἀπὸ K: τῶν cett., Su. ε 3670, sch.: ὧν (Κοιcύρα) Blaydes 811 ἀπολάψειc] ἀπολέψειc v.l. ap. sch. et Su. α 3379: ἀπολαύcειc Thomas Magister: ἀπολαύcαιc Hermann

ταχέωc· φιλεῖ γάρ πωc τὰ τοι-
αῦθ' ἑτέρᾳ τρέπεcθαι.

Cτ. οὔτοι μὰ τὴν Ὁμίχλην ἔτ' ἐνταυθοῖ μενεῖc·
ἀλλ' ἔcθι' ἐλθὼν τοὺc Μεγακλέουc κίοναc.
Φε. ὦ δαιμόνιε, τί χρῆμα πάcχειc, ὦ πάτερ;
οὐκ εὖ φρονεῖc, μὰ τὸν Δία τὸν Ὀλύμπιον.
Cτ. ἰδού γ' ἰδοὺ Δί' Ὀλύμπιον· τῆc μωρίαc,
τὸν Δία νομίζειν ὄντα τηλικουτονί.
Φε. τί δὲ τοῦτ' ἐγέλαcαc ἐτεόν;
Cτ. ἐνθυμούμενοc
ὅτι παιδάριον εἶ καὶ φρονεῖc ἀρχαϊκά.
ὅμωc γε μὴν πρόcελθ', ἵν' εἰδῇc πλείονα,
καί cοι φράcω τι πρᾶγμ', ὃ μαθὼν ἀνὴρ ἔcει.
ὅπωc δὲ τοῦτο μὴ διδάξειc μηδένα.
Φε. ἰδού· τί ἐcτιν;
Cτ. ὤμοcαc νυνὶ Δία.
Φε. ἔγωγ'.
Cτ. ὁρᾷc οὖν ὡc ἀγαθὸν τὸ μανθάνειν;
οὐκ ἔcτιν, ὦ Φειδιππίδη, Ζεύc.
Φε. ἀλλὰ τίc;
Cτ. Δῖνοc βαcιλεύει, τὸν Δί' ἐξεληλακώc.
Φε. αἰβοῖ· τί ληρεῖc;
Cτ. ἴcθι τοῦθ' οὕτωc ἔχον.
Φε. τίc φηcι ταῦτα;
Cτ. Cωκράτηc ὁ Μήλιοc
καὶ Χαιρεφῶν, ὃc οἶδε τὰ ψυλλῶν ἴχνη.
Φε. cὺ δ' εἰc τοcοῦτον τῶν μανιῶν ἐλήλυθαc
ὥcτ' ἀνδράcιν πείθει χολῶcιν;
Cτ. εὐcτόμει
καὶ μηδὲν εἴπῃc φλαῦρον ἄνδραc δεξιοὺc
καὶ νοῦν ἔχονταc, ὧν ὑπὸ τῆc φειδωλίαc

813 ἑτέρᾳ Ernesti: ἑτέρα vel ἕτερα codd. plerique: ἑτέρωc NL, Su. φ 317
819 τὸν] τὸ Valckenaer post ὄντα add. cε MMd1$^{pc}$ 823 τι om. KNΘL
ὃ Hermann: ὃ cὺ codd. 832 τοcοῦτον] -το RL

ἀπεκείρατ' οὐδεὶϲ πώποτ' οὐδ' ἠλείψατο
οὐδ' εἰϲ βαλανεῖον ἦλθε λουϲόμενοϲ· ϲὺ δὲ
ὥϲπερ τεθνεῶτοϲ καταλόει μου τὸν βίον.
ἀλλ' ὡϲ τάχιϲτ' ἐλθὼν ὑπὲρ ἐμοῦ μάνθανε.
Φε. τί δ' ἂν παρ' ἐκείνων καὶ μάθοι χρηϲτόν τιϲ ἄν;
Ϲτ. ἄληθεϲ; ὅϲαπέρ ἐϲτιν ἀνθρώποιϲ ϲοφά·
γνώϲει δὲ ϲαυτὸν ὡϲ ἀμαθὴϲ εἶ καὶ παχύϲ.
ἀλλ' ἐπανάμεινόν μ' ὀλίγον ἐνταυθοῖ χρόνον.
Φε. οἴμοι· τί δράϲω, παραφρονοῦντοϲ τοῦ πατρόϲ;
πότερον παρανοίαϲ αὐτὸν εἰϲαγαγὼν ἕλω,
ἢ τοῖϲ ϲοροπηγοῖϲ τὴν μανίαν αὐτοῦ φράϲω;
Ϲτ. φέρ' ἴδω, ϲὺ τοῦτον τίνα νομίζειϲ; εἰπέ μοι.
Φε. ἀλεκτρυόνα.
Ϲτ. καλῶϲ γε. ταυτηνὶ δὲ τί;
Φε. ἀλεκτρυόν'.
Ϲτ. ἄμφω ταὐτό; καταγέλαϲτοϲ εἶ.
μή νυν τὸ λοιπόν, ἀλλὰ τήνδε μὲν καλεῖν
ἀλεκτρύαιναν, τουτονὶ δ' ἀλέκτορα.
Φε. ἀλεκτρύαιναν; ταῦτ' ἔμαθεϲ τὰ δεξιὰ
εἴϲω παρελθὼν ἄρτι παρὰ τοὺϲ γηγενεῖϲ;
Ϲτ. χἄτερά γε πόλλ'· ἀλλ' ὅ τι μάθοιμ' ἑκάϲτοτε
ἐπελανθανόμην ἂν εὐθὺϲ ὑπὸ πλήθουϲ ἐτῶν.
Φε. διὰ ταῦτα δὴ καὶ θοἰμάτιον ἀπώλεϲαϲ;
Ϲτ. ἀλλ' οὐκ ἀπολώλεκ', ἀλλὰ καταπεφρόντικα.
Φε. τὰϲ δ' ἐμβάδαϲ ποῖ τέτροφαϲ, ὠνόητε ϲύ;
Ϲτ. ὥϲπερ Περικλέηϲ εἰϲ τὸ δέον ἀπώλεϲα.
ἀλλ' ἴθι, βάδιζ', ἴωμεν· εἶτα τῷ πατρὶ
πιθόμενοϲ ἐξάμαρτε· κἀγώ τοί ποτε,

838 καταλόει μου Bekker: καταλούει μου codd. plerique, Su. κ 632, Choeroboscus: μου καταλούει $\Theta^{1}$  840 χρηϲτὸν om. RV  841 ὅϲαπέρ ἐϲτιν $E^{pc}$: ὅϲαπέρ ἐϲτ' ἐν $E^{ac}$ΘL: ὅϲαπερ N: ὅϲα πάρεϲτιν R: ὅϲα πάρεϲτ' VK  847 τοῦτον ΘL: τουτονὶ cett., quo recepto τί pro τίνα Reisig  νομίζειϲ] ὀνομάζειϲ Mehler  849 ταὐτὸ ΘL: ταὐτὸν fere cett.: ταὐτὰ K  855 ἂν RL: om. VEKNΘ  ἐτῶν KL: τῶν ἐτῶν cett.  861 πιθόμενοϲ Bentley: πειθ- codd.

οἶδ', ἐξέτει ϲοι τραυλίϲαντι πιθόμενοϲ·
ὃν πρῶτον ὀβολὸν ἔλαβον ἡλιαϲτικόν,
τούτου 'πριάμην ϲοι Διαϲίοιϲ ἁμαξίδα.
Φε. ἦ μὴν ϲὺ τούτοιϲ τῷ χρόνῳ ποτ' ἀχθέϲει.
Ϲτ. εὖ γ' ὅτι ἐπείϲθηϲ. δεῦρο δεῦρ', ὦ Ϲώκρατεϲ,
ἔξελθ'· ἄγω γάρ ϲοι τὸν υἱὸν τουτονί,
ἄκοντ' ἀναπείϲαϲ.
Ϲω. νηπύτιοϲ γάρ ἐϲτ' ἔτι,
καὶ τῶν κρεμαϲτῶν οὐ τρίβων τῶν ἐνθάδε.
Φε. αὐτὸϲ τρίβων εἴηϲ ἄν, εἰ κρέμαιό γε.
Ϲτ. οὐκ ἐϲ κόρακαϲ; καταρᾷ ϲὺ τῷ διδαϲκάλῳ;
Ϲω. ἰδοὺ κρέμαι'· ὡϲ ἠλίθιον ἐφθέγξατο
καὶ τοῖϲι χείλεϲιν διερρυηκόϲιν.
πῶϲ ἂν μάθοι ποθ' οὗτοϲ ἀπόφευξιν δίκηϲ
ἢ κλῆϲιν ἢ χαύνωϲιν ἀναπειϲτηρίαν;
καίτοι ταλάντου τοῦτ' ἔμαθεν Ὑπέρβολοϲ.
Ϲτ. ἀμέλει, δίδαϲκε. θυμόϲοφόϲ ἐϲτιν φύϲει·
εὐθύϲ γε τοι παιδάριον ὂν τυννουτονὶ
ἔπλαττεν ἔνδον οἰκίαϲ ναῦϲ τ' ἔγλυφεν
ἁμαξίδαϲ τε ϲυκίναϲ ἠργάζετο,
κἀκ τῶν ϲιδίων βατράχουϲ ἐποίει, πῶϲ δοκεῖϲ;
ὅπωϲ δ' ἐκείνω τὼ λόγω μαθήϲεται,
τὸν κρείττον' ὅϲτιϲ ἐϲτὶ καὶ τὸν ἥττονα,
ὃϲ τἄδικα λέγων ἀνατρέπει τὸν κρείττονα·
ἐὰν δὲ μή, τὸν γοῦν ἄδικον πάϲῃ τέχνῃ.
Ϲω. αὐτὸϲ μαθήϲεται παρ' αὐτοῖν τοῖν λόγοιν.

862 *πιθόμενοϲ* $Θ^{pc}$, Bentley: *πειθ-* cett. 869 *κρεμαϲτῶν* sch. RV ad 869, sch. VM ad 870: *κρεμαϲτρῶν* sch. RE ad 870: *κρεμαθρῶν* vel sim. codd., Su. *ν* 327, sch. EM ad 869, sch. ad *Vesp.* 1429 872 *κρέμαι'* Md1, Bentley: *κρέμαιό γ'* cett.: *γε κρέμαι'* Reisig 876 *ταλάντου τοῦτ'*] *γε ταλάντου τοῦτ'* RV: *ταλάντου γ' αὖτ'* Reisig 880 *ἁμαξίδαϲ*] *ἀναξυρίδαϲ* West *ϲυκίναϲ* Naber: *ϲκυτίναϲ* codd., Su. *ϲ* 722 883–4 secl. Dobree (883 = 113) 884 *λέγων* post *ἀνατρέπει* transp. Reisig 886 *αὐτοῖν*] *ἀμφοῖν* Thomas Magister

ἐγὼ δ' ἀπέcομαι.
Cτ. τοῦτό νυν μέμνηc', ὅπωc
πρὸc πάντα τὰ δίκαι' ἀντιλέγειν δυνήcεται.

*ΚΡΕΙΤΤΩΝ ΛΟΓΟC*

χώρει δευρί, δεῖξον cαυτὸν
τοῖcι θεαταῖc, καίπερ θραcὺc ὤν.

*ΗΤΤΩΝ ΛΟΓΟC*

ἴθ' ὅποι χρῄζειc· πολὺ γὰρ μᾶλλόν c'
ἐν τοῖc πολλοῖcι λέγων ἀπολῶ.
Κρ. ἀπολεῖc cύ; τίc ὤν;
Ητ. λόγοc.
Κρ. ἥττων γ' ὤν.
Ητ. ἀλλά cε νικῶ τὸν ἐμοῦ κρείττω
φάcκοντ' εἶναι.
Κρ. τί cοφὸν ποιῶν;
Ητ. γνώμαc καινὰc ἐξευρίcκων.
Κρ. ταῦτα γὰρ ἀνθεῖ διὰ τουτουcὶ
τοὺc ἀνοήτουc.
Ητ. οὔκ, ἀλλὰ cοφούc.
Κρ. ἀπολῶ cε κακῶc.
Ητ. εἰπέ, τί ποιῶν;
Κρ. τὰ δίκαια λέγων.
Ητ. ἀλλ' ἀνατρέψω γ' αὔτ' ἀντιλέγων·
οὐδὲ γὰρ εἶναι πάνυ φημὶ δίκην.
Κρ. οὐκ εἶναι φῄc;
Ητ. φέρε γάρ, ποῦ 'cτιν;
Κρ. παρὰ τοῖcι θεοῖc.

887 *νυν* RMNp1: *δ' οὖν* NZL: *γοῦν* cett. 889 hic *ΧΟΡΟΥ* praebet V i.m., cf. sch. VE, *ΧΟΡ(ΟC)* ut videtur R *ΚΡΕΙΤΤΩΝ ΛΟΓΟC* sch. RVE: *ΔΙΚΑΙΟC ΛΟΓΟC* codd. hic et infra 891 *ΗΤΤΩΝ ΛΟΓΟC* sch.: *ΑΔΙΚΟC ΛΟΓΟC* codd. hic et infra 894 *ἀλλά cε νικῶ*] *cὲ δὲ νικήcω* Blaydes 901 *ἀνατρέψω*] *-cτρέψω* RV *γ' αὔτ'* R: *ταῦτ'* cett.

Ητ. πῶϲ δῆτα δίκηϲ οὔϲηϲ ὁ Ζεὺϲ
οὐκ ἀπόλωλεν, τὸν πατέρ' αὑτοῦ
δήϲαϲ;
Κρ. αἰβοῖ, τουτὶ καὶ δὴ
χωρεῖ τὸ κακόν· δότε μοι λεκάνην.
Ητ. τυφογέρων εἶ κἀνάρμοϲτοϲ.
Κρ. καταπύγων εἶ κἀναίϲχυντοϲ.
Ητ. ῥόδα μ' εἴρηκαϲ.
Κρ. καὶ βωμολόχοϲ.
Ητ. κρίνεϲι ϲτεφανοῖϲ.
Κρ. καὶ πατραλοίαϲ.
Ητ. χρυϲῷ πάττων μ' οὐ γιγνώϲκειϲ.
Κρ. οὐ δῆτα πρὸ τοῦ γ', ἀλλὰ μολύβδῳ.
Ητ. νῦν δέ γε κόϲμοϲ τοῦτ' ἐϲτὶν ἐμοί.
Κρ. θραϲὺϲ εἶ πολλοῦ.
Ητ. ϲὺ δέ γ' ἀρχαῖοϲ.
Κρ. διὰ ϲὲ δὲ φοιτᾶν
οὐδεὶϲ ἐθέλει τῶν μειρακίων·
καὶ γνωϲθήϲει ποτ' Ἀθηναίοιϲ
οἷα διδάϲκειϲ τοὺϲ ἀνοήτουϲ.
Ητ. αὐχμεῖϲ αἰϲχρῶϲ.
Κρ. ϲὺ δέ γ' εὖ πράττειϲ.
καίτοι πρότερόν γ' ἐπτώχευεϲ,
Τήλεφοϲ εἶναι Μυϲὸϲ φάϲκων,
ἐκ πηριδίου
γνώμαϲ τρώγων Πανδελετείουϲ.
Ητ. ὤμοι ϲοφίαϲ—
Κρ. ὤμοι μανίαϲ—
Ητ. ἧϲ ἐμνήϲθηϲ—
Κρ. τῆϲ ϲῆϲ, πόλεωϲ θ'
ἥτιϲ ϲε τρέφει

905 ἀπόλωλεν L: -λε cett. αὑτοῦ sch. rec.: αὐ- cett. 916 διὰ ϲὲ δὲ RL: διὰ ϲὲ V: διὰ ϲὲ δὴ cett. 918 καὶ N: om. cett. 924 Πανδελετείουϲ L, Su. π 171 codd. GM$^{pc}$: -τίαϲ V: -τίουϲ cett. 925–6 ἧϲ ἐμνήϲθηϲ hic RVL, ante ὤμοι collocant cett.

λυμαινόμενον τοῖc μειρακίοιc.
*Ητ.* οὐχὶ διδάξειc τοῦτον Κρόνοc ὤν.
*Κρ.* εἴπερ γ' αὐτὸν cωθῆναι χρὴ
καὶ μὴ λαλιὰν μόνον ἀcκῆcαι.
*Ητ.* δεῦρ' ἴθι, τοῦτον δ' ἔα μαίνεcθαι.
*Κρ.* κλαύcει, τὴν χεῖρ' ἢν ἐπιβάλλῃc.
*Χο.* παύcαcθε μάχηc καὶ λοιδορίαc.
ἀλλ' ἐπίδειξαι cύ τε τοὺc προτέρουc
ἅττ' ἐδίδαcκεc, cύ τε τὴν καινὴν
παίδευcιν, ὅπωc ἂν ἀκούcαc cφῷν
ἀντιλεγόντοιν κρίναc φοιτᾷ.
*Κρ.* δρᾶν ταῦτ' ἐθέλω.
*Ητ.* κἄγωγ' ἐθέλω.
*Χο.* φέρε δή, πότεροc λέξει πρότεροc;
*Ητ.* τούτῳ δώcω·
κᾆτ' ἐκ τούτων ὧν ἂν λέξῃ
ῥηματίοιcιν καινοῖc αὐτὸν
καὶ διανοίαιc κατατοξεύcω,
τὸ τελευταῖον δ', ἢν ἀναγρύζῃ,
τὸ πρόcωπον ἅπαν καὶ τὠφθαλμὼ
κεντούμενοc ὥcπερ ὑπ' ἀνθρηνῶν
ὑπὸ τῶν γνωμῶν ἀπολεῖται.

*Χο.* νῦν δείξετον τὼ πιcύνω [cτρ.
τοῖc περιδεξίοιcιν
λόγοιcι καὶ φροντίcι καὶ
γνωμοτύποιc μερίμναιc,
λέγων ἀμείνων πότεροc

933 *ἐπιβάλλῃc* codd. recc., Brunck: *-βάλλειc* NL: *-βάλῃc* cett. 936 *τε*] *γε* RV: [P6] 940 *πότεροc* P6, R: *τίc* cett. *πρότεροc* Porson: *-ον* RN: *πρότεροc ὑμῶν* cett.: [P6] 943 *ῥηματίοιcιν* RL: *-οιcι* cett. 945 *ἀναγρύζῃ*] *-γρύξῃ* EKNΘL 952 *γνωμοτύποιc*] *-οιcι* RV: *-αιc* EKΘ[2] 953–4 *λέγων ἀμείνων πότεροc* Bergk: *ὁπότεροc αὐτοῖν λέγων ἀμείνων* codd.: *ὁπότεροc αὐτοῖν περιὼν* dubitanter Sommerstein *ἀμείνων* ante *λέγων* transp. Dover

φανήcεται. νῦν γὰρ ἅπας
ἐνθάδε κίνδυνος ἀνεῖται cοφίας,
ἧc πέρι τοῖc ἐμοῖc φίλοις
ἐcτὶν ἀγὼν μέγιcτοc.

ἀλλ', ὦ πολλοῖc τοὺc πρεcβυτέρους ἤθεcι χρηcτοῖc cτεφανώcαc,
ῥῆξον φωνὴν ᾗτινι χαίρειc, καὶ τὴν cαυτοῦ φύcιν εἰπέ.

Κρ. λέξω τοίνυν τὴν ἀρχαίαν παιδείαν ὡc διέκειτο,
ὅτ' ἐγὼ τὰ δίκαια λέγων ἤνθουν καὶ cωφροcύνη 'νενόμιcτο.
πρῶτον μὲν ἔδει παιδὸc φωνὴν γρύξαντοc μηδέν' ἀκοῦcαι·
εἶτα βαδίζειν ἐν ταῖcιν ὁδοῖc εὐτάκτωc εἰc κιθαριcτοῦ
τοὺc κωμήταc γυμνοὺc ἀθρόουc, κεἰ κριμνώδη κατανείφοι.
εἶτ' αὖ προμαθεῖν ᾆcμ' ἐδίδαcκεν, τὼ μηρὼ μὴ ξυνέχονταc,
ἢ "Παλλάδα περcέπολιν δεινάν" ἢ "τηλέπορόν τι βόαμα,"
ἐντειναμένουc τὴν ἁρμονίαν, ἣν οἱ πατέρεc παρέδωκαν.
εἰ δέ τιc αὐτῶν βωμολοχεύcαιτ' ἢ κάμψειέν τινα καμπήν,
οἵαc οἱ νῦν, τὰc κατὰ Φρῦνιν ταύταc τὰc δυcκολοκάμπτουc,
ἐπετρίβετο τυπτόμενοc πολλὰc ὡc τὰc Μούcαc ἀφανίζων.

954 φανήcεται] γενήcεται V  960 cαυτοῦ] αὑτοῦ RV  963 γρύξαντοc] γρύζοντοc O. Schneider  μηδέν'] μηδὲν RV  964 κιθαριcτοῦ] -ιcτάc RV: [P6]  965 κατανείφοι P8: -νίφοι codd.  966 ἐδίδαcκεν] ἐδίδαξε V  967 περcέπολιν A, sch. K: περcέπτολιν cett., Stobaeus 2.31.12, Aristides 2.162.8  968 ἐντειναμένουc] -μένηc RV: [P6 et P8]  969 κάμψειεν P6, v.l. ap. Arist., L: -ειε cett. post hunc v. inseruit Valckenaer v. ap. Photium et Sudam χ 296 traditum αὐτὸc δείξαc ἔν θ' ἁρμονίαιc χιάζων ἢ cιφνιάζων (fr. 930 K.-A.)

ἐν παιδοτρίβου δὲ καθίζονταϲ τὸν μηρὸν ἔδει προβαλέϲθαι
τοὺϲ παῖδαϲ, ὅπωϲ τοῖϲ ἔξωθεν μηδὲν δείξειαν ἀπηνέϲ·
εἶτ' αὖ πάλιν αὖθιϲ ἀνιϲτάμενον ϲυμψῆϲαι, καὶ προνοεῖϲθαι
εἴδωλον τοῖϲιν ἐραϲταῖϲιν τῆϲ ἥβηϲ μὴ καταλείπειν.
ἠλείψατο δ' ἂν τοὐμφαλοῦ οὐδεὶϲ παῖϲ ὑπένερθεν τότ' ἄν, ὥϲτε
τοῖϲ αἰδοίοιϲι δρόϲοϲ καὶ χνοῦϲ ὥϲπερ μήλοιϲιν ἐπήνθει·
οὐδ' ἂν μαλακὴν φυραϲάμενοϲ τὴν φωνὴν πρὸϲ τὸν ἐραϲτὴν
αὐτὸϲ ἑαυτὸν προαγωγεύων τοῖν ὀφθαλμοῖν ἐβάδιζεν,
οὐδ' ἀνελέϲθαι δειπνοῦντ' ἐξῆν κεφάλαιον τῆϲ ῥαφανῖδοϲ,
οὐδ' ἄννηθον τῶν πρεϲβυτέρων ἁρπάζειν οὐδὲ ϲέλινον,
οὐδ' ὀψοφαγεῖν, οὐδὲ κιχλίζειν, οὐδ' ἴϲχειν τὼ πόδ' ἐναλλάξ.

*Ητ.* ἀρχαῖά γε καὶ Διπολιώδη καὶ τεττίγων ἀνάμεϲτα
καὶ Κηδείδου καὶ Βουφονίων.

*Κρ.* ἀλλ' οὖν ταῦτ' ἐϲτὶν ἐκεῖνα
ἐξ ὧν ἄνδραϲ Μαραθωνομάχαϲ ἡμὴ παίδευϲιϲ ἔθρεψεν.
ϲὺ δὲ τοὺϲ νῦν εὐθὺϲ ἐν ἱματίοιϲι διδάϲκειϲ ἐντετυλίχθαι·
ὥϲτε μ' ἀπάγχεϲθ' ὅταν, ὀρχεῖϲθαι Παναθηναίοιϲ δέον αὐτούϲ,

975 ἀνιϲτάμενον RV: -νουϲ P8, cett., Stobaeus 2.31.12, Su. ϲ 1415: -νοιϲ P8 s.l. προνοεῖϲθαι RV: προνοῆϲαι EKNΘL 976 ἐραϲταῖϲιν Toup: -αιϲ(ι) codd., Stobaeus, Su. 980 τοῖν ὀφθαλμοῖν P8: τοῖϲ -οιϲ codd., Stobaeus 981 ἀνελέϲθαι KΘ, Stobaeus: ἂν ἑλέϲθαι cett., Su. ρ 55 982 οὐδ' ἄννηθον Dindorf: οὐδ' ἄνηθον RV, Stobaeus, Su. κ 1444, ρ 55: οὐδ' ἂν ἄνηθον EKNΘL: [P8] 984 Διπολιώδη Brunck: Διιπ- codd., Stobaeus, Su.: [P8] 985 Κηδείδου P8$^{pc}$, cf. titulos: Κειδ- Stobaeus: Κηκείδου vel sim. codd. 986 Μαραθωνομάχαϲ VE$^{ac}$: -μάχουϲ cett., Aristides 2.95.8, Stobaeus

*τὴν ἀcπίδα τῆc κωλῆc προέχων ἀμελῇ τιc Τριτογενείαc.*
*πρὸc ταῦτ', ὦ μειράκιον, θαρρῶν ἐμὲ τὸν κρείττω λόγον αἱροῦ·*
*κἀπιcτήcει μιcεῖν ἀγορὰν καὶ βαλανείων ἀπέχεcθαι,*
*καὶ τοῖc αἰcχροῖc αἰcχύνεcθαι, κἂν cκώπτῃ τίc cε φλέγεcθαι·*
*καὶ τῶν θάκων τοῖc πρεcβυτέροιc ὑπανίcταcθαι προcιοῦcιν,*
*καὶ μὴ περὶ τοὺc cαυτοῦ γονέαc cκαιουργεῖν, ἄλλο τε μηδὲν*
*αἰcχρὸν ποιεῖν, ὅ τι τῆc Αἰδοῦc μέλλει τἄγαλμ' ἀναπλήcειν·*
*μηδ' εἰc ὀρχηcτρίδοc εἰcᾴττειν, ἵνα μὴ πρὸc ταῦτα κεχηνὼc*
*μήλῳ βληθεὶc ὑπὸ πορνιδίου τῆc εὐκλείαc ἀποθραυcθῇc·*
*μηδ' ἀντειπεῖν τῷ πατρὶ μηδὲν μηδ' Ἰαπετὸν καλέcαντα*
*μνηcικακῆcαι τῆc ἡλικίαc ἐξ ἧc ἐνεοττοτροφήθηc.*
*Ητ.* *εἰ ταῦτ', ὦ μειράκιον, πείcει τούτῳ, νὴ τὸν Διόνυcον*
*τοῖc Ἱπποκράτουc υἱέcιν εἴξειc, καί cε καλοῦcι βλιτομάμμαν.*
*Κρ.* *ἀλλ' οὖν λιπαρόc γε καὶ εὐανθὴc ἐν γυμναcίοιc διατρίψειc,*
*οὐ cτωμύλλων κατὰ τὴν ἀγορὰν τριβολεκτράπελ', οἷάπερ οἱ νῦν,*

989 *κωλῆc*] *αἰδοῦc* Stobaeus *τιc* Ct1[ac], Hermann: *τῆc* cett., Stobaeus 994 *περὶ* E[pc]NΘ[2]L: *παρὰ* cett. *cαυτοῦ* E[pc]L: *cεαυτοῦ* cett. 995 *ὅ τι*] *οὗ* Henderson *μέλλει* interpretatio ap. Su. α 4716, novit sch. E: *-ειc* codd., Stobaeus, Su. *ἀναπλήcειν* codd. vett., Stobaeus, Su.: *ἀναπλάcειν* L: alii alia, e.g. *(ἀ)λαπάξειν* Dover, *παλάξειν* Sommerstein (*παλάccειν* iam Kock) 996 *εἰcᾴττειν* R[pc], Su. α 4716, ει 232, μ 938, cf. α 3324: *εἰcάγειν* R[ac]E[ac]KL, Stobaeus: *εἰcιέναι* cett. 999 *τῆc ἡλικίαc* Blaydes: *τὴν -αν* codd., Su. α 4716, ι 41

*οὐδ' ἑλκόμενος περὶ πραγματίου*
*γλιϲχραντιλογεξεπιτρίπτου·*
*ἀλλ' εἰϲ Ἀκαδήμειαν κατιὼν ὑπὸ ταῖϲ μορίαιϲ*
*ἀποθρέξει*
*ϲτεφανωϲάμενοϲ καλάμῳ λεπτῷ μετὰ ϲώφρονοϲ*
*ἡλικιώτου,*
*μίλακοϲ ὄζων καὶ ἀπραγμοϲύνηϲ καὶ λεύκηϲ*
*φυλλοβολούϲηϲ,*
*ἦροϲ θ' ὥρᾳ χαίρων, ὁπόταν πλάτανοϲ πτελέᾳ*
*ψιθυρίζῃ.*
*ἢν ταῦτα ποιῇϲ ἁγὼ φράζω,*
*καὶ πρὸϲ τούτοιϲ προϲέχῃϲ τὸν νοῦν,*
*ἕξειϲ αἰεὶ*
*ϲτῆθοϲ λιπαρόν, χροιὰν λαμπράν,*
*ὤμουϲ μεγάλουϲ, γλῶτταν βαιάν,*
*πυγὴν μεγάλην, πόϲθην μικράν.*
*ἢν δ' ἅπερ οἱ νῦν ἐπιτηδεύῃϲ,*
*πρῶτα μὲν ἕξειϲ*
*χροιὰν ὠχράν, ὤμουϲ μικρούϲ,*
*ϲτῆθοϲ λεπτόν, γλῶτταν μεγάλην,*
*πυγὴν μικράν, {κωλῆν μεγάλην,} ψήφιϲμα μακρόν·*
*καί ϲ' ἀναπείϲει τὸ μὲν αἰϲχρὸν ἅπαν*
*καλὸν ἡγεῖϲθαι, τὸ καλὸν δ' αἰϲχρόν·*
*καὶ πρὸϲ τούτοιϲ τῆϲ Ἀντιμάχου*
*καταπυγοϲύνηϲ ἀναπλήϲει.*

1005 *Ἀκαδήμειαν* anon. ap. Ernesti: *-μίαν* codd., Stobaeus, Su. *μ* 1248, sch. Soph. *O. C.* 701: *Ἑκαδημίαν* Su. *α* 774 *ἀποθρέξει* R, Stobaeus: *-ειϲ* fere cett., Su. locc. citt., sch. Soph.: *ὑποθρέξει* E: *καταθρέξειϲ* V 1006 *λεπτῷ* van Leeuwen: *λευκῷ* EKNΘL, Su., *α* 774: om. RV 1007 *μίλακοϲ*] *ϲμί-* $Θ^{2}$, Stobaeus: [P8] *φυλλοβολούϲηϲ*] *-φορούϲηϲ* Blaydes: *-κομούϲηϲ* Meineke 1008 *θ'* Sommerstein: *ἐν* codd. 1010 *πρὸϲ τούτοιϲ προϲέχῃϲ* codd.: *προϲτουτοι*[ P8: *πρὸϲ τούτοιϲιν ἔχῃϲ* Bergk: *τούτοιϲιν προϲέχῃϲ* Meineke: *μὴ τούτῳ προϲέχῃϲ* Kaehler 1012 *λαμπράν*] *λευκήν* RV: [P8] 1017 *μικρούϲ*] *λευκούϲ* et *λεπτούϲ* vv.ll. ap. sch. EM 1019 *μικράν*] *μεγάλην* $V^{ac}$ del. Austin v. om. $KΘ^{ac}$ 1023 *ἀναπλήϲει*] *κατα-* NZ

Χο. ὦ καλλίπυργον cοφίαν [ἀντ.
κλεινοτάτην ἐπαcκῶν,
ὡc ἡδύ cου τοῖcι λόγοιc
cῶφρον ἔπεcτιν ἄνθοc.
εὐδαίμονέc γ' ἦcαν ἄρ' οἱ
ζῶντεc τότ' ἐπὶ τῶν προτέρων·
πρὸc τάδε c', ὦ κομψοπρεπῆ μοῦcαν ἔχων,
δεῖ cε λέγειν τι καινόν, ὡc
ηὐδοκίμηκεν ἀνήρ.

δεινῶν δέ coι βουλευμάτων ἔοικε δεῖν πρὸc αὐτόν,
εἴπερ τὸν ἄνδρ' ὑπερβαλεῖ καὶ μὴ γέλωτ' ὀφλήcειc.

Ητ. καὶ μὴν πάλαι 'γὼ 'πνιγόμην τὰ cπλάγχνα κἀπεθύμουν
ἅπαντα ταῦτ' ἐναντίαιc γνώμαιcι cυνταράξαι.
ἐγὼ γὰρ ἥττων μὲν λόγοc δι' αὐτὸ τοῦτ' ἐκλήθην
ἐν τοῖcι φροντιcταῖcιν, ὅτι πρώτιcτοc ἐπενόηcα
τοῖcιν νόμοιc καὶ ταῖc δίκαιc τἀναντί' ἀντιλέξαι.
καὶ τοῦτο πλεῖν ἢ μυρίων ἔcτ' ἄξιον cτατήρων,
αἱρούμενον τοὺc ἥττοναc λόγουc ἔπειτα νικᾶν.
cκέψαι δὲ τὴν παίδευcιν ᾗ πέποιθεν, ὡc ἐλέγξω,
ὅcτιc cε θερμῷ φηcὶ λοῦcθαι πρῶτον οὐκ ἐάcειν.
καίτοι τίνα γνώμην ἔχων ψέγειc τὰ θερμὰ λουτρά;
Κρ. ὁτιὴ κάκιcτόν ἐcτι καὶ δειλὸν ποιεῖ τὸν ἄνδρα.
Ητ. ἐπίcχεc· εὐθὺc γάρ cε μέcον ἔχω λαβὴν ἄφυκτον.

1025 post κλεινοτάτην add. τ' $\Theta^2$, Thomas Magister, L 1028 γ' Blaydes: δ' codd. ἦcαν post ἄρ' transp. codd. praeter RVMd1Vb3 1030 τάδε c' Hall & Geldart: τάδε δ' L: οὖν τάδ' vett. 1033 ηὐδοκίμηκεν Dindorf: εὐ- codd. ἀνήρ Hermann: ἀ- codd. 1036 πάλαι 'γὼ Bentley: ἔγωγ' RV: πάλαι ἔγωγ' K: πάλαι γ' ἔγωγ' E$^{pc}$N: πάλαι γ' Thomas Magister: πάλ' ἔγωγ' L 1040 καὶ] ἐν Kock 1046 δειλὸν Thomas Magister, L: δειλότατον vett. ποιεῖ τὸν ἄνδρα] ἄνδρα ποιεῖ Reisig τὸν] τιν' Blaydes; sententiam interruptam esse possis credere 1047 μέcον post ἔχω transp. Su. ε 3522, lm. sch. E, Zonaras 924 λαβὴν W. H. Thompson: λαβὼν codd., Su.

καί μοι φράσον· τῶν τοῦ Διὸς παίδων τίν' ἄνδρ' ἄριστον
ψυχὴν νομίζεις, εἰπέ, καὶ πλείστους πόνους πονῆσαι;
Κρ. ἐγὼ μὲν οὐδέν' Ἡρακλέους βελτίον' ἄνδρα κρίνω. 1050
Ητ. ποῦ ψυχρὰ δῆτα πώποτ' εἶδες Ἡράκλεια λουτρά;
καίτοι τίς ἀνδρειότερος ἦν;
Κρ. ταῦτ' ἐστὶ ταῦτ' ἐκεῖνα,
ἃ τῶν νεανίσκων ἀεὶ δι' ἡμέρας λαλούντων
πλῆρες τὸ βαλανεῖον ποιεῖ, κενὰς δὲ τὰς παλαίστρας.
Ητ. εἶτ' ἐν ἀγορᾷ τὴν διατριβὴν ψέγεις· ἐγὼ δ' ἐπαινῶ.
εἰ γὰρ πονηρὸν ἦν, Ὅμηρος οὐδέποτ' ἂν ἐποίει 1056
τὸν Νέστορ' ἀγορητὴν ἄν, οὐδὲ τοὺς σοφοὺς ἅπαντας.
ἄνειμι δῆτ' ἐντεῦθεν εἰς τὴν γλῶτταν, ἣν ὁδὶ μὲν
οὔ φησι χρῆναι τοὺς νέους ἀσκεῖν· ἐγὼ δέ φημι. 1059
καὶ σωφρονεῖν αὖ φησι χρῆναι· δύο κακὼ μεγίστω.
ἐπεὶ σὺ διὰ τὸ σωφρονεῖν τῷ πώποτ' εἶδες ἤδη
ἀγαθόν τι γενόμενον; φράσον, καί μ' ἐξέλεγξον εἰπών.
Κρ. πολλοῖς. ὁ γοῦν Πηλεὺς ἔλαβε διὰ τοῦτο τὴν μάχαιραν.
Ητ. μάχαιραν; ἀστεῖόν γε κέρδος ἔλαβεν ὁ κακοδαίμων.
Ὑπέρβολος δ' οὐκ τῶν λύχνων πλεῖν ἢ τάλαντα πολλὰ
εἴληφε διὰ πονηρίαν, ἀλλ' οὐ μὰ Δί' οὐ μάχαιραν. 1066
Κρ. καὶ τὴν Θέτιν γ' ἔγημε διὰ τὸ σωφρονεῖν ὁ Πηλεύς.
Ητ. κᾆτ' ἀπολιποῦσά γ' αὐτὸν ᾤχετ'· οὐ γὰρ ἦν ὑβριστὴς
οὐδ' ἡδὺς ἐν τοῖς στρώμασιν τὴν νύκτα παννυχίζειν·
γυνὴ δὲ σιναμωρουμένη χαίρει· σὺ δ' εἶ 1070
Κρόνιππος.
σκέψαι γάρ, ὦ μειράκιον, ἐν τῷ σωφρονεῖν ἅπαντα
ἄνεστιν, ἡδονῶν θ' ὅσων μέλλεις ἀποστερεῖσθαι,
παίδων, γυναικῶν, κοττάβων, ὄψων, πότων,
καχασμῶν.

1048 παίδων om. RV 1063 τοῦτο] αὐτὸ Porson 1064 γε] τὸ RΘ : γε τὸ N 1065 οὐκ Reisig: οὐκ RV: οὐκ ἐκ fere cett. 1066 εἴληφε Sommerstein, cf. titulos: εἴ- codd.; non amplius notatur 1069 στρώμασιν Θ²L: -σι cett. 1073 καχασμῶν R: κιχλισμῶν cett.

καίτοι τί ϲοι ζῆν ἄξιον, τούτων ἐὰν ϲτερηθῇϲ;
εἶέν. πάρειμ' ἐντεῦθεν εἰϲ τὰϲ τῆϲ φύϲεωϲ
 ἀνάγκαϲ.
ἥμαρτεϲ, ἠράϲθηϲ, ἐμοίχευϲάϲ τι, κᾆτ' ἐλήφθηϲ·
ἀπόλωλαϲ· ἀδύνατοϲ γὰρ εἶ λέγειν. ἐμοὶ δ' ὁμιλῶν
χρῶ τῇ φύϲει, ϲκίρτα, γέλα, νόμιζε μηδὲν αἰϲχρόν.
μοιχὸϲ γὰρ ἢν τύχῃϲ ἁλούϲ, τάδ' ἀντερεῖϲ πρὸϲ αὐτόν,
ὡϲ οὐδὲν ἠδίκηκαϲ· εἶτ' εἰϲ τὸν Δί' ἐπανενεγκεῖν,
κἀκεῖνοϲ ὡϲ ἥττων ἔρωτόϲ ἐϲτι καὶ γυναικῶν·
καίτοι ϲὺ θνητὸϲ ὢν θεοῦ πῶϲ μεῖζον ἂν δύναιο;
Κρ. τί δ' ἢν ῥαφανιδωθῇ πιθόμενόϲ ϲοι τέφρᾳ τε τιλθῇ;
ἕξει τινὰ γνώμην λέγειν τὸ μὴ εὐρύπρωκτοϲ εἶναι;
Ητ. ἢν δ' εὐρύπρωκτοϲ ᾖ, τί πείϲεται κακόν;
Κρ. τί μὲν οὖν ἂν ἔτι μεῖζον πάθοι τούτου ποτέ;
Ητ. τί δῆτ' ἐρεῖϲ, ἢν τοῦτο νικηθῇϲ ἐμοῦ;
Κρ. ϲιγήϲομαι. τί δ' ἄλλο;
Ητ. φέρε δή μοι φράϲον·
ϲυνηγοροῦϲιν ἐκ τίνων;
Κρ. ἐξ εὐρυπρώκτων.
Ητ. πείθομαι.
τί δαί; τραγῳδοῦϲ' ἐκ τίνων;
Κρ. ἐξ εὐρυπρώκτων.
Ητ. εὖ λέγειϲ.
δημηγοροῦϲι δ' ἐκ τίνων;
Κρ. ἐξ εὐρυπρώκτων.
Ητ. ἆρα δῆτ'
ἔγνωκαϲ ὡϲ οὐδὲν λέγειϲ;
καὶ τῶν θεατῶν ὁπότεροι
πλείουϲ ϲκόπει.
Κρ. καὶ δὴ ϲκοπῶ.
Ητ. τί δῆθ' ὁρᾷϲ;

1076 κᾆτ' ἐλήφθηϲ Bentley: κατε- fere codd. 1080 ἠδίκηκαϲ] -ηϲαϲ E$^{\gamma}$KNΘL 1083 πιθόμενοϲ Θ: πειθ- cett. 1084 τινα] τίνα KΘ$^{1}$, lm. sch. E 1093 δημηγοροῦϲι δ' R: δημαγωγοῦϲι δ' fere cett.: καὶ δημαγωγοῦϲ' L

Κρ. πολὺ πλείονας, νὴ τοὺς θεούς,
τοὺς εὐρυπρώκτους· τουτονὶ
γοῦν οἶδ' ἐγὼ κἀκεινονὶ
καὶ τὸν κομήτην τουτονί.
Ητ. τί δῆτ' ἐρεῖς;
Κρ. ἡττήμεθ'· ὦ κινούμενοι,
πρὸς τῶν θεῶν δέξαcθέ μου
θοἰμάτιον, ὡς
ἐξαυτομολῶ πρὸς ὑμᾶς.
Ητ. τί δῆτα; πότερα τοῦτον ἀπάγεcθαι λαβὼν
βούλει τὸν υἱόν, ἢ διδάσκω σοι λέγειν;
Cτ. δίδαcκε καὶ κόλαζε, καὶ μέμνηc' ὅπως
εὖ μοι cτομώcειc αὐτόν, ἐπὶ μὲν θάτερα
οἷον δικιδίοιc, τὴν δ' ἑτέραν αὐτοῦ γνάθον
cτόμωcον οἵαν εἰc τὰ μείζω πράγματα.
Ητ. ἀμέλει, κομιεῖ τοῦτον cοφιcτὴν δεξιόν.
Φε. ὠχρὸν μὲν οὖν οἶμαί γε καὶ κακοδαίμονα.
Χο. χωρεῖτέ νυν. οἶμαι δὲ cοὶ
ταῦτα μεταμελήcειν.

τοὺc κριτὰc ἃ κερδανοῦcιν, ἤν τι τόνδε τὸν χορὸν
ὠφελῶc' ἐκ τῶν δικαίων, βουλόμεcθ' ἡμεῖc φράcαι.
πρῶτα μὲν γάρ, ἢν νεᾶν βούληcθ' ἐν ὥρᾳ τοὺc ἀγρούc,
ὕcομεν πρώτοιcιν ὑμῖν, τοῖcι δ' ἄλλοιc ὕcτερον.
εἶτα τὰc καρπὸν τεκούcαc ἀμπέλουc φυλάξομεν,
ὥcτε μήτ' αὐχμὸν πιέζειν μήτ' ἄγαν ἐπομβρίαν.
ἢν δ' ἀτιμάcῃ τιc ἡμᾶc θνητὸc ὢν οὔcαc θεάc,
προcεχέτω τὸν νοῦν, πρὸc ἡμῶν οἷα πείcεται κακά,
λαμβάνων οὔτ' οἶνον οὔτ' ἄλλ' οὐδὲν ἐκ τοῦ χωρίου.

1105–6, 1111 ita tribuunt sch., Socrati codd. 1105 πότερα] πότερον EKNΘL 1106 cοι RVNL: τὸ EKΘ: δὴ Thomas Magister 1108 cτομώcειc] -cῃc RVN, Su. c 1138 θάτερα] θατέραν E 1109 οἷον sch. V: οἵαν codd., Su. 1110 οἵαν] οἷον RV 1113 χωρεῖτε EK: χώρει cett. 1116 ἡμεῖc RV: ὑμεῖc K: ὑμῖν EΘL: ἡμῖν N 1119 τὰc Sommerstein: τὸν codd.

ἡνίκ' ἂν γὰρ αἵ τ' ἐλαῖαι βλαστάνωϲ' αἵ τ' ἄμπελοι,
ἀποκεκόψονται· τοιαύταιϲ ϲφενδόναιϲ παιήϲομεν.
ἢν δὲ πλινθεύοντ' ἴδωμεν, ὕϲομεν καὶ τοῦ τέγουϲ
τὸν κέραμον αὐτοῦ χαλάζαιϲ ϲτρογγύλαιϲ
ϲυντρίψομεν.
κἂν γαμῇ ποτ' αὐτὸϲ ἢ τῶν ξυγγενῶν τιϲ ἢ φίλων,
ὕϲομεν τὴν νύκτα πᾶϲαν· ὥϲτ' ἴϲωϲ βουλήϲεται
κἂν ἐν Αἰγύπτῳ τυχεῖν ὢν μᾶλλον ἢ κρῖναι
κακῶϲ.

Ϲτ. πέμπτη, τετράϲ, τρίτη, μετὰ ταύτην δευτέρα,
εἶθ', ἣν ἐγὼ μάλιϲτα παϲῶν ἡμερῶν
δέδοικα καὶ πέφρικα καὶ βδελύττομαι,
εὐθὺϲ μετὰ ταύτην ἔϲθ' ἕνη τε καὶ νέα.
πᾶϲ γάρ τιϲ ὀμνύϲ, οἷϲ ὀφείλων τυγχάνω,
θείϲ μοι πρυτανεῖ' ἀπολεῖν μέ φηϲι κἀξολεῖν,
ἐμοῦ τε μέτρια καὶ δίκαι' αἰτουμένου,
"ὦ δαιμόνιε, τὸ μέν τι νυνὶ μὴ λάβηϲ,
τὸ δ' ἀναβαλοῦ μοι, τὸ δ' ἄφεϲ", οὔ φαϲίν ποτε
οὕτωϲ ἀπολήψεϲθ', ἀλλὰ λοιδοροῦϲί με
ὡϲ ἄδικόϲ εἰμι, καὶ δικάϲεϲθαί φαϲί μοι.
νῦν οὖν δικαζέϲθων· ὀλίγον γάρ μοι μέλει,
εἴπερ μεμάθηκεν εὖ λέγειν Φειδιππίδηϲ.
τάχα δ' εἴϲομαι κόψαϲ τὸ φροντιϲτήριον.
παῖ, ἠμί, παῖ παῖ.

Ϲω. Ϲτρεψιάδην ἀϲπάζομαι.

Ϲτ. κἄγωγέ ϲ'. ἀλλὰ τουτονὶ πρῶτον λαβέ·
χρὴ γὰρ ἐπιθαυμάζειν τι τὸν διδάϲκαλον.
καί μοι τὸν υἱὸν εἰ μεμάθηκε τὸν λόγον
ἐκεῖνον, εἴφ', ὃν ἀρτίωϲ εἰϲήγαγεϲ.

1124 ἂν UL: om. cett. 1127 αὐτοῦ] αὐτῷ Blaydes 1128 τιϲ ἢ van Herwerden (1862): ἢ τῶν fere codd.: ἤ τιϲ τῶν Md1[ac]Vs1 1135 ὀμνύϲ E[pc]K: ὄμνυϲ' cett. 1137 ἐμοῦ τε μέτρια Green: ἐμοῦ μέτριά τε fere codd.: κἀμοῦ μέτριά τε V3 1138 μὴ λάβηϲ] μὲν λαβέ Blaydes: μοι λαβέ Naber 1141 δικάϲεϲθαι Θ: -ϲαϲθαι cett.

Σω. μεμάθηκεν.
Στ. εὖ γ', ὦ παμβαcίλει' Ἀπαιόλη.
Σω. ὥcτ' ἀποφύγοιc ἂν ἥντιν' ἂν βούλῃ δίκην.
Στ. κεἰ μάρτυρεc παρῆcαν ὅτ' ἐδανειζόμην;
Σω. πολλῷ γε μᾶλλον, κἂν παρῶcι χίλιοι.
Στ. βοάcομαι τἄρα τὰν ὑπέρτονον
βοάν. ἰώ, κλάετ', ὠβολοcτάται
αὐτοί τε καὶ τἀρχαῖα χοἰ τόκοι τόκων·
οὐδὲν γὰρ ἄν με φλαῦρον ἐργάcαιcθ' ἔτι,
οἷοc ἐμοὶ τρέφεται
τοῖcδ' ἐνὶ δώμαcι παῖc,
ἀμφήκει γλώττῃ λάμπων,
πρόβολοc ἐμόc, cωτὴρ δόμοιc, ἐχθροῖc βλάβη,
λυcανίαc πατρῴων μεγάλων κακῶν·
ὃν κάλεcον τρέχων ἔνδοθεν ὡc ἐμέ.
ὦ τέκνον, ὦ παῖ, ἔξελθ' οἴκων,
ἄιε coῦ πατρόc.
Σω. ὅδ' ἐκεῖνοc ἀνήρ.
Στ. ὦ φίλοc, ὦ φίλοc.
Σω. ἄπιθι λαβών.
Στ. ἰὼ ἰώ, τέκνον.
ἰοὺ ἰού.
ὡc ἥδομαί cου πρῶτα τὴν χροιὰν ἰδών.
νῦν μέν γ' ἰδεῖν εἶ πρῶτον ἐξαρνητικὸc
κἀντιλογικόc, καὶ τοῦτο τοὐπιχώριον
ἀτεχνῶc ἐπανθεῖ, τὸ "τί λέγειc cύ;" καὶ δοκεῖν
ἀδικοῦντ' ἀδικεῖcθαι, καὶ κακουργοῦντ', οἶδ' ὅτι·
ἐπὶ τοῦ προcώπου τ' ἐcτὶν Ἀττικὸν βλέποc.

1154 τἄρα R: γὰρ V: γ' ἄρα cett. 1156 χοἰ Blaydes: καὶ codd. 1157 ἐργάcαιcθ' M: -cεcθ' fere cett.: -ηcθ' L 1161 βλάβη RV, Su. ι 483: ἀνιαρόc cett. 1164 τρέχων post ἔνδοθεν transp. RV 1169 λαβών Dover: λαβὼν τὸν υἱόν cου RV: cὺ λαβών EKNΘL cυλλαβών Thomas Magister: cφε λαβών Sommerstein 1170 post τέκνον add. ἰώ V 1176 hunc v. fortasse secludendum censuit Dover Ἀττικὸν] τἀττικὸν Su. τ 585 codd. GV

νῦν οὖν ὅπως cώcειc μ', ἐπεὶ κἀπώλεcαc.
Φε. φοβεῖ δὲ δή τί;
Cτ. τὴν ἕνην τε καὶ νέαν.
Φε. ἕνη γάρ ἐcτι καὶ νέα τιc ἡμέρα;
Cτ. εἰc ἥν γε θήcειν τὰ πρυτανεῖά φαcί μοι.
Φε. ἀπολοῦc' ἄρ' αὔθ' οἱ θέντεc. οὐ γὰρ ἐcθ' ὅπωc
μί' ἡμέρα γένοιτ' ἂν ἡμέραι δύο.
Cτ. οὐκ ἂν γένοιτο;
Φε. πῶc γάρ; εἰ μή περ γ' ἅμα
αὑτὴ γένοιτ' ἂν γραῦc τε καὶ νέα γυνή.
Cτ. καὶ μὴν νενόμιcταί γ'.
Φε. οὐ γάρ, οἶμαι, τὸν νόμον
ἴcαcιν ὀρθῶc ὅ τι νοεῖ.
Cτ. νοεῖ δὲ τί;
Φε. ὁ Cόλων ὁ παλαιὸc ἦν φιλόδημοc τὴν φύcιν.
Cτ. τουτὶ μὲν οὐδέν πω πρὸc ἕνην τε καὶ νέαν.
Φε. ἐκεῖνοc οὖν τὴν κλῆcιν εἰc δύ' ἡμέραc
ἔθηκεν, εἴc γε τὴν ἕνην τε καὶ νέαν,
ἵν' αἱ θέcειc γίγνοιντο τῇ νουμηνίᾳ.
Cτ. ἵνα δὴ τί τὴν ἕνην προcέθηκεν;
Φε. ἵν', ὦ μέλε,
παρόντεc οἱ φεύγοντεc ἡμέρᾳ μιᾷ
πρότερον ἀπαλλάττοινθ' ἑκόντεc, εἰ δὲ μή,
ἕωθεν ὑπανιῷντο τῇ νουμηνίᾳ.
Cτ. πῶc οὐ δέχονται δῆτα τῇ νουμηνίᾳ
ἀρχαὶ τὰ πρυτανεῖ', ἀλλ' ἕνῃ τε καὶ νέᾳ;
Φε. ὅπερ οἱ προτένθαι γὰρ δοκοῦcί μοι παθεῖν·
ὅπωc τάχιcτα τὰ πρυτανεῖ' ὑφελοίατο,
διὰ τοῦτο προὐτένθευcαν ἡμέρᾳ μιᾷ.
Cτ. εὖ γ'· ὦ κακοδαίμονεc, τί κάθηcθ' ἀβέλτεροι,

1182 ἡμέραι] ἡμέρα R 1184 αὑτὴ codd. recc.: αὕτη RV: αὐτὴ cett.: ἡ αὐτὴ Eustathius 66.18 ἂν om. A$E^{ac}$ΘL, Eustathius 1192 προcέθηκεν] προcέθηχ' Bentley 1197 ἀρχαὶ Hermann, cf. Athen. 171 C: ἄρχαι codd. 1198 παθεῖν] ποιεῖν RV 1199 ὅπωc] ἵν' ὡc $E^{ac}$KZΘL

ἡμέτερα κέρδη τῶν ϲοφῶν, ὄντεϲ λίθοι,
ἀριθμόϲ, πρόβατ' ἄλλωϲ, ἀμφορῆϲ νενημένοι;
ὥϲτ' εἰϲ ἐμαυτὸν καὶ τὸν υἱὸν τουτονὶ
ἐπ' εὐτυχίαιϲιν ᾀϲτέον μοὐγκώμιον.
"μάκαρ ὦ Ϲτρεψίαδεϲ,
αὐτόϲ τ' ἔφυϲ ὡϲ ϲοφὸϲ
χοἷον τὸν υἱὸν τρέφειϲ,"
φήϲουϲι δή μ' οἱ φίλοι χοἰ δημόται
ζηλοῦντεϲ ἡνίκ' ἂν ϲὺ νι-
κᾷϲ λέγων τὰϲ δίκαϲ.
ἀλλ' εἰϲάγων ϲε βούλομαι
πρῶτον ἑϲτιᾶϲαι.

ΧΡΗϹΤΗϹ Α′

εἶτ' ἄνδρα τῶν αὑτοῦ τι χρὴ προϊέναι;
οὐδέποτέ γ', ἀλλὰ κρεῖττον εὐθὺϲ ἦν τότε
ἀπερυθριᾶϲαι μᾶλλον ἢ ϲχεῖν πράγματα,
ὅτε τῶν ἐμαυτοῦ γ' ἕνεκα νυνὶ χρημάτων
ἕλκω ϲε κλητεύϲοντα, καὶ γενήϲομαι
ἐχθρὸϲ ἔτι πρὸϲ τούτοιϲιν ἀνδρὶ δημότῃ.
ἀτὰρ οὐδέποτέ γε τὴν πατρίδα καταιϲχυνῶ
ζῶν, ἀλλὰ καλοῦμαι Ϲτρεψιάδην—

Ϲτ. τίϲ οὑτοϲί;

Χρ. εἰϲ τὴν ἕνην τε καὶ νέαν.

Ϲτ. μαρτύρομαι
ὅτι εἰϲ δύ' εἶπεν ἡμέραϲ. τοῦ χρήματοϲ;

Χρ. τῶν δώδεκα μνῶν, ἃϲ ἔλαβεϲ ὠνούμενοϲ
τὸν ψαρὸν ἵππον.

Ϲτ. ἵππον; οὐκ ἀκούετε;
ὃν πάντεϲ ὑμεῖϲ ἴϲτε μιϲοῦνθ' ἱππικήν.

1203 νενημένοι Bentley: νενηϲμένοι codd. 1206 ante μάκαρ add. ὦ sch. V 1208 τρέφειϲ R: ἐκτρέφειϲ cett. 1212 εἰϲάγων RV: εἰϲαγαγὼν cett. 1214 *ΧΡΗϹΤΗϹ Α′* Dover: *ΔΑΝΕΙϹΤΗϹ* REN: *ΠΑϹΙΑϹ ΔΑΝΕΙϹΤΗϹ* VK: *ΔΑΝΕΙϹΤΗϹ ΠΑϹΙΑϹ* L 1215 εὐθὺϲ post ἦν transp. ΕΚΘ 1220 γε om. RVK

Χρ. καὶ νὴ Δί' ἀποδώϲειν γ' ἐπώμνυϲ τοὺϲ θεούϲ.
Ϲτ. μὰ τὸν Δί' οὐ γάρ πω τότ' ἐξηπίϲτατο
Φειδιππίδηϲ μοι τὸν ἀκατάβλητον λόγον.
Χρ. νῦν δὲ διὰ τοῦτ' ἔξαρνοϲ εἶναι διανοεῖ;
Ϲτ. τί γὰρ ἄλλ' ἂν ἀπολαύϲαιμι τοῦ μαθήματοϲ;
Χρ. καὶ ταῦτ' ἐθελήϲειϲ ἀπομόϲαι μοι τοὺϲ θεούϲ,
ἵν' ἂν κελεύϲω 'γώ ϲε;
Ϲτ. τοὺϲ ποίουϲ θεούϲ;
Χρ. τὸν Δία, τὸν Ἑρμῆν, τὸν Ποϲειδῶ.
Ϲτ. νὴ Δία·
κἂν προϲκαταθείην γ' ὥϲτ' ὀμόϲαι τριώβολον.
Χρ. ἀπόλοιο τοίνυν ἕνεκ' ἀναιδείαϲ ἔτι.
Ϲτ. ἁλϲὶν διαϲμηχθεὶϲ ὄναιτ' ἂν οὑτοϲί.
Χρ. οἴμ', ὡϲ καταγελᾷϲ.
Ϲτ. ἓξ χοᾶϲ χωρήϲεται.
Χρ. οὔτοι μὰ τὸν Δία τὸν μέγαν καὶ τοὺϲ θεοὺϲ
ἐμοῦ καταπροίξει.
Ϲτ. θαυμαϲίωϲ ἥϲθην θεοῖϲ,
καὶ Ζεὺϲ γέλοιοϲ ὀμνύμενοϲ τοῖϲ εἰδόϲιν.
Χρ. ἦ μὴν ϲὺ τούτων τῷ χρόνῳ δώϲειϲ δίκην.
ἀλλ' εἴτ' ἀποδώϲειϲ μοι τὰ χρήματ' εἴτε μή,
ἀπόπεμψον ἀποκρινάμενοϲ.
Ϲτ. ἔχε νυν ἥϲυχοϲ.
ἐγὼ γὰρ αὐτίκ' ἀποκρινοῦμαί ϲοι ϲαφῶϲ.
Χρ. τί ϲοι δοκεῖ δράϲειν; ἀποδώϲειν ϲοι δοκεῖ;
Ϲτ. ποῦ 'ϲθ' οὗτοϲ ἁπαιτῶν με τἀργύριον; λέγε,

1228 ante μὰ add. τὸ χρέοϲ codd. plerique: om. NMd1$^{pc}$ UL μὰ τὸν L: μὰ fere cett.: νὴ τὸν Θ$^{2}$ οὐ γὰρ] οὐ δῆτ' οὐ γὰρ E$^{ac}$KΘ πω τότ' NL: πώποτ' RVE: τότ' Θ$^{1}$: om. K 1231 ἄλλ' ἂν L: ἂν RV: ἄλλο γ' K: ἄλλο γ' ἂν cett. 1233 ἵν' ἂν ... ϲε om. R τοὺϲ KNL: om. RVEΘ 1235 γ' VENΘL: om. RK 1241 καὶ] ὡϲ Blaydes 1243 ἀποδώϲειϲ μοι KL: γ' ἀποδώϲειϲ E$^{pc}$N: ἀποδώϲειϲ RVE$^{ac}$Θ, quo recepto εἴτε μὴ ante τὰ χρήματα traiecit Blaydes: ἀποδώϲειϲ δὴ Thomas Magister 1246 ἀποδώϲειν ϲοι δοκεῖ Testi tribuisse quosdam testatur sch. E ϲοι] μοι Thomas Magister 1247 ἁπαιτῶν Reisig: ὁ ἀπ- K: ὦ 'π- NL: ἀπ- cett.

*τουτὶ τί ἐcτι;*
Χρ. *τοῦθ' ὅ τι ἐcτί; κάρδοπος.*
Cτ. *ἔπειτ' ἀπαιτεῖc ἀργύριον τοιοῦτος ὤν;*
*οὐκ ἂν ἀποδοίην οὐδ' ἂν ὀβολὸν οὐδενὶ*
*ὅcτιc καλέcειε κάρδοπον τὴν καρδόπην.*
Χρ. *οὐκ ἄρ' ἀποδώcειc;*
Cτ. *οὐχ ὅcον γ' ἔμ' εἰδέναι.*
*οὔκουν ἀνύcαc τι θᾶττον ἀπολιταργιεῖc*
*ἀπὸ τῆc θύραc;*
Χρ. *ἄπειμι· καὶ τοῦτ' ἴcθ', ὅτι*
*θήcω πρυτανεῖ', ἢ μηκέτι ζῴην ἐγώ.*
Cτ. *προcαποβαλεῖc ἄρ' αὐτὰ πρὸc ταῖc δώδεκα.*
*καίτοι cε τοῦτό γ' οὐχὶ βούλομαι παθεῖν,*
*ὁτιὴ 'κάλεcαc εὐηθικῶc "τὴν κάρδοπον".*

*ΧΡΗCΤΗC Β'*

*ἰώ μοί μοι.*
Cτ. *ἔα.*
*τίc οὑτοcί ποτ' ἔcθ' ὁ θρηνῶν; οὔ τι που*
*τῶν Καρκίνου τιc δαιμόνων ἐφθέγξατο;*
Χρ. *τί δ', ὅcτιc εἰμί, τοῦτο βούλεcθ' εἰδέναι;*
*ἀνὴρ κακοδαίμων.*
Cτ. *κατὰ cεαυτόν νυν τρέπου.*
Χρ. *ὦ cκληρὲ δαῖμον, ὦ τύχαι θραυcάντυγεc*
*ἵππων ἐμῶν, ὦ Παλλάc, ὥc μ' ἀπώλεcαc.*
Cτ. *τί δαί cε Τληπόλεμόc ποτ' εἴργαcται κακόν;*
Χρ. *μὴ cκῶπτέ μ', ὦ τᾶν, ἀλλά μοι τὰ χρήματα*
*τὸν υἱὸν ἀποδοῦναι κέλευcον ἅλαβεν,*

1249 *ἀργύριον* E$^{ac}$KL : *τἀργύριον* cett. 1254 *καὶ τοῦτ'*] *καίτοι γ'* E$^{ac}$ΘL : *καὶ cοί γ'* Reisig : *κᾆτ' εὖ* Elmsley 1256 *προcαποβαλεῖc*] *καὶ προc-* RΘ$^{2}$: *καὶ προcαπολεῖc* V 1259 *ΧΡΗCΤΗC Β'* Dover: *ΑΜΥΝΙΑC* ΚΘ: *ΔΑΝΕΙCΤΗC* fere cett.: *ΕΤΕΡΟC ΔΑΝΕΙCΤΗC* L 1260 *τίc ... θρηνῶν;*] *τίc ἔcθ' ὁ θρηνῶν οὗτοc;* RV 1262 *βούλεcθ' εἰδέναι*] *βούλει μανθάνειν* Blaydes 1263 *cεαυτὸν* L: *cαυτὸν* cett. 1266 *δαί* RL s.l. : *δέ* cett. : *δὴ* Blaydes *Τλημπόλεμοc* R : *Τληπ-* cett.

ἄλλως τε μέντοι καὶ κακῶς πεπραγότι.
Στ. τὰ ποῖα ταῦτα χρήμαθ';
Χρ. ἁδανείσατο.
Στ. κακῶς ἄρ' ὄντως εἶχες, ὥς γ' ἐμοὶ δοκεῖς.
Χρ. ἵππους γ' ἐλαύνων ἐξέπεσον, νὴ τοὺς θεούς.
Στ. τί δῆτα ληρεῖς ὥσπερ ἀπ' ὄνου καταπεσών;
Χρ. ληρῶ, τὰ χρήματ' ἀπολαβεῖν εἰ βούλομαι;
Στ. οὐκ ἔσθ' ὅπως σύ γ' αὖθις ὑγιανεῖς.
Χρ. τί δαί;
Στ. τὸν ἐγκέφαλον ὥσπερ σεσεῖσθαί μοι δοκεῖς.
Χρ. σὺ δὲ νὴ τὸν Ἑρμῆν προσκεκλήσεσθαί γ' ἐμοί,
εἰ μἀποδώσεις τἀργύριον.
Στ. κάτειπέ νυν,
πότερα νομίζεις καινὸν αἰεὶ τὸν Δία
ὕειν ὕδωρ ἑκάστοτ', ἢ τὸν ἥλιον
ἕλκειν κάτωθεν ταὐτὸ τοῦθ' ὕδωρ πάλιν;
Χρ. οὐκ οἶδ' ἔγωγ' ὁπότερον, οὐδέ μοι μέλει.
Στ. πῶς οὖν ἀπολαβεῖν τἀργύριον δίκαιος εἶ,
εἰ μηδὲν οἶσθα τῶν μετεώρων πραγμάτων;
Χρ. ἀλλ' εἰ σπανίζετ' ἀργυρίου, τὸν γοῦν τόκον
ἀπόδοτε.
Στ. τοῦτο δ' ἔσθ', ὁ τόκος, τί θηρίον;
Χρ. τί δ' ἄλλο γ' ἢ κατὰ μῆνα καὶ καθ' ἡμέραν
πλέον πλέον τἀργύριον αἰεὶ γίγνεται
ὑπορρέοντος τοῦ χρόνου;
Στ. καλῶς λέγεις.
τί δῆτα; τὴν θάλατταν ἔσθ' ὅτι πλείονα
νυνὶ νομίζεις ἢ πρὸ τοῦ;
Χρ. μὰ Δί', ἀλλ' ἴσην.

1269 τε] γε RV 1272 γ' om. RV 1275 αὖθις Hermann, ὑγιανεῖς Bergk: αὐτὸς ὑγιαίνεις codd. 1285 σπανίζετ' ἀργυρίου Blaydes: σπανίζεις τἀργυρίου fere codd. (sed ἀργυρίου N) τὸν γοῦν Blaydes: μοι τὸν codd. 1286 ἀπόδοτε RV: ἀπόδος fere cett.: ἀπόδος γε Thomas Magister, L: ἀποδοτέ' temptavit Blaydes, οὗτος pro τοῦτο reposito

οὐ γὰρ δίκαιον πλείον' εἶναι.
Cτ. κᾆτα πῶc
αὕτη μέν, ὦ κακόδαιμον, οὐδὲν γίγνεται
ἐπιρρεόντων τῶν ποταμῶν πλείων, cὺ δὲ
ζητεῖc ποιῆcαι τἀργύριον πλέον τὸ cόν;
οὐκ ἀποδιώξει cαυτὸν ἀπὸ τῆc οἰκίαc;
φέρε μοι τὸ κέντρον.
Χρ. ταῦτ' ἐγὼ μαρτύρομαι.
Cτ. ὕπαγε. τί μέλλειc; οὐκ ἐλᾷc, ὦ cαμφόρα;
Χρ. ταῦτ' οὐχ ὕβριc δῆτ' ἐcτίν;
Cτ. ἄξειc; ἐπιαλῶ
κεντῶν ὑπὸ τὸν πρωκτόν cε τὸν cειραφόρον.
φεύγειc; ἔμελλόν c' ἆρα κινήcειν ἐγὼ
αὐτοῖc τροχοῖc τοῖc cοῖcι καὶ ξυνωρίcιν.

Χο. οἷον τὸ πραγμάτων ἐρᾶν φλαύρων· ὁ γὰρ [cτρ.
γέρων ὅδ' ἐραcθεὶc
ἀποcτερῆcαι βούλεται
τὰ χρήμαθ' ἁδανείcατο·
κοὐκ ἔcθ' ὅπωc οὐ τήμερον
λήψεταί τι πρᾶγμ', ὃ τοῦ-
τον ποιήcει τὸν cοφι-
cτὴν ⟨ἁπάντων⟩ ὧν πανουργεῖν ἤρξατ', ἐξ-
αίφνηc καλὸν γ' ὄναcθαι.

οἶμαι γὰρ αὐτὸν αὐτίχ' εὑρήcειν ὅπερ [ἀντ.
πάλαι ποτ' ἐπῄτει,
εἶναι τὸν υἱὸν δεινόν οἱ

1296 ἀποδιώξει Elmsley: -ξειc codd. ἀπὸ $E^{ac}KM\Theta^{ac}L$: ἐκ $RVE^{pc}N\Theta^{pc}$ 1298 cαμφόρα Θs.l. L: cαπφόρα EKNΘ: παcία RV 1299 ἄξειc] ᾆξειc Bentley ἐπιαλῶ $RE^{ac}$: ἐπὶ ἅλω vel sim. cett.: ἐπιβαλὼν v.l. ap. sch., quod cum ἄξω c' cohaereret: ἐφιαλῶ van Leeuwen 1301 c' post κινήcειν transp. $E^{ac}KL$ 1308 λήψεταί τι Bergk: λήψεται $RVE^{ac}KL$: λήψεται $E^{pc}N\Theta$ 1309 suppl. Austin ex. gr. 1310 καλόν γ' ὄναcθαι Dover ex. gr.: τι κακὸν λαβεῖν codd.: ἀποcτραφῆναι Sommerstein: ἄποινα τεῖcαι Henderson 1312 ἐπῄτει Hermann: ἐπεζήτει RV: ἐζήτει cett.

γνώμας ἐναντίας λέγειν
τοῖςιν δικαίοις, ὥςτε νι-
κᾶν ἅπαντας, οἷςπερ ἂν
ξυγγένηται, κἂν λέγῃ
παμπόνηρ᾽. ἴςως δ᾽ ἴςως βουλήςεται
κἄφωνον αὐτὸν εἶναι.

Cτ. ἰοὺ ἰού.
ὦ γείτονες καὶ ξυγγενεῖς καὶ δημόται,
ἀμυνάθετέ μοι τυπτομένῳ πάςῃ τέχνῃ.
οἴμοι κακοδαίμων τῆς κεφαλῆς καὶ τῆς γνάθου.
ὦ μιαρέ, τύπτεις τὸν πατέρα;
Φε. φήμ᾽, ὦ πάτερ.
Cτ. ὁρᾶθ᾽ ὁμολογοῦνθ᾽ ὅτι με τύπτει;
Φε. καὶ μάλα.
Cτ. ὦ μιαρὲ καὶ πατραλοῖα καὶ τοιχωρύχε.
Φε. αὖθίς με ταὐτὰ ταῦτα καὶ πλείω λέγε.
ἆρ᾽ οἶςθ᾽ ὅτι χαίρω πόλλ᾽ ἀκούων καὶ κακά;
Cτ. ὦ λακκόπρωκτε.
Φε. πάττε πολλοῖς τοῖς ῥόδοις.
Cτ. τὸν πατέρα τύπτεις;
Φε. κἀποφανῶ γε νὴ Δία
ὡς ἐν δίκῃ ς᾽ ἔτυπτον.
Cτ. ὦ μιαρώτατε,
καὶ πῶς γένοιτ᾽ ἂν πατέρα τύπτειν ἐν δίκῃ;
Φε. ἔγωγ᾽ ἀποδείξω καί ςε νικήςω λέγων.
Cτ. τουτὶ cὺ νικήςεις;
Φε. πολύ γε καὶ ῥᾳδίως.
ἑλοῦ δ᾽ ὁπότερον τοῖν λόγοιν βούλει λέγειν.
Cτ. ποίοιν λόγοιν;
Φε. τὸν κρείττον᾽ ἢ τὸν ἥττονα.
Cτ. ἐδιδαξάμην μέντοι ςε νὴ Δί᾽, ὦ μέλε,

1314 post γνώμας add. τ᾽ RVE[ac]KL 1329 post 1330 transp. Su. λ 59, sed cf. μ 1025 1338 μέλε] μέλ᾽, εὖ van Herwerden

τοῖϲιν δικαίοιϲ ἀντιλέγειν, εἰ ταῦτά γε
μέλλειϲ ἀναπείϲειν, ὡϲ δίκαιον καὶ καλὸν
τὸν πατέρα τύπτεϲθ' ἐϲτὶν ὑπὸ τῶν υἱέων.
Φε. ἀλλ' οἴομαι μέντοι ϲ' ἀναπείϲειν, ὥϲτε γε
οὐδ' αὐτὸϲ ἀκροαϲάμενοϲ οὐδὲν ἀντερεῖϲ.
Ϲτ. καὶ μὴν ὅτι καὶ λέξειϲ ἀκοῦϲαι βούλομαι.

Χο. ϲὸν ἔργον, ὦ πρεϲβῦτα, φροντίζειν ὅπῃ [ϲτρ.
τὸν ἄνδρα κρατήϲειϲ,
ὡϲ οὗτοϲ, εἰ μή τῳ 'πεποίθειν, οὐκ ἂν ἦν
οὕτωϲ ἀκόλαϲτοϲ.
ἀλλ' ἔϲθ' ὅτῳ θραϲύνεται· δῆλόν γέ ⟨τοι⟩
τὸ λῆμα τὸ τἀνδρόϲ.

ἀλλ' ἐξ ὅτου τὸ πρῶτον ἤρξαθ' ἡ μάχη γενέϲθαι
ἤδη λέγειν χρή· πρὸϲ χάριν πάντων δὲ τοῦτο δράϲειϲ.
Ϲτ. καὶ μὴν ὅθεν γε πρῶτον ἠρξάμεϲθα λοιδορεῖϲθαι
ἐγὼ φράϲω. 'πειδὴ γὰρ εἱϲτιώμεθ', ὥϲπερ ἴϲτε,
πρῶτον μὲν αὐτὸν τὴν λύραν λαβόντ' ἐγὼ 'κέλευϲα
ᾆϲαι Ϲιμωνίδου μέλοϲ, τὸν Κριόν, ὡϲ ἐπέχθη.
ὁ δ' εὐθέωϲ ἀρχαῖον εἶν' ἔφαϲκε τὸ κιθαρίζειν
ᾄδειν τε πίνονθ' ὡϲπερεὶ κάχρυϲ γυναῖκ' ἀλοῦϲαν.
Φε. οὐ γὰρ τότ' εὐθὺϲ χρῆν ϲ' ἀράττεϲθαί τε καὶ πατεῖϲθαι,
ᾄδειν κελεύονθ' ὡϲπερεὶ τέττιγά μ' ἑϲτιῶντα;
Ϲτ. τοιαῦτα μέντοι καὶ τότ' ἔλεγεν ἔνδον οἷάπερ νῦν,
καὶ τὸν Ϲιμωνίδην ἔφαϲκ' εἶναι κακὸν ποιητήν.
κἀγὼ μόλιϲ μέν, ἀλλ' ὅμωϲ ἠνεϲχόμην τὸ πρῶτον·

1340 post *μέλλειϲ* add. *μ'* ΝΘMd1   1347 *'πεποίθειν* Dawes: *πεποίθει* RΘ[2]*γρ*: *πέποιθεν* vel *πέποιθ'* cett.   1349 *γε* L: om. cett. suppl. Hermann   1350 *τὸ λῆμα τὸ τἀνδρόϲ* Hermann: *τὸ λῆμ' ἐϲτὶ τἀνθρώπου* codd.: *τὸ λῆμα τἀνθρώπου* Dover   1352 *πρὸϲ χάριν πάντων* van Herwerden: *πρὸϲ χορόν. πάντωϲ* codd. (sed ante *χορὸν* add. *τὸν* N, unde *χρὴ* del. Dobree)   1358 *κάχρυϲ* VAE[ac]M[ac], Su. *κ* 1156: *κάγχρυϲ* cett.   1359 *ἀράττεϲθαι* Meineke: *ἄρα τύπτεϲθαι* fere codd.: *ἀλλὰ τύπτεϲθαι* V   *τε* om. VKL: *γε* N   1360 *τέττιγά μ'* Blaydes: *τέττιγαϲ* codd.: *τέττιγα* Su. *α* 454   1361 *ἔνδον* om. RV

ἔπειτα δ' ἐκέλευϲ' αὐτὸν ἀλλὰ μυρρίνην λαβόντα
τῶν Αἰϲχύλου λέξαι τί μοι· κᾆθ' οὗτοϲ εὐθὺϲ
εἶπεν·
"ἐγὼ γὰρ Αἰϲχύλον νομίζω πρῶτον ἐν ποιηταῖϲ—
ψόφου πλέων, ἀξύϲτατον, ϲτόμφακα, κρημνοποιόν."
κἀνταῦθα πῶϲ οἴεϲθέ μου τὴν καρδίαν ὀρεχθεῖν;
ὅμωϲ δὲ τὸν θυμὸν δακὼν ἔφην· "ϲὺ δ' ἀλλὰ τούτων
λέξον τι τῶν νεωτέρων, ἅττ' ἐϲτὶ τὰ ϲοφὰ ταῦτα."
ὁ δ' εὐθὺϲ ᾖϲ' Εὐριπίδου ῥῆϲίν τιν', ὡϲ ἐκίνει
ἀδελφόϲ, ὦλεξίκακε, τὴν ὁμομητρίαν ἀδελφήν.
κἀγὼ οὐκέτ' ἐξηνεϲχόμην, ἀλλ' εὐθέωϲ ἀράττω
πολλοῖϲ κακοῖϲ καἰϲχροῖϲι· κᾆτ' ἐντεῦθεν, οἷον εἰκόϲ,
ἔποϲ πρὸϲ ἔποϲ ἠρειδόμεϲθ'· εἶθ' οὗτοϲ ἐπαναπηδᾷ,
κἄπειτ' ἔφλα με κἀϲπόδει κἄπνιγε κἀπέτριβεν.

Φε. οὔκουν δικαίωϲ, ὅϲτιϲ οὐκ Εὐριπίδην ἐπαινεῖϲ,
ϲοφώτατον;

Ϲτ. ϲοφώτατόν γ' ἐκεῖνον, ὦ—τί ϲ' εἴπω;
ἀλλ' αὖθιϲ αὖ τυπτήϲομαι.

Φε. νὴ τὸν Δί', ἐν δίκῃ γ' ἄν.

Ϲτ. καὶ πῶϲ δικαίωϲ; ὅϲτιϲ, ὦναίϲχυντέ, ϲ' ἐξέθρεψα,
αἰϲθανόμενόϲ ϲου πάντα τραυλίζοντοϲ, ὅ τι νοοίηϲ.
εἰ μέν γε βρῦν εἴποιϲ, ἐγὼ γνοὺϲ ἂν πιεῖν ἐπέϲχον·
μαμμᾶν δ' ἂν αἰτήϲαντοϲ ἧκόν ϲοι φέρων ἂν ἄρτον·
κακκᾶν δ' ἂν οὐκ ἔφθηϲ φράϲαϲ, κἀγὼ λαβὼν θύραζε
ἐξέφερον ἂν καὶ προὐϲχόμην ϲε. ϲὺ δέ με νῦν
ἀπάγχων,

1367 in fine v. notam interrogationis ponere malunt quidam 1371 ᾖϲ' R: ᾖϲ' ἐξ E$^{pc}$: ᾔϲεν cett.: εἶπ' Römer: ἦγ' Borthwick: ἧκ' Sommerstein 1372 ἀδελφὸϲ Hermann: ὁ 'δ- codd. recc.: ἀδ- vett. 1373 κἀγὼ RL: κἀγὼ δ' VΘ: κἄγωγ' K: ἐγὼ δέ τ' cett. εὐθέωϲ P9, Vb3, v.l. ap. sch. U: εὐθὺϲ cett. ἀράττω P9, Vb3 Vs1: ἐξαράττω cett. 1375 ἠρειδόμεϲθ'] ἠριζόμεϲθ' L: [P9] 1376 κἀπέτριβεν P9, codd. plerique: κἀπέθλιβεν RV 1379 ἐν δίκῃ] ἐνδίκωϲ AU γ' ἂν RVE$^{ac}$ KML: γε P9, Dindorf: γὰρ AE$^{pc}$Θ 1384 ἂν οὐκ NL: οὐκ ἂν cett.: [P9] φράϲαϲ ENΘ: φράϲαι RVKL: [P9] 1385 δέ με] δ' ἐμὲ Θ

βοῶντα καὶ κεκραγόθ' ὅτι
χεζητιῴην, οὐκ ἔτλης
ἔξω 'ξενεγκεῖν, ὦ μιαρέ,
θύραζέ μ', ἀλλὰ πνιγόμενος
αὐτοῦ 'ποίηςα κακκᾶν.

Χο. οἶμαί γε τῶν νεωτέρων τὰς καρδίας [ἀντ.
πηδᾶν ὅτι λέξει.
εἰ γὰρ τοιαῦτά γ' οὗτος ἐξειργαςμένος
λαλῶν ἀναπείςει,
τὸ δέρμα τῶν γεραιτέρων λάβοιμεν ἂν
ἀλλ' οὐδ' ἐρεβίνθου.

ςὸν ἔργον, ὦ καινῶν ἐπῶν κινητὰ καὶ μοχλευτά,
πειθώ τινα ζητεῖν, ὅπως δόξεις λέγειν δίκαια.
Φε. ὡς ἡδὺ καινοῖς πράγμαςιν καὶ δεξιοῖς ὁμιλεῖν,
καὶ τῶν καθεςτώτων νόμων ὑπερφρονεῖν δύναςθαι.
ἐγὼ γὰρ ὅτε μὲν ἱππικῇ τὸν νοῦν μόνῃ προςεῖχον,
οὐδ' ἂν τρί' εἰπεῖν ῥήμαθ' οἷός τ' ἦν πρὶν ἐξαμαρτεῖν·
νυνὶ δ' ἐπειδή μ' οὑτοςὶ τούτων ἔπαυςεν αὐτός,
γνώμαις δὲ λεπταῖς καὶ λόγοις ξύνειμι καὶ μερίμναις,
οἶμαι διδάξειν ὡς δίκαιον τὸν πατέρα κολάζειν.
Στ. ἵππευε τοίνυν νὴ Δί', ὡς ἔμοιγε κρεῖττόν ἐςτιν
ἵππων τρέφειν τέθριππον ἢ τυπτόμενον ἐπιτριβῆναι.
Φε. ἐκεῖςε δ' ὅθεν ἀπέςχιςάς με τοῦ λόγου μέτειμι,
καὶ πρῶτ' ἐρήςομαί ςε τουτί· παῖδά μ' ὄντ' ἔτυπτες;
Στ. ἔγωγέ ς', εὐνοῶν τε καὶ κηδόμενος.
Φε. εἰπὲ δή μοι,

1386 καὶ NL: om. cett. 1390 κακκᾶν] κάκκην van Herwerden (κάκκαν iam Daubuz) 1398 δόξεις codd. recc.: δόξῃς vett. 1399 πράγμαςιν Θ$^{pc}$L: -αςι cett. 1401 τὸν νοῦν μόνῃ Bentley: τὸν νοῦν μόνον R: τὸν νοῦν μου V: μόνῃ τὸν νοῦν cett. 1402 οὐδ'] οὐκ ἦν] ἢ Dindorf, fortasse recte 1408 μέτειμι] 'πάνειμι Blaydes 1409 ἔτυπτες] ἐτύπτηςας RV: [P9] 1410 τε] γε Hermann

οὐ κἀμὲ ϲοὶ δίκαιόν ἐϲτιν εὐνοεῖν ὁμοίωϲ
τύπτειν τ', ἐπειδήπερ γε τοῦτ' ἔϲτ' εὐνοεῖν, τὸ τύπτειν;
πῶϲ γὰρ τὸ μὲν ϲὸν ϲῶμα χρὴ πληγῶν ἀθῷον εἶναι,
τοὐμὸν δὲ μή; καὶ μὴν ἔφυν ἐλεύθερόϲ γε κἀγώ.
"κλάουϲι παῖδεϲ, πατέρα δ' οὐ κλάειν δοκεῖϲ;"
φήϲειϲ νομίζεϲθαι ϲὺ παιδὸϲ τοῦτο τοὔργον εἶναι·
ἐγὼ δέ γ' ἀντείποιμ' ἂν ὡϲ δὶϲ παῖδεϲ οἱ γέροντεϲ·
εἰκόϲ τε μᾶλλον τοὺϲ γέρονταϲ ἢ νέουϲ τι κλάειν,
ὅϲῳπερ ἐξαμαρτάνειν ἧττον δίκαιον αὐτούϲ.

Ϲτ. ἀλλ' οὐδαμοῦ νομίζεται τὸν πατέρα τοῦτο πάϲχειν.

Φε. οὔκουν ἀνὴρ ὁ τὸν νόμον θεὶϲ τοῦτον ἦν τὸ πρῶτον,
ὥϲπερ ϲὺ κἀγώ, καὶ λέγων ἔπειθε τοὺϲ παλαιούϲ;
ἧττόν τι δῆτ' ἔξεϲτι κἀμοὶ καινὸν αὖ τὸ λοιπὸν
θεῖναι νόμον τοῖϲ υἱέϲιν, τοὺϲ πατέραϲ ἀντιτύπτειν;
ὅϲαϲ δὲ πληγὰϲ εἴχομεν πρὶν τὸν νόμον τεθῆναι,
ἀφίεμεν, καὶ δίδομεν αὐτοῖϲ προῖκα ϲυγκεκόφθαι.
ϲκέψαι δὲ τοὺϲ ἀλεκτρυόναϲ καὶ τἄλλα τὰ βοτὰ ταυτί,
ὡϲ τοὺϲ πατέραϲ ἀμύνεται· καίτοι τί διαφέρουϲιν
ἡμῶν ἐκεῖνοι, πλήν γ' ὅτι ψηφίϲματ' οὐ γράφουϲιν;

Ϲτ. τί δῆτ', ἐπειδὴ τοὺϲ ἀλεκτρυόναϲ ἅπαντα μιμεῖ,
οὐκ ἐϲθίειϲ καὶ τὴν κόπρον κἀπὶ ξύλου καθεύδειϲ;

Φε. οὐ ταὐτόν, ὦ τᾶν, ἐϲτίν, οὐδ' ἂν Ϲωκράτει δοκοίη.

Ϲτ. πρὸϲ ταῦτα μὴ τύπτ'· εἰ δὲ μή, ϲαυτόν ποτ' αἰτιάϲει.

Φε. καὶ πῶϲ;

Ϲτ. ἐπεὶ ϲὲ μὲν δίκαιόϲ εἰμ' ἐγὼ κολάζειν,

1412 τύπτειν τ'] τύπτοντ' codd. recc. τ'] δ' V : om. R γε $E^2$L : om. cett. : [P9] 1415 post δοκεῖϲ add. τιὴ τί δή Θ, ὁτιὴ τί δή N: ⟨προϲήκειν⟩ van Herwerden: ⟨ἴϲωϲ δὲ⟩ Richards 1418 τε] δὲ VEK νέουϲ Bentley: τοὺϲ νέουϲ $RE^{pc}Θ$: τοὺϲ νεωτέρουϲ $VE^{ac}$KNL: [P9] 1421 θεὶϲ] τιθεὶϲ $RVΘ^2$: [P9] 1426 αὐτοῖϲ] αὐτοὺϲ R 1427 ἀλεκτρυόναϲ] ἀλέκτοραϲ Beck, cf. 666, 851 1428 post διαφέρουϲιν add. οὐδέν codd. praeter NAU : [P9] 1430 ἅπαντα] -ταϲ RV 1431 καθεύδειϲ] καθίζειϲ Thomas Magister

ϲὺ δ’, ἢν γένηταί ϲοι, τὸν υἱόν.
Φε. ἢν δὲ μὴ γένηται,
μάτην ἐμοὶ κεκλαύϲεται, ϲὺ δ’ ἐγχανὼν τεθνήξειϲ.
{Ϲτ. ἐμοὶ μέν, ὦνδρεϲ ἥλικεϲ, δοκεῖ λέγειν δίκαια·
κἄμοιγε ϲυγχωρεῖν δοκεῖ τούτοιϲι τἀπιεικῆ.
κλάειν γὰρ ἡμᾶϲ εἰκόϲ ἐϲτ’, ἢν μὴ δίκαια δρῶμεν.}
Φε. ϲκέψαι δὲ χἀτέραν ἔτι γνώμην.
Ϲτ. ἀπὸ γὰρ ὀλοῦμαι.
Φε. καὶ μὴν ἴϲωϲ γ’ οὐκ ἀχθέϲει παθὼν ἃ νῦν πέπονθαϲ.
Ϲτ. πῶϲ δή; δίδαξον γὰρ τί μ’ ἐκ τούτων ἐπωφελήϲειϲ.
Φε. τὴν μητέρ’ ὥϲπερ καὶ ϲὲ τυπτήϲω.
Ϲτ. τί φήϲ, τί φὴϲ ϲύ;
τοῦθ’ ἕτερον αὖ μεῖζον κακόν.
Φε. τί δ’ ἢν ἔχων τὸν ἥττω
λόγον ϲε νικήϲω λέγων
τὴν μητέρ’ ὡϲ τύπτειν χρεών;
Ϲτ. τί δ’ ἄλλο γ’ ἤ, ταῦτ’ ἢν ποιῇϲ,
οὐδέν ϲε κωλύϲει ϲεαυ-
τὸν ἐμβαλεῖν εἰϲ τὸ βάραθρον
μετὰ Ϲωκράτουϲ
καὶ τὸν λόγον τὸν ἥττω;
ταυτὶ δι’ ὑμᾶϲ, ὦ Νεφέλαι, πέπονθ’ ἐγώ,
ὑμῖν ἀναθεὶϲ ἅπαντα τἀμὰ πράγματα.
Χο. αὐτὸϲ μὲν οὖν ϲαυτῷ ϲὺ τούτων αἴτιοϲ,
ϲτρέψαϲ ϲεαυτὸν εἰϲ πονηρὰ πράγματα.
Ϲτ. τί δῆτα ταῦτ’ οὔ μοι τότ’ ἠγορεύετε,
ἀλλ’ ἄνδρ’ ἄγροικον καὶ γέροντ’ ἐπήρατε;

1436 τεθνήξειϲ Dawes: -ει vel -ῃ codd. 1437–9 vv. huic loco vix idonei 1438 τούτοιϲι] τοῖϲ παιϲί Blaydes 1442 ἐπωφελήϲειϲ] ὠφελήϲειϲ E$^{ac}$KL: ϲύ γ’ ὠφελήϲειϲ Thomas Magister: ἔτ’ ὠφελήϲειϲ Dover 1444 δ’ ἢν E$^{pc}$NL: δῆτ’ ἂν RV: δῆτ’ ἢν E$^{ac}$KΘ : δῆτ’ ἄν, ἢν (deleto ἔχων) Hermann 1447 ἤ, ταῦτ’ ἢν Kock: ἢν ταύτην V: ἢν ταυτὶ REKL: ἢν ταῦτα NΘ 1456 ταῦτ’ οὔ μοι] μοι ταῦτ’ οὐ Wilson ἠγορεύετε] -εύϲατε VE$^{pc}$NΘ$^{ac}$ 1457 ἐπήρατε] ἐπήρετε (sic) R

Χο. ἡμεῖϲ ποιοῦμεν ταῦθ' ἑκάϲτοθ', ὅντιν' ἂν
γνῶμεν πονηρῶν ὄντ' ἐραϲτὴν πραγμάτων,
ἕωϲ ἂν αὐτὸν ἐμβάλωμεν εἰϲ κακόν,
ὅπωϲ ἂν εἰδῇ τοὺϲ θεοὺϲ δεδοικέναι.
Ϲτ. ὤμοι, πονηρά γ', ὦ Νεφέλαι, δίκαια δέ.
οὐ γάρ με χρῆν τὰ χρήμαθ' ἁδανειϲάμην
ἀποϲτερεῖν. νῦν οὖν ὅπωϲ, ὦ φίλτατε,
τὸν Χαιρεφῶντα τὸν μιαρὸν καὶ Ϲωκράτη
ἀπολεῖϲ μετ' ἐμοῦ 'λθών, οἳ ϲὲ κἄμ' ἐξηπάτων.
Φε. ἀλλ' οὐκ ἂν ἀδικήϲαιμι τοὺϲ διδαϲκάλουϲ.
Ϲτ. ναὶ ναί, καταιδέϲθητι πατρῷον Δία.
Φε. ἰδού γε Δία πατρῷον· ὡϲ ἀρχαῖοϲ εἶ.
Ζεὺϲ γάρ τιϲ ἔϲτιν;
Ϲτ. ἔϲτιν.
Φε. οὐκ ἔϲτ', οὔκ, ἐπεὶ
Δῖνοϲ βαϲιλεύει, τὸν Δί' ἐξεληλακώϲ.
Ϲτ. οὐκ ἐξελήλακ', ἀλλ' ἐγὼ τοῦτ' ᾠόμην
διὰ τουτονὶ τὸν δῖνον. ὤμοι δείλαιοϲ,
ὅτε καὶ ϲὲ χυτρεοῦν ὄντα θεὸν ἡγηϲάμην.
Φε. ἐνταῦθα ϲαυτῷ παραφρόνει καὶ φληνάφα.
Ϲτ. οἴμοι παρανοίαϲ. ὡϲ ἐμαινόμην ἄρα
ὅτ' ἐξέβαλον καὶ τοὺϲ θεοὺϲ διὰ Ϲωκράτη.
ἀλλ', ὦ φίλ' Ἑρμῆ, μηδαμῶϲ θύμαινέ μοι,
μηδέ μ' ἐπιτρίψῃϲ, ἀλλὰ ϲυγγνώμην ἔχε
ἐμοῦ παρανοήϲαντοϲ ἀδολεϲχίᾳ·
καί μοι γενοῦ ξύμβουλοϲ, εἴτ' αὐτοὺϲ γραφὴν
διωκάθω γραψάμενοϲ, εἴθ' ὅ τι ϲοι δοκεῖ.

1458 ἡμεῖϲ RV: ἀεὶ cett. ὅντιν' ἂν Porson: ἄν τιν' οὖν E$^{ac}$KL: ὅταν τινὰ cett. 1462 ὤμοι EΘL: οἴμοι RVKN 1465 Ϲωκράτη O8: -την cett. 1466 post ἐμοῦ add. γ' RV 1470 τίϲ EKΘ: τιϲ LN: τι RV ἔϲτ' Reisig: ἔϲτιν RVE$^{ac}$K: ἔϲτιν γ' L: ἔνεϲτ' E$^{pc}$N: ἔνεϲτιν Θ alterum οὐκ RV: om. cett. 1473 ὤμοι] οἴμοι E$^{pc}$Θ, Su. χ 617 1476 οἴμοι] ὤμοι K 1477 ἐξέβαλον] -βαλλον R$^{pc}$V καὶ om. N, lm. sch. EΘ Ϲωκράτη O8: -την cett. 1480 παρανοήϲαντοϲ] -νομήϲαντοϲ RV

ὀρθῶϲ παραινεῖϲ οὐκ ἐῶν δικορραφεῖν,
ἀλλ' ὡϲ τάχιϲτ' ἐμπιμπράναι τὴν οἰκίαν
τῶν ἀδολεϲχῶν. δεῦρο δεῦρ', ὦ Ξανθία,
κλίμακα λαβὼν ἔξελθε καὶ ϲμινύην φέρων,
κἄπειτ' ἐπαναβὰϲ ἐπὶ τὸ φροντιϲτήριον
τὸ τέγοϲ κατάϲκαπτ', εἰ φιλεῖϲ τὸν δεϲπότην,
ἕωϲ ἂν αὐτοῖϲ ἐμβάλῃϲ τὴν οἰκίαν·
ἐμοὶ δὲ δᾷδ' ἐνεγκάτω τιϲ ἡμμένην.
κἀγώ τιν' αὐτῶν τήμερον δοῦναι δίκην
ἐμοὶ ποιήϲω, κεἰ ϲφόδρ' εἴϲ' ἀλαζόνεϲ.

## ΜΑΘΗΤΗϹ Α΄

ἰοὺ ἰού.
Ϲτ. ϲὸν ἔργον, ὦ δᾴϲ, ἱέναι πολλὴν φλόγα.
Μα.$^{a}$ ἄνθρωπε, τί ποιεῖϲ;
Ϲτ. ὅ τι ποιῶ; τί δ' ἄλλο γ' ἢ
διαλεπτολογοῦμαι ταῖϲ δοκοῖϲ τῆϲ οἰκίαϲ;

## ΜΑΘΗΤΗϹ Β΄

οἴμοι· τίϲ ἡμῶν πυρπολεῖ τὴν οἰκίαν;
Ϲτ. ἐκεῖνοϲ οὗπερ θοἰμάτιον εἰλήφατε.
Μα.$^{β}$ ἀπολεῖϲ, ἀπολεῖϲ.
Ϲτ. τοῦτ' αὐτὸ γὰρ καὶ βούλομαι,
ἢν ἡ ϲμινύη μοι μὴ προδῷ τὰϲ ἐλπίδαϲ,
ἢ 'γὼ πρότερόν πωϲ ἐκτραχηλιϲθῶ πεϲών.
Ϲω. οὗτοϲ, τί ποιεῖϲ ἐτεόν, οὑπὶ τοῦ τέγουϲ;
Ϲτ. ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον.
Ϲω. οἴμοι τάλαϲ, δείλαιοϲ ἀποπνιγήϲομαι.
Μα.$^{β}$ ἐγὼ δὲ κακοδαίμων γε κατακαυθήϲομαι.
Ϲτ. τί γὰρ μαθόντεϲ τοὺϲ θεοὺϲ ὑβρίζετε,

1484 ἐμπιμπράναι Brunck: ἐμπιπρ- vel sim. fere codd.: πιμπράναι K 1497 hunc v. et 1499a Chaerephonti tribuit Beer 1499 ἀπολεῖϲ ⟨μ'⟩, ἀπολεῖϲ Blaydes 1506 μαθόντεϲ] μαθόντ' vel μαθόνθ' $E^{ac}$Kγρ$Θ$L ante τοὺϲ add. εἰ V, εἰϲ $E^{ac}$KΘγρL ὑβρίζετε] -ετον $E^{ac}$KΘγρL (qui ante εἰϲ τοὺϲ θεοὺϲ traiecit)

καὶ τῆϲ ϲελήνηϲ ἐϲκοπεῖϲθε τὴν ἕδραν;
δίωκε, παῖε, βάλλε, πολλῶν οὕνεκα,
μάλιϲτα δ' εἰδὼϲ τοὺϲ θεοὺϲ ὡϲ ἠδίκουν.
Χο. ἡγεῖϲθ' ἔξω· κεχόρευται γὰρ
μετρίωϲ τό γε τήμερον ἡμῖν.

1507 ἐϲκοπεῖϲθε] -εῖϲθον ΕΘ : ἐϲκοπεῖτε K*N τὴν ἕδραν] τὰϲ ἕδραϲ Thomas Magister 1508 παῖε post βάλλε transp. EKL, om. R 1511 γε om. RV

# СФНКЕС

# PAPYRI

| | |
|---|---|
| P. Oxy. 1374, saec. V vel VI (vv. 443–878) | (P10) |
| P. Oxy. 4512, saec. III (vv. 96–116) | (P75) |
| P. Oxy. 4513, saec. V (vv. 1066–1108) | (P76) |
| PSI XI 1221, saec. II (1435–40) | (P47) |

# CODICES

| | |
|---|---|
| R | Ravennas 429 |
| V | Marcianus gr. 474 |
| *Γ* | Laurentianus 31.15 (vv. 421–1396, 1494–1537) |
| L | Holkhamensis gr. 88 |

*Rarius citantur*

| | |
|---|---|
| B | Parisinus gr. 2715 |
| C | Parisinus gr. 2717 |
| G | Marcianus gr. 475 |
| H | Hauniensis 1980 |
| Vp3 | Vaticanus Palatinus gr. 128 |

# ΥΠΟΘΕCΕΙC

## I

Φιλοκλέων Ἀθηναῖοc φιλόδικοc ὢν τὴν φύcιν ἐφοίτα περὶ τὰ δικαcτήρια cυνεχῶc. Βδελυκλέων δὲ ὁ τούτου παῖc ἀχθόμενοc ταύτῃ τῇ νόcῳ καὶ πειρώμενοc τὸν πατέρα παύcειν, ἐγκαθείρξαc τοῖc οἴκοιc καὶ δίκτυα περιβαλὼν ἐφύλαττε νύκτωρ καὶ μεθ' ἡμέραν. ὁ δὲ ἐξόδου ἑαυτῷ μὴ προκειμένηc ἔκραζεν. οἱ δὲ cυνδικαcταὶ αὐτοῦ cφηξὶν ἑαυτοὺc ἀφομοιώcαντεc παρεγένοντο, βουλόμενοι διὰ ταύτηc τῆc τέχνηc ὑποκλέπτειν τὸν cυνδικαcτήν· ἐξ ὧν καὶ ὁ χορὸc cυνέcτηκε καὶ τὸ δρᾶμα ἐπιγέγραπται. ἀλλ' οὐδὲν ἤνυον οὐδὲ οὗτοι. πέραc δὲ τοῦ νεανίcκου θαυμάζοντοc τίνοc ἕνεκα ὁ πατὴρ οὕτωc ἥττηται τοῦ πράγματοc, ἔφη ὁ πρεcβύτηc τὸ πρᾶγμα εἶναι cπουδαῖον καὶ cχεδὸν ἀρχὴν τὸ δικάζειν. ὁ δὲ παῖc ἐπειρᾶτο τὰc ὑποψίαc ἐξαίρειν τοῦ πράγματοc νουθετῶν τὸν γέροντα. ὁ δὲ πρεcβύτηc μηδαμῶc νουθετούμενοc οὐ μεθίει τοῦ πάθουc· ἀλλ' ἀναγκάζεται ὁ νέοc ἐπιτρέπειν αὐτῷ φιλοδικεῖν, καὶ ἐπὶ τῆc οἰκίαc τοῦτο ποιεῖ καὶ τοῖc κατὰ τὴν οἰκίαν δικάζει. καὶ δύο κύνεc ἐπειcάγονται πολιτικῶc παρ' αὐτῷ κρινόμενοι· καὶ κατὰ τοῦ φεύγοντοc ἐκφέρειν cυνεχῶc τὴν ψῆφον μέλλων ἀπατηθεὶc ἄκων τὴν ἀποδικάζουcαν φέρει ψῆφον.

περιέχει δὲ καὶ δικαιολογίαν τινὰ τοῦ ποιητοῦ ἐκ τοῦ ποιη-

I 1 φιλόδικοc R: φιλοδικαcτὴc cett. 3 παύcειν] παύειν V: παῦcαι Vp3 5 προκειμένηc Kuster: περικειμένηc codd. 12 ἀρχὴν R: ἀρχῆc cett. 13 ὑποψίαc] ὑπεροψίαc Zacher ἐξαίρειν] ἐξαιρεῖν Dindorf 16 ποιεῖ . . . δικάζει RV: ποιεῖν καὶ τοὺc κατὰ τὴν οἰκίαν δικάζειν cett. 17 ἐπειcάγονται RV: παρειcάγονται cett. πολιτικῶc RV: πολιτευτικῶc (ante κρινόμενοι transp.) cett. 17–18 καὶ κατὰ . . . ψῆφον LVp3: καὶ κατὰ τοῦ φεύγοντοc ἐκφέρει τὴν ψῆφον RV 20 ποιητοῦ RV: χοροῦ cett.

τικοῦ προϲώπου, ὡϲ ϲφηξὶν ἐμφερεῖϲ εἰϲιν οἱ τοῦ χοροῦ, ἐξ ὧν καὶ τὸ δρᾶμα. οἵ, ὅτε μὲν ἦϲαν νέοι, πικρῶϲ †ταῖϲ δίκαιϲ† ἐφήδρευον, ἐπεὶ δὲ γέροντεϲ γεγόναϲιν, κεντοῦϲι τοῖϲ κέντροιϲ. ἐπὶ τέλει δὲ τοῦ δράματοϲ ὁ γέρων ἐπὶ δεῖπνον καλεῖται, καὶ ἐπὶ ὕβριν τρέπεται, καὶ κρίνει αὐτὸν ὕβρεωϲ ἀρτόπωλιϲ· ὁ δὲ γέρων πρὸϲ αὐλὸν καὶ ὄρχηϲιν τρέπεται καὶ γελωτοποιεῖ τὸ δρᾶμα.

τοῦτο τὸ δρᾶμα πεποίηται αὐτῷ οὐκ ἐξ ὑποκειμένηϲ ὑποθέϲεωϲ, ἀλλ' ὡϲανεὶ γενομένηϲ. πέπλαϲται γὰρ τὸ ὅλον. διαβάλλει δὲ Ἀθηναίουϲ ὡϲ φιλοδικοῦνταϲ, καὶ ϲωφρονίζει τὸν δῆμον ἀποϲτῆναι δικῶν, καὶ διά τοι τοῦτο καὶ τοὺϲ δικαϲτὰϲ ϲφηξὶν ἀπεικάζει κέντρα ἔχουϲι καὶ πλήττουϲι. πεποίηται δ' αὐτῷ χαριέντωϲ.

ἐδιδάχθη ἐπὶ ἄρχοντοϲ Ἀμεινίου διὰ Φιλωνίδου ἐν τῇ πθ' ὀλυμπιάδι. δεύτεροϲ ἦν, εἰϲ Λήναια. καὶ ἐνίκα πρῶτοϲ Φιλωνίδηϲ Προάγωνι, Λεύκων Πρέϲβεϲι τρίτοϲ.

## II

### ΑΡΙϹΤΟΦΑΝΟΥϹ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ

Φιλοῦντα δικάζειν πατέρα παῖϲ εἴρξαϲ ἄφνω
αὐτόϲ τ' ἐφύλαττεν ἔνδον οἰκέται θ', ὅπωϲ
μὴ λανθάνῃ μηδ' ἐξίῃ διὰ τὴν νόϲον.
ὁ δ' ἀντιμάχεται παντὶ τρόπῳ καὶ μηχανῇ.
εἶθ' οἱ ϲυνήθειϲ καὶ γέροντεϲ, λεγόμενοι
ϲφῆκεϲ, παραγίνονται βοηθοῦντεϲ ϲφόδρα
ἐπὶ τῷ δύναϲθαι κέντρον ἐνιέναι τιϲὶν
φρονοῦντεϲ ἱκανόν. ὁ δὲ γέρων τηρούμενοϲ
ϲυμπείθετ' ἔνδον διαδικάζειν καὶ βιοῦν,
ἐπεὶ τὸ δικάζειν κέκρικεν ἐκ παντὸϲ τρόπου.

22 ταῖϲ δίκαιϲ] τοῖϲ Μήδοιϲ van Leeuwen     34 Ἀμεινίου Brunck: Ἀμυνίου codd.     πθ' Kannegiesser: πόλει codd.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

| | |
|---|---|
| ΣΩΣΙΑΣ | ΠΑΙΣ |
| ΞΑΝΘΙΑΣ | ΚΥΩΝ |
| ΒΔΕΛΥΚΛΕΩΝ | ΑΝΗΡ |
| ΦΙΛΟΚΛΕΩΝ | ΑΡΤΟΠΩΛΙΣ |
| ΧΟΡΟΣ ΔΙΚΑΣΤΩΝ | ΚΑΤΗΓΟΡΟΣ |

# ϹΦΗΚΕϹ

ϹΩϹΙΑϹ

Οὗτοϲ, τί πάϲχειϲ, ὦ κακόδαιμον Ξανθία;

ΞΑΝΘΙΑϹ

φυλακὴν καταλύειν νυκτερινὴν διδάϲκομαι.
Ϲω. κακὸν ἄρα ταῖϲ πλευραῖϲ τι προὐφείλειϲ μέγα.
ἆρ' οἶϲθά γ' οἷον κνώδαλον φυλάττομεν;
Ξα. οἶδ', ἀλλ' ἐπιθυμῶ ϲμικρὸν ἀπομερμηρίϲαι.
Ϲω. ϲὺ δ' οὖν παρακινδύνευ', ἐπεὶ καὐτοῦ γ' ἐμοῦ
κατὰ ταῖν κόραιν ἤδη τι καταχεῖται γλυκύ.
Ξα. ἀλλ' ἦ παραφρονεῖϲ ἐτεὸν ἢ κορυβαντιᾷϲ;
Ϲω. οὔκ, ἀλλ' ὕπνοϲ μ' ἔχει τιϲ ἐκ Ϲαβαζίου.
Ξα. τὸν αὐτὸν ἄρ' ἐμοὶ βουκολεῖϲ ϲὺ δαίμονα.
κἀμοὶ γὰρ ἀρτίωϲ ἐπεϲτρατεύϲατο
Μῆδόϲ τιϲ ἐπὶ τὰ βλέφαρα νυϲτακτὴϲ ὕπνοϲ·
καὶ δῆτ' ὄναρ θαυμαϲτὸν εἶδον ἀρτίωϲ.
Ϲω. κἄγωγ' ἀληθῶϲ οἷον οὐδεπώποτε.
ἀτὰρ ϲὺ λέξον πρότεροϲ.
Ξα. ἐδόκουν αἰετὸν
καταπτάμενον εἰϲ τὴν ἀγορὰν μέγαν πάνυ
ἀναρπάϲαντα τοῖϲ ὄνυξιν ἀϲπίδα
φέρειν ἐπίχαλκον ἀνεκὰϲ εἰϲ τὸν οὐρανόν,
κἄπειτα ταύτην ἀποβαλεῖν Κλεώνυμον.
Ϲω. οὐδὲν ἄρα γρίφου διαφέρει Κλεώνυμοϲ.
Ξα. πῶϲ δή;
Ϲω. προερεῖ τιϲ τοῖϲι ϲυμπόταιϲ, λέγων

3 προὐφείλειϲ Elmsley (*praedebes* Divus): προὔφειλεϲ codd. 7 ταῖν] τοῖν Hirschig ἤδη] ὕπνου RV 10 ϲὺ δαίμονα van Herwerden: Ϲαβάζιον codd. 18 φέρειν post οὐρανόν transp. Naber 21 προερεῖ R: προϲερεῖ cett.: προβαλεῖ W. C. Green λέγων LVp3, Greg. Cor. *in Hermog.* 1334: λέγω cett.

ὅτι "ταὐτὸν ἐν γῇ τ' ἀπέβαλεν κἀν οὐρανῷ
κἀν τῇ θαλάττῃ θηρίον τὴν ἀϲπίδα."
Ξα. οἴμοι, τί δῆτά μοι κακὸν γενήϲεται
ἰδόντι τοιοῦτον ἐνύπνιον;
Ϲω. μὴ φροντίϲῃϲ.
οὐδὲν γὰρ ἔϲται δεινόν, οὐ μὰ τοὺϲ θεούϲ.
Ξα. δεινόν γέ πού'ϲτ' ἄνθρωποϲ ἀποβαλὼν ὅπλα.
ἀτὰρ ϲὺ τὸ ϲὸν αὖ λέξον.
Ϲω. ἀλλ' ἐϲτὶν μέγα.
περὶ τῆϲ πόλεωϲ γάρ ἐϲτι, τοῦ ϲκάφουϲ ὅλου.
Ξα. λέγε νυν ἀνύϲαϲ τι τὴν τρόπιν τοῦ πράγματοϲ.
Ϲω. ἔδοξέ μοι περὶ πρῶτον ὕπνον ἐν τῇ Πυκνὶ
ἐκκληϲιάζειν πρόβατα ϲυγκαθήμενα,
βακτηρίαϲ ἔχοντα καὶ τριβώνια·
κἄπειτα τούτοιϲ τοῖϲι προβάτοιϲ μοὐδόκει
δημηγορεῖν φάλλαινα πανδοκεύτρια,
ἔχουϲα φωνὴν ἐμπεπρημένηϲ ὑόϲ.
Ξα. αἰβοῖ.
Ϲω. τί ἐϲτι;
Ξα. παῦε παῦε, μὴ λέγε·
ὄζει κάκιϲτον τοὐνύπνιον βύρϲηϲ ϲαπρᾶϲ.
Ϲω. εἶθ' ἡ μιαρὰ φάλλαιν' ἔχουϲα τρυτάνην
ἵϲτη βόειον δημόν.
Ξα. οἴμοι δείλαιοϲ·
τὸν δῆμον ἡμῶν βούλεται διιϲτάναι.
Ϲω. ἐδόκει δέ μοι Θέωροϲ αὐτῆϲ πληϲίον
χαμαὶ καθῆϲθαι τὴν κεφαλὴν κόρακοϲ ἔχων.
εἶτ' Ἀλκιβιάδηϲ εἶπε πρόϲ με τραυλίϲαϲ,
"ὁλᾷϲ; Θέωλοϲ τὴν κεφαλὴν κόλακοϲ ἔχει."
Ξα. ὀρθῶϲ γε τοῦτ' Ἀλκιβιάδηϲ ἐτραύλιϲεν.
Ϲω. οὔκουν ἐκεῖν' ἀλλόκοτον, ὁ Θέωροϲ κόραξ

23 κἀν τῇ] κἀν ἐν Greg. Cor. 28 ἐϲτὶν L, Greg. Cor.: ἐϲτὶ cett. 30 ἀνύϲαϲ sch. V: ἀ- codd. 36 ἐμπεπρημένηϲ Bekker: -μένην R: -ηϲμένην V: -ηϲμένηϲ cett. 45 ὁλᾷϲ; Θέωλοϲ] ὁλᾷϲ Θέωλον; Plut. *Alc.* 1.7

γενόμενος;

Ξα. ἥκιστ', ἀλλ' ἄριστον.

Cω. πῶς;

Ξα. ὅπως;

ἄνθρωπος ὢν εἶτ' ἐγένετ' ἐξαίφνης κόραξ·
οὔκουν ἐναργὲς τοῦτο cυμβαλεῖν, ὅτι
ἀρθεὶς ἀφ' ἡμῶν ἐς κόρακας οἰχήσεται;

Cω. εἶτ' οὐκ ἐγὼ δοὺς δύ' ὀβολὼ μισθώσομαι
οὕτως ὑποκρινόμενον σοφῶς ὀνείρατα;

Ξα. φέρε νυν κατείπω τοῖς θεαταῖς τὸν λόγον,
ὀλίγ' ἄτθ' ὑπειπὼν πρῶτον αὐτοῖσιν ταδί,
μηδὲν παρ' ἡμῶν προσδοκᾶν λίαν μέγα,
μηδ' αὖ γέλωτα Μεγαρόθεν κεκλεμμένον.
ἡμῖν γὰρ οὐκ ἔστ' οὔτε κάρυ' ἐκ φορμίδος
δούλω διαρριπτοῦντε τοῖς θεωμένοις,
οὔθ' Ἡρακλῆς τὸ δεῖπνον ἐξαπατώμενος,
οὐδ' αὖθις ἐνασελγαινόμενος Εὐριπίδης·
οὐδ' εἰ Κλέων γ' ἔλαμψε τῆς τύχης χάριν,
αὖθις τὸν αὐτὸν ἄνδρα μυττωτεύσομεν.
ἀλλ' ἔστιν ἡμῖν λογίδιον γνώμην ἔχον,
ὑμῶν μὲν αὐτῶν οὐχὶ δεξιώτερον,
κωμῳδίας δὲ φορτικῆς σοφώτερον.
ἔστιν γὰρ ἡμῖν δεσπότης, ἐκεινοσὶ
ἄνω καθεύδων, ὁ μέγας, οὑπὶ τοῦ τέγους.
οὗτος φυλάττειν τὸν πατέρ' ἐπέταξε νῷν,
ἔνδον καθείρξας, ἵνα θύραζε μὴ 'ξίῃ.
νόσον γὰρ ὁ πατὴρ ἀλλόκοτον αὐτοῦ νοσεῖ,
ἣν οὐδ' ἂν εἷς γνοίη ποτ' οὐδ' ἂν ξυμβάλοι
εἰ μὴ πύθοιθ' ἡμῶν· ἐπεὶ τοπάζετε.

48 γενόμενος Bothe (*factus* Divus): γιγνόμενος codd. 52 οὐκ] οὔ c' Tournier 53 σοφῶς RV: σαφῶς cett. 55 ἄτθ' Portus: ἄττα RV: γ' L: om. Vp3 πρῶτον RV: πρότερον cett. 58 οὔτε] οὐδὲ RV 59 διαρριπτοῦντε] -τες RV 61 οὐδ'] οὔτ' Blaydes ἐνασελγαινόμενος Hermann: ἀνα- codd. 68 ἄνω V ut videtur, Reisig: ἄνω cett. μέγας] μέλας van Herwerden 72 alterum ἂν RV: om. cett.

Ἀμυνίαϲ μὲν ὁ Προνάπουϲ φήϲ' οὑτοϲὶ
εἶναι φιλόκυβον αὐτόν.
Ϲω. ἀλλ' οὐδὲν λέγει,
μὰ Δί', ἀλλ' ἀφ' αὑτοῦ τὴν νόϲον τεκμαίρεται.
Ξα. οὔκ, ἀλλὰ "φιλο" μέν ἐϲτιν ἀρχὴ τοῦ κακοῦ.
ὁδὶ δέ φηϲι Ϲωϲίαϲ πρὸϲ Δερκύλον
εἶναι φιλοπότην αὐτόν.
Ϲω. οὐδαμῶϲ γ', ἐπεὶ
αὕτη γε χρηϲτῶν ἐϲτιν ἀνδρῶν ἡ νόϲοϲ.
Ξα. Νικόϲτρατοϲ δ' αὖ φηϲιν ὁ Ϲκαμβωνίδηϲ
εἶναι φιλοθύτην αὐτὸν ἢ φιλόξενον.
Ϲω. μὰ τὸν κύν', ὦ Νικόϲτρατ', οὐ φιλόξενοϲ,
ἐπεὶ καταπύγων ἐϲτὶν ὅ γε Φιλόξενοϲ.
Ξα. ἄλλωϲ φλυαρεῖτ'· οὐ γὰρ ἐξευρήϲετε.
εἰ δὴ 'πιθυμεῖτ' εἰδέναι, ϲιγᾶτε νῦν.
φράϲω γὰρ ἤδη τὴν νόϲον τοῦ δεϲπότου.
φιληλιαϲτήϲ ἐϲτιν ὡϲ οὐδεὶϲ ἀνήρ,
ἐρᾷ τε τούτου, τοῦ δικάζειν, καὶ ϲτένει
ἢν μὴ 'πὶ τοῦ πρώτου καθίζηται ξύλου.
ὕπνου δ' ὁρᾷ τῆϲ νυκτὸϲ οὐδὲ παϲπάλην.
ἢν δ' οὖν καταμύϲῃ κἂν ἄχνην, ὅμωϲ ἐκεῖ
ὁ νοῦϲ πέτεται τὴν νύκτα περὶ τὴν κλεψύδραν.
ὑπὸ τοῦ δὲ τὴν ψῆφόν γ' ἔχειν εἰωθέναι
τοὺϲ τρεῖϲ ξυνέχων τῶν δακτύλων ἀνίϲταται,
ὥϲπερ λιβανωτὸν ἐπιτιθεὶϲ νουμηνίᾳ.
καὶ νὴ Δί' ἢν ἴδῃ γέ που γεγραμμένον
υἱὸν Πυριλάμπουϲ ἐν θύρᾳ Δῆμον καλόν,
ἰὼν παρέγραψε πληϲίον "κημὸϲ καλόϲ."
τὸν ἀλεκτρυόνα δ', ὃϲ ᾖδ' ἀφ' ἑϲπέραϲ, ἔφη
ὄψ' ἐξεγείρειν αὐτὸν ἀναπεπειϲμένον,

74–84 personarum vices parum certae; Xanthiae omnia tribuere maluit sch. R; post 76 lacunam unius v. statuit Bergk 77 *ἀρχὴ* Hirschig: *ἀ-* codd. 78 *Ϲωϲίαϲ*] *Ϲωϲικλέηϲ* van Herwerden: *Νικίαϲ* MacDowell 98 *υἱὸν* RV: *τὸν* cett., unde *τὸν τοῦ* Bentley 100 *ἀφ'* RV: *ἐφ'* cett.

παρὰ τῶν ὑπευθύνων ἔχοντα χρήματα.
εὐθὺϲ δ' ἀπὸ δορπηϲτοῦ κέκραγεν ἐμβάδαϲ,
κἄπειτ' ἐκεῖϲ' ἐλθὼν προκαθεύδει πρῴ πάνυ,
ὥϲπερ λεπὰϲ προϲεχόμενοϲ τῷ κίονι.
ὑπὸ δυϲκολίαϲ δ' ἅπαϲι τιμῶν τὴν μακρὰν
ὥϲπερ μέλιττ' ἢ βομβυλιὸϲ εἰϲέρχεται
ὑπὸ τοῖϲ ὄνυξι κηρὸν ἀναπεπλαϲμένοϲ.
ψήφων δὲ δείϲαϲ μὴ δεηθείη ποτέ,
ἵν' ἔχοι δικάζειν, αἰγιαλὸν ἔνδον τρέφει.
τοιαῦτ' ἀλύει· νουθετούμενοϲ δ' ἀεὶ
μᾶλλον δικάζει. τοῦτον οὖν φυλάττομεν
μοχλοῖϲιν ἐγκλῄϲαντεϲ, ὡϲ ἂν μὴ 'ξίῃ.
ὁ γὰρ υἱὸϲ αὐτοῦ τὴν νόϲον βαρέωϲ φέρει.
καὶ πρῶτα μὲν λόγοιϲι παραμυθούμενοϲ
ἀνέπειθεν αὐτὸν μὴ φορεῖν τριβώνιον
μηδ' ἐξιέναι θύραζ', ὁ δ' οὐκ ἐπείθετο.
εἶτ' αὐτὸν ἀπέλου κἀκάθαιρ', ὁ δ' οὐ μάλα.
μετὰ τοῦτ' ἐκορυβάντιζ', ὁ δ' αὐτῷ τυμπάνῳ
ᾄξαϲ ἐδίκαζεν εἰϲ τὸ Καινὸν ἐμπεϲών.
ὅτε δῆτα ταύταιϲ ταῖϲ τελεταῖϲ οὐκ ὠφέλει,
διέπλευϲεν εἰϲ Αἴγιναν, εἶτα ξυλλαβὼν
νύκτωρ κατέκλινεν αὐτὸν εἰϲ Ἀϲκληπιοῦ,
ὁ δ' ἀνεφάνη κνεφαῖοϲ ἐπὶ τῇ κιγκλίδι.
ἐντεῦθεν οὐκέτ' αὐτὸν ἐξεφρίεμεν,
ὁ δ' ἐξεδίδραϲκε διά τε τῶν ὑδρορροῶν
καὶ τῶν ὀπῶν· ἡμεῖϲ δ' ὅϲ' ἦν τετρημένα
ἐνεβύϲαμεν ῥακίοιϲι κἀπακτώϲαμεν,
ὁ δ' ὡϲπερεὶ κολοιὸϲ αὑτῷ παττάλουϲ
ἐνέκρουεν εἰϲ τὸν τοῖχον, εἶτ' ἐξήλλετο.

108 ἀναπεπλαϲμένοϲ RV: ὑπο- P75 ut videtur, cett. 110 ἔχοι RV: ἔχῃ cett. δικάζειν] δικάζων Lenting 113 ἐγκλῄϲαντεϲ] ἐνδήϲαντεϲ P75 (?), RV 118 κἀκάθαιρ' Brunck: καὶ 'κάθαιρε L: κακκάθαιρ' RV: καὶ κάθαιρε Vp3 119 τοῦτ' V: τοῦδ' R: ταῦτ' cett. 125 ἐξεφρίεμεν Nauck: -φρίομεν RV: -φρείομεν cett. 128 ἐνεβύϲαμεν] ἐπε- Blaydes

ἡμεῖϲ δὲ τὴν αὐλὴν ἅπαϲαν δικτύοιϲ
καταπετάϲαντεϲ ἐν κύκλῳ φυλάττομεν.
ἔϲτιν δ' ὄνομα τῷ μὲν γέροντι Φιλοκλέων,
ναὶ μὰ Δία, τῷ δ' υἱεῖ γε τῳδὶ Βδελυκλέων,
ἔχων τρόπουϲ φρυαγμοϲεμνάκουϲ τινάϲ.

ΒΔΕΛΥΚΛΕΩΝ

ὦ Ξανθία καὶ Ϲωϲία, καθεύδετε;
Ξα. οἴμοι.
Ϲω. τί ἐϲτι;
Ξα. Βδελυκλέων ἀνίϲταται.
Βδ. οὐ περιδραμεῖται ϲφῷν ταχέωϲ δεῦρ' ἅτεροϲ;
ὁ γὰρ πατὴρ εἰϲ τὸν ἰπνὸν ἐξελήλυθε
καὶ μυϲπολεῖ τι καταδεδυκώϲ. ἀλλ' ἄθρει
κατὰ τῆϲ πυέλου τὸ τρῆμ' ὅπωϲ μὴ 'κδύϲεται·
ϲὺ δὲ τῇ θύρᾳ πρόϲκειϲο.
Ξα. ταῦτ', ὦ δέϲποτα.
Βδ. ἄναξ Πόϲειδον, τί ποτ' ἄρ' ἡ κάπνη ψοφεῖ;
οὗτοϲ, τίϲ εἶ ϲύ;

ΦΙΛΟΚΛΕΩΝ

καπνὸϲ ἔγωγ' ἐξέρχομαι.
Βδ. καπνόϲ; φέρ' ἴδω, ξύλου τίνοϲ ϲύ;
Φι. ϲυκίνου.
Βδ. νὴ τὸν Δί', ὅϲπερ γ' ἐϲτὶ δριμύτατοϲ καπνῶν.
ἀτὰρ οὐκέτ' ἐκφρήϲει γε· ποῦ 'ϲθ' ἡ τηλία;
δύου πάλιν· φέρ' ἐπαναθῶ ϲοι καὶ ξύλον.
ἐνταῦθά νυν ζήτει τιν' ἄλλην μηχανήν.
ἀτὰρ ἄθλιόϲ γ' εἴμ' ὡϲ ἕτεροϲ οὐδεὶϲ ἀνήρ,

135 *φρυαγμοϲεμνάκουϲ τινάϲ* Su. φ 747: *-ουϲτίναϲ* V: *-ουϲτίνουϲ* cett.: *-ακάϲ τιναϲ* Blaydes  139 *ἐξελήλυθε* V: *εἰϲελήλυθε* cett.  140 *τι* VB: *τιϲ* RVp3: *γ' ὅϲτιϲ* L: *ποι* Blaydes  147 *οὐκέτ' ἐκφρήϲει* Wilson: *οὐκ ἐρρήϲειϲ* R: *οὐκ ἐϲερρήϲειϲ* (vel *εἰϲ-*) cett.: *οὐ κατερρήϲειϲ* Sommerstein: *οὔτι χαιρήϲειϲ* Wilamowitz  150 post *ἕτεροϲ* add. *γ'* RV

ὅστις πατρὸς νῦν Καπνίου κεκλήσομαι.
Φι. παῖ.
Ξα. τὴν θύραν ὠθεῖ·
Βδ. πίεζέ νυν σφόδρα,
εὖ κἀνδρικῶς· κἀγὼ γὰρ ἐνταῦθ' ἔρχομαι.
καὶ τῆς κατακλῇδος ἐπιμελοῦ καὶ τοῦ μοχλοῦ,
φύλαττέ θ' ὅπως μὴ τὴν βάλανον ἐκτρώξεται.
Φι. τί δράσετ'; οὐκ ἐκφρήσετ', ὦ μιαρώτατοι,
δικάσοντά μ', ἀλλ' ἐκφεύξεται Δρακοντίδης;
Ξα. σὺ δὲ τοῦτο βαρέως ἂν φέροις;
Φι. ὁ γὰρ θεὸς
μαντευομένῳ μοὔχρησεν ἐν Δελφοῖς ποτέ,
ὅταν τις ἐκφύγῃ μ', ἀποσκλῆναι τότε.
Ξα. Ἄπολλον ἀποτρόπαιε, τοῦ μαντεύματος.
Φι. ἴθ', ἀντιβολῶ σ', ἔκφρες με, μὴ διαρραγῶ.
Ξα. μὰ τὸν Ποσειδῶ, Φιλοκλέων, οὐδέποτέ γε.
Φι. διατρώξομαι τοίνυν ὀδὰξ τὸ δίκτυον.
Ξα. ἀλλ' οὐκ ἔχεις ὀδόντας.
Φι. οἴμοι δείλαιος·
πῶς ἄν σ' ἀποκτείναιμι; πῶς; δότε μοι ξίφος
ὅπως τάχιστ', ἢ πινάκιον τιμητικόν.
Βδ. ἄνθρωπος οὗτος μέγα τι δρασείει κακόν.
Φι. μὰ τὸν Δί' οὐ δῆτ', ἀλλ' ἀποδόσθαι βούλομαι
τὸν ὄνον ἄγων αὐτοῖσι τοῖς κανθηλίοις·
νουμηνία γάρ ἐστιν.
Βδ. οὔκουν κἂν ἐγὼ
αὐτὸν ἀποδοίμην δῆτ' ἄν;
Φι. οὐχ ὥσπερ γ' ἐγώ.
Βδ. μὰ Δί', ἀλλ' ἄμεινον.
Φι. ἀλλὰ τὸν ὄνον ἔξαγε.

151 *νῦν* RV: *νυνὶ* cett. 152 *παῖ* om. RV hanc vocem Philocleoni tribuit MacDowell 155 *φύλαττέ θ'*] *φύλατθ'* Elmsley 156 *μιαρώτατοι* RV: *-τατε* cett. 162 *ἔκφρες* Buttmann: *ἔκφερε* codd. 168 *δρασείει* R: *δράσειεν* L: *δράσει* VVp3 172 *γ'* L: om. cett.

Ξα. οἵαν πρόφαcιν καθῆκεν, ὡc εἰρωνικῶc,
ἵν' αὐτὸν ἐκπέμψειαc.
Βδ. ἀλλ' οὐκ ἔcπαcεν
ταύτῃ γ'· ἐγὼ γὰρ ᾐcθόμην τεχνωμένου.
ἀλλ' εἰcιών μοι τὸν ὄνον ἐξάξειν δοκῶ,
ὅπωc ἂν ὁ γέρων μηδὲ παρακύψῃ πάλιν.
κάνθων, τί κλάειc; ὅτι πεπράcει τήμερον;
βάδιζε θᾶττον. τί cτένειc, εἰ μὴ φέρειc
Ὀδυccέα τιν';
Ξα. ἀλλὰ ναὶ μὰ Δία φέρει
κάτω γε τουτονί τιν' ὑποδεδυκότα.
Βδ. ποῖον; φέρ' ἴδωμαι.
Ξα. τουτονί.
Βδ. τουτὶ τί ἦν;
τίc εἶ ποτ', ὤνθρωπ', ἐτεόν;
Φι. Οὖτιc, νὴ Δία.
Βδ. Οὖτιc cύ; ποδαπόc;
Φι. Ἴθακοc Ἀποδραcιππίδου.
Βδ. Οὖτιc μὰ τὸν Δί' οὔτι χαιρήcων γε cύ.
ὕφελκε θᾶττον αὐτόν. ὦ μιαρώτατοc,
ἵν' ὑποδέδυκεν· ὥcτ' ἔμοιγ' ἰνδάλλεται
ὁμοιότατοc κλητῆροc εἶναι πωλίῳ.
Φι. εἰ μή μ' ἐάcεθ' ἥcυχον, μαχούμεθα.
Βδ. περὶ τοῦ μαχεῖ νῷν δῆτα;
Φι. περὶ ὄνου cκιᾶc.
Βδ. πονηρὸc εἶ πόρρω τέχνηc καὶ παράβολοc.
Φι. ἐγὼ πονηρόc; οὐ μὰ Δί', ἀλλ' οὐκ οἶcθα cὺ
νῦν μ' ὄντ' ἄριcτον· ἀλλ' ἴcωc, ὅταν φάγῃc
ὑπογάcτριον γέροντοc ἡλιαcτικοῦ.
Βδ. ὤθει τὸν ὄνον καὶ cαυτὸν εἰc τὴν οἰκίαν.

175 ἵν' αὐτὸν R: ἵνα θᾶττον cett. 177 ἐξάξειν Elmsley: ἐξάγειν codd. 181 τιν'] τινά γ' L 186 cύ $R^{pc}$: cὺ ἔcει $R^{ac}$VVp3: ἔcει L 189 πωλίῳ] ψωλίῳ E. L. Bowie 190 ἥcυχον] ἡcύχωc RV 195 ἡλιαcτικοῦ MacDowell, cf. titulos et sch. ad v. 772: ἡλ- codd.: infra non notatur

Φι. ὦ ξυνδικαςταὶ καὶ Κλέων, ἀμύνατε.
Βδ. ἔνδον κέκραχθι τῆς θύρας κεκλῃμένης.
ὤθει cὺ πολλοὺς τῶν λίθων πρὸς τὴν θύραν,
καὶ τὴν βάλανον ἔμβαλλε πάλιν εἰς τὸν μοχλόν,
καὶ τὴν δοκὸν προςθεὶς τὸν ὅλμον τὸν μέγαν
ἀνύςας τι προςκύλιςον.
Ξα. οἴμοι δείλαιος·
πόθεν ποτ' ἐμπέπτωκέ μοι τὸ βωλίον;
Βδ. ἴςως ἄνωθεν μῦς ἐνέβαλέςοί ποθεν.
Ξα. μῦς; οὐ μὰ Δί', ἀλλ' ὑποδυόμενός τις οὑτοςὶ
ὑπὸ τῶν κεραμίδων ἡλιαςτὴς ὀροφίας.
Βδ. οἴμοι κακοδαίμων, ςτροῦθος ἀνὴρ γίγνεται·
ἐκπτήςεται. ποῦ ποῦ 'ςτί μοι τὸ δίκτυον;
ςοῦ, ςοῦ, πάλιν, ςοῦ. νὴ Δί' ἦ μοι κρεῖττον ἦν
τηρεῖν Cκιώνην ἀντὶ τούτου τοῦ πατρός.
Ξα. ἄγε νυν, ἐπειδὴ τουτονὶ ςεςοβήκαμεν,
κοὐκ ἔςθ' ὅπως διαδὺς ἂν ἡμᾶς ἔτι λάθοι,
τί οὐκ ἀπεκοιμήθημεν ὅςον ὅςον ςτίλην;
Βδ. ἀλλ', ὦ πόνηρ', ἥξουςιν ὀλίγον ὕςτερον
οἱ ξυνδικαςταὶ παρακαλοῦντες τουτονὶ
τὸν πατέρα.
Ξα. τί λέγεις; ἀλλὰ νῦν γ' ὄρθρος βαθύς.
Βδ. νὴ τὸν Δί', ὀψέ γ' ἆρ' ἀνεςτήκαςι νῦν.
ὡς ἀπὸ μέςων νυκτῶν γε παρακαλοῦς' ἀεί,
λύχνους ἔχοντες καὶ μινυρίζοντες μέλη
ἀρχαιομελιςιδωνοφρυνιχήρατα,

198 κεκλῃμένης Meineke: κεκληςμ- Vp3: κεκλειςμ- cett. 200 ἔμβαλλε B: ἔμβαλε cett. 201 τὴν δοκὸν Dobree (fortasse novit sch.): τῇ δοκῷ codd. 202 προςκύλιςον Cobet: προςκύλιε RVVp3: προςκύλιέ γ' L οἴμοι V: ὤμοι cett. 206 κεραμίδων] κεραμίων v.l. ap. Poll. 10. 183 208 μοι LVp3: μου RV, Su. ε 2807, ς 792: που Meineke 211 νυν] δή V 212 ἔτι λάθοι] ἐπιλάθοι R 213 οὐκ ἀπεκοιτήθημεν] οὐ κατε- Photius s.v. ςτίλην 216 γ' V: om. cett. 217 γ' ἆρ' Porson: γὰρ RVVp3: γοῦν L νῦν] γε L 220 ἀρχαιομελι- sch., Su. α 4075, μ 1103: ἀρχαῖα μελη- R: ἀρχαιομελη- cett.

οἷϲ ἐκκαλοῦνται τοῦτον.
Ξα. οὐκοῦν, ἢν δέῃ,
ἤδη ποτ' αὐτοὺϲ τοῖϲ λίθοιϲ βαλλήϲομεν.
Βδ. ἀλλ', ὦ πόνηρε, τὸ γένοϲ ἤν τιϲ ὀργίϲῃ
τὸ τῶν γερόντων, ἔϲθ' ὅμοιον ϲφηκιᾷ.
ἔχουϲι γὰρ καὶ κέντρον ἐκ τῆϲ ὀϲφύοϲ
ὀξύτατον, ᾧ κεντοῦϲι, καὶ κεκραγότεϲ
πηδῶϲι καὶ βάλλουϲιν ὥϲπερ φέψαλοι.
Ξα. μὴ φροντίϲῃϲ· ἐὰν ἐγὼ λίθουϲ ἔχω,
πολλῶν δικαϲτῶν ϲφηκιὰν διαϲκεδῶ.

## ΧΟΡΟϹ

χώρει, πρόβαιν' ἐρρωμένωϲ. ὦ Κωμία, βραδύνειϲ.
μὰ τὸν Δί' οὐ μέντοι πρὸ τοῦ γ', ἀλλ' ἦϲθ' ἱμὰϲ κύνειοϲ·
νυνὶ δὲ κρείττων ἐϲτί ϲου Χαρινάδηϲ βαδίζειν.
ὦ Ϲτρυμόδωρε Κονθυλεῦ, βέλτιϲτε ϲυνδικαϲτῶν,
Εὐεργίδηϲ ἆρ' ἐϲτί που 'νταῦθ' ἢ Χάβηϲ ὁ Φλυεύϲ;
πάρεϲθ' ὃ δὴ λοιπόν γ' ἔτ' ἐϲτίν, ἀππαπαῖ παπαιάξ,
ἥβηϲ ἐκείνηϲ, ἡνίκ' ἐν Βυζαντίῳ ξυνῆμεν
φρουροῦντ' ἐγώ τε καὶ ϲύ· κᾆτα περιπατοῦντε νύκτωρ
τῆϲ ἀρτοπώλιδοϲ λαθόντ' ἐκλέψαμεν τὸν ὅλμον,
κᾆθ' ἥψομεν τοῦ κορκόρου καταϲχίϲαντεϲ αὐτόν.
ἀλλ' ἐγκονῶμεν, ὦνδρεϲ, ὡϲ ἔϲται Λάχητι νυνί·
ϲίμβλον δέ φαϲι χρημάτων ἔχειν ἅπαντεϲ αὐτόν.
χθὲϲ οὖν Κλέων ὁ κηδεμὼν ἡμῖν ἐφεῖτ' ἐν ὥρᾳ
ἥκειν ἔχονταϲ ἡμερῶν ὀργὴν τριῶν πονηρὰν
ἐπ' αὐτόν, ὡϲ κολωμένουϲ ὧν ἠδίκηϲεν. ἀλλὰ
ϲπεύϲωμεν, ὦνδρεϲ ἥλικεϲ, πρὶν ἡμέραν γενέϲθαι.
χωρῶμεν, ἅμα τε τῷ λύχνῳ πάντῃ διαϲκοπῶμεν,
μή που λίθοϲ τιϲ ἐμποδὼν ἡμᾶϲ κακόν τι δράϲῃ.

234 *Χάβηϲ* RV, sch.: *Χάρηϲ* cett. 235 *γ'* VVp3: om. cett. *ἔτ'* RV: om. cett. 239 *ἥψομεν* R, Brunck: *ἥψαμεν* cett. 240 *ἔϲται*] *ἐϲτὶν* V *Λάχητι νυνί*] *κακὸν Λάχητι* Blaydes 244 *κολωμένουϲ* V s.l.: *χολου-* V: *καλου-* R: *κολου-* cett. 245 *ϲπεύϲωμεν* RV: *ϲπεύδωμεν* cett. 247 *λίθοϲ* V: *λαθών* cett.

ΠΑΙϹ

ὤ.
τὸν πηλόν, ὦ πάτερ πάτερ, τουτονὶ φύλαξαι.
Χο. κάρφοϲ χαμᾶθέν νυν λαβὼν τὸν λύχνον πρόβυϲον.
Πα. οὔκ, ἀλλὰ τῳδί μοι δοκῶ τὸν λύχνον προβύϲειν.
Χο. τί δὴ μαθὼν τῷ δακτύλῳ τὴν θρυαλλίδ᾽ ὠθεῖϲ,
καὶ ταῦτα τοὐλαίου ϲπανίζοντοϲ, ὠνόητε;
οὐ γὰρ δάκνει ϲ᾽, ὅταν δέῃ τίμιον πρίαϲθαι.
Πα. εἰ νὴ Δί᾽ αὖθιϲ κονδύλοιϲ νουθετήϲεθ᾽ ἡμᾶϲ,
ἀποϲβέϲαντεϲ τοὺϲ λύχνουϲ ἄπιμεν οἴκαδ᾽ αὐτοί·
κἄπειτ᾽ ἴϲωϲ ἐν τῷ ϲκότῳ τουτουὶ ϲτερηθεὶϲ
τὸν πηλὸν ὥϲπερ ἀτταγᾶϲ τυρβάϲειϲ βαδίζων.
Χο. ἦ μὴν ἐγώ ϲου χἀτέρουϲ μείζοναϲ κολάζω.
ἀλλ᾽ οὑτοϲί μοι βόρβοροϲ φαίνεται πατοῦντι·
κοὐκ ἔϲθ᾽ ὅπωϲ οὐχ ἡμερῶν τεττάρων τὸ πλεῖϲτον
ὕδωρ ἀναγκαίωϲ ἔχει τὸν θεὸν ποιῆϲαι.
ἔπειϲι γοῦν τοῖϲιν λύχνοιϲ οὑτοιὶ μύκητεϲ·
φιλεῖ δ᾽, ὅταν τοῦτ᾽ ᾖ, ποιεῖν ὑετὸν μάλιϲτα.
δεῖται δὲ καὶ τῶν καρπίμων ἅττα μή ᾽ϲτι πρῷα
ὕδωρ γενέϲθαι κἀπιπνεῦϲαι βόρειον αὐτοῖϲ.
τί χρῆμ᾽ ἄρ᾽ οὑκ τῆϲ οἰκίαϲ τῆϲδε ϲυνδικαϲτὴϲ
πέπονθεν, ὡϲ οὐ φαίνεται δεῦρο πρὸϲ τὸ πλῆθοϲ;
οὐ μὴν πρὸ τοῦ γ᾽ ἐφολκὸϲ ἦν, ἀλλὰ πρῶτοϲ ἡμῶν
ἡγεῖτ᾽ ἂν ᾄδων Φρυνίχου· καὶ γάρ ἐϲτιν ἀνὴρ
φιλῳδόϲ. ἀλλά μοι δοκεῖ ϲτάνταϲ ἐνθάδ᾽, ὦνδρεϲ,
ᾄδονταϲ αὐτὸν ἐκκαλεῖν, ἤν τί πωϲ ἀκούϲαϲ
τοὐμοῦ μέλουϲ ὑφ᾽ ἡδονῆϲ ἑρπύϲῃ θύραζε.

248 post alterum πάτερ add. ϲύ codd.: del. Fl. Christianus 250 μοι V: μοι γε R: μοι γε νῦν LVp3 254 κονδύλοιϲ L: -οιϲι RVVp3 255 αὐτοί] αὖθιϲ Elmsley: εὐθύϲ Blaydes 262 τοῖϲιν R: τοῖϲι cett. 263 τοῦτ᾽ ᾖ Fl. Christianus: ᾖ τουτί codd. post ποιεῖν add. ὁ Ζεὺϲ RV 264 πρῷα Porson: πρώϊα RV: πρώϊμα cett. 266–90 post 316 transp. Srebrny 269 ἂν ᾄδων ita divisim solus R 271 ἐκκαλεῖν V: ἐκβαλεῖν cett. 272 ἑρπύϲῃ V: ἐξερπύϲῃ cett.

τί ποτ᾽ οὐ πρὸ θυρῶν φαίνετ᾽ ἄρ᾽ ἡμῖν ὁ γέρων [ϲτρ.
οὐδ᾽ ὑπακούει;
μῶν ἀπολώλεκε τὰϲ
ἐμβάδαϲ, ἢ προϲέκοψ᾽ ἐν
τῷ ϲκότῳ τὸν δάκτυλόν που,
εἶτ᾽ ἐφλέγμηνεν αὐτοῦ
τὸ ϲφυρὸν γέροντοϲ ὄντοϲ;
καὶ τάχ᾽ ἂν βουβωνιῴη.
ἦ μὴν πολὺ δριμύτατόϲ γ᾽ ἦν τῶν παρ᾽ ἡμῖν,
καὶ μόνοϲ οὐκ ἀνεπείθετ᾽, ἀλλ᾽ ὁπότ᾽ ἀντιβολοίη
τιϲ, κάτω κύπτων ἂν οὕτω
"λίθον ἕψειϲ" ἔλεγεν.

τάχα δ᾽ ἂν διὰ τὸν χθιζινὸν ἄνθρωπον, ὃϲ ἡμᾶϲ
διέδυ πωϲ, [ἀντ.
ἐξαπατῶν καὶ λέγων
ὡϲ φιλαθήναιοϲ ἦν καὶ
τἀν Ϲάμῳ πρῶτοϲ κατείποι,
διὰ τοῦτ᾽ ὀδυνηθεὶϲ
εἶτ᾽ ἴϲωϲ κεῖται πυρέττων.
ἔϲτι γὰρ τοιοῦτοϲ ἀνήρ.
ἀλλ᾽, ὦγάθ᾽, ἀνίϲταϲο μηδ᾽ οὕτω ϲεαυτὸν
ἔϲθιε μηδ᾽ ἀγανάκτει. καὶ γὰρ ἀνὴρ παχὺϲ ἥκει
τῶν προδόντων τἀπὶ Θρᾴκηϲ·
ὃν ὅπωϲ ἐγχυτριεῖϲ.
ὕπαγ᾽, ὦ παῖ, ὕπαγε.

*Πα.* ἐθελήϲειϲ τί μοι οὖν, ὦ [ϲτρ.
πάτερ, ἤν ϲού τι δεηθῶ;
*Χο.* πάνυ γ᾽, ὦ παιδίον. ἀλλ᾽ εἰ-

275 προϲέκοψ᾽ ἐν Bentley: προϲέκοψε(ν) codd. 278 ἀνεπείθετ᾽ V: ἂν ἐπείθετ᾽ cett. 280 post hunc v. ⟨ὕπαγ᾽, ὦ παῖ, ὕπαγε⟩ add. Hermann 281 χθιζινὸν Hermann: χθεϲινὸν RVVp3: χθεϲινόν γ᾽ L διέδυ πωϲ Dindorf, duce Bentley: διεδύετ᾽ codd. 282 καὶ λέγων] τε λέγων θ᾽ Richter 285 ἀνὴρ Bekker: ἀ- codd. 288 παχὺϲ] ταχὺϲ R

πέ, τί βούλει με πρίαϲθαι
καλόν; οἶμαι δέ ϲ' ἐρεῖν ἀ-
ϲτραγάλουϲ δήπουθεν, ὦ παῖ.
Πα. μὰ Δί', ἀλλ' ἰϲχάδαϲ, ὦ παπ-
πία· ἥδιον γάρ—
Χο. οὐκ ἂν
μὰ Δί', εἰ κρέμαιϲθέ γ' ὑμεῖϲ.
Πα. μὰ Δί' οὔ τἄρα προπέμψω ϲε τὸ λοιπόν.
Χο. ἀπὸ γάρ τοῦδέ με τοῦ μιϲθαρίου
τρίτον αὐτὸν ἔχειν ἄλφιτα δεῖ καὶ ξύλα κὦψον·
⟨ἒ ἔ.⟩
ϲὺ δὲ ϲῦκά μ' αἰτεῖϲ.

Πα. ἄγε νυν, ὦ πάτερ, ἢν μὴ [ἀντ.
τὸ δικαϲτήριον ἄρχων
καθίϲῃ νῦν, πόθεν ὠνη-
ϲόμεθ' ἄριϲτον; ἔχειϲ ἐλ-
πίδα χρηϲτήν τινα νῷν ἢ
πόρον Ἕλλαϲ ἱρὸν ⟨εὑρεῖν⟩;
Χο. ἀπαπαῖ φεῦ, ⟨ἀπαπαῖ φεῦ,⟩
μὰ Δί' οὐκ ἔγωγε νῷν οἶδ'
ὁπόθεν γε δεῖπνον ἔϲται.
Πα. τί με δῆτ', ὦ μελέα μῆτερ, ἔτικτεϲ;
Χο. ἵν' ἐμοὶ πράγματα βόϲκειν παρέχῃϲ.
Πα. ἀνόνητον ἄρ', ὦ θυλάκιόν, ϲ' εἶχον ἄγαλμα.
ἒ ἔ.
πάρα νῷν ϲτενάζειν.

Φι. φίλοι, τήκομαι μὲν
πάλαι διὰ τῆϲ ὀπῆϲ
ὑμῶν ἐπακούων.

297 παππία Bentley: παπία codd. 298 κρέμαιϲθε Dobree: κρέμεϲθε V: κρέμοιϲθε cett. 302 suppl. Hermann 308 suppl. Blaydes 309 suppl. Hermann 311 γε] τὸ Cobet 314 ἄρ' . . . ϲ' Hermann: ἄρα ϲ' . . . γ' codd. 318a ἐπακούων Cobet: ὑπακούων codd.: ὀπ' ἀκούων van Herwerden

ἀλλ᾽—οὐ γὰρ οἷόϲ τ᾽ εἴμ᾽
ᾄδειν—τί ποιήϲω;
τηροῦμαι δ᾽ ὑπὸ τῶνδ᾽, ἐπεὶ
βούλομαί γε πάλαι μεθ᾽ ὑ-
μῶν ἐλθὼν ἐπὶ τοὺϲ καδίϲ-
κουϲ κακόν τι ποιῆϲαι.
ἀλλ᾽, ὦ Ζεῦ μεγαβρόντα,

ἤ με ποίηϲον καπνὸν ἐξαίφνηϲ
ἢ Προξενίδην ἢ τὸν Ϲέλλου
τοῦτον τὸν ψευδαμάμαξυν.
τόλμηϲον, ἄναξ, χαρίϲαϲθαί μοι,
πάθοϲ οἰκτίραϲ· ἤ με κεραυνῷ
διατινθαλέῳ ϲπόδιϲον ταχέωϲ,
κἄπειτ᾽ ἀνελών μ᾽ ἀποφυϲήϲαϲ
εἰϲ ὀξάλμην ἔμβαλε θερμήν·
ἢ δῆτα λίθον με ποίηϲον, ἐφ᾽ οὗ
τὰϲ χοιρίναϲ ἀριθμοῦϲι.

Χο. τίϲ γάρ ἐϲθ᾽ ὁ ταῦτά ϲ᾽ εἴργων [ϲτρ.
κἀποκλείων τῇ θύρᾳ; λέξον· πρὸϲ εὔνουϲ γὰρ φράϲειϲ.
Φι. οὑμὸϲ υἱόϲ. ἀλλὰ μὴ βοᾶτε· καὶ γὰρ τυγχάνει
οὑτοϲὶ πρόϲθεν καθεύδων. ἀλλ᾽ ὕφεϲθε τοῦ τόνου.
Χο. τοῦ δ᾽ ἔφεξιν, ὦ μάταιε, ταῦτα δρᾶν ϲε βούλεται;
τίνα πρόφαϲιν ἔχων;
Φι. οὐκ ἐᾷ μ᾽, ὦνδρεϲ, δικάζειν οὐδὲ δρᾶν οὐδὲν κακόν,
ἀλλά μ᾽ εὐωχεῖν ἕτοιμόϲ ἐϲτ᾽· ἐγὼ δ᾽ οὐ βούλομαι.
Χο. τοῦτ᾽ ἐτόλμηϲ᾽ ὁ μιαρὸϲ χα-
νεῖν, ὁ Δημολογοκλέων ⟨ὅδ᾽,⟩

318b *ἀλλ᾽—οὐ γὰρ* Bentley: *ἀλλὰ γὰρ οὐχ* RVp3: *ἀλλ᾽ ἀτὰρ οὐ* V: *ἀλλ᾽ οὐχ* L 320 *πάλαι* L: *πάλαι πάνυ* cett. 325 *Προξενίδην* V: *Προξενιάδην* cett. 326 *ψευδαμάμαξυν* B, cf. sch.: *ψευδο-* cett. 328 *οἰκτίραϲ* van Herwerden: *οἰκτείραϲ* codd.: non amplius notatur 334 *τῇ θύρᾳ* V: *τὰϲ θύραϲ* cett. 338 *ἔφεξιν* R, cf. sch. et Hsch. s.v.: *ἐφέξειν* cett.: *ὑφέξειν* v.l. ap. sch. 339 ⟨*καὶ*⟩ *τίνα* Bergk 342 *Δημολογοκλέων*] varie temptatum: *Δεινο-* Hermann suppl. Hermann

ὅτι λέγειϲ ⟨ϲύ⟩ τι περὶ τῶν νε-
ῶν ἀληθέϲ. οὐ γὰρ ἄν ποθ'
οὗτοϲ ἀνὴρ τοῦτ' ἐτόλμη-
ϲεν λέγειν, εἰ
μὴ ξυνωμότηϲ τιϲ ἦν.

ἀλλ' ἐκ τούτων ὥρα τινά ϲοι ζητεῖν καινὴν ἐπίνοιαν,
ἥτιϲ ϲε λάθρᾳ τἀνδρὸϲ τουδὶ καταβῆναι δεῦρο ποιήϲει.

Φι. τίϲ ἂν οὖν εἴη; ζητεῖθ' ὑμεῖϲ, ὡϲ πᾶν ⟨ἂν⟩ ἔγωγε ποιοίην·
οὕτω κιττῶ διὰ τῶν ϲανίδων μετὰ χοιρίνηϲ περιελθεῖν.

Χο. ἔϲτιν ὀπὴ δῆθ' ἥντιν' ἂν ἔνδοθεν οἷόϲ τ' εἴηϲ διαλέξαι,
εἶτ' ἐκδῦναι ῥάκεϲιν κρυφθεὶϲ ὥϲπερ πολύμητιϲ Ὀδυϲϲεύϲ;

Φι. πάντα πέφαρκται κοὐκ ἔϲτιν ὀπῆϲ οὐδ' εἰ ϲέρφῳ διαδῦναι.
ἀλλ' ἄλλο τι δεῖ ζητεῖν ὑμᾶϲ· ὀπίαν δ' οὐκ ἔϲτι γενέϲθαι.

Χο. μέμνηϲαι δῆθ', ὅτ' ἐπὶ ϲτρατιᾶϲ κλέψαϲ ποτὲ τοὺϲ ὀβελίϲκουϲ
ἵειϲ ϲαυτὸν κατὰ τοῦ τείχουϲ ταχέωϲ, ὅτε Νάξοϲ ἑάλω.

Φι. οἶδ'· ἀλλὰ τί τοῦτ'; οὐδὲν γὰρ τοῦτ' ἐϲτὶν ἐκείνῳ προϲόμοιον.
ἥβων γὰρ κἀδυνάμην κλέπτειν, ἴϲχυόν τ' αὐτὸϲ ἐμαυτοῦ,
κοὐδείϲ μ' ἐφύλαττ', ἀλλ' ἐξῆν μοι
φεύγειν ἀδεῶϲ. νῦν δὲ ξὺν ὅπλοιϲ
ἄνδρεϲ ὁπλῖται διαταξάμενοι

343 suppl. Meineke νεῶν] νέων Bentley 346 τούτων] πάντων R
347 τουδὶ Fl. Christianus: τοῦδε codd. 348 suppl. Daubuz, Bentley
350 διαλέξαι Hermann, cf. Hsch. s.v., *Lys.* 720: διορύξαι codd.
352 πέφαρκται Dindorf: πέφρακται codd. εἰ] ἂν Blaydes
356 ἐϲτὶν LVp3: ἐϲτ' RV

κατὰ τὰϲ διόδουϲ ϲκοπιωροῦνται,
τὼ δὲ δύ' αὐτῶν ἐπὶ ταῖϲι θύραιϲ
ὥϲπερ με γαλῆν κρέα κλέψαϲαν
τηροῦϲιν ἔχοντ' ὀβελίϲκουϲ.

Χο. ἀλλὰ καὶ νῦν ἐκπόριζε [ἀντ.
μηχανὴν ὅπωϲ τάχιϲθ'· ἕωϲ γάρ, ὦ μελίττιον.
Φι. διατραγεῖν τοίνυν κράτιϲτόν ἐϲτί μοι τὸ δίκτυον.
ἡ δέ μοι Δίκτυννα ϲυγγνώμην ἔχοι τοῦ δικτύου.
Χο. ταῦτα μὲν πρὸϲ ἀνδρόϲ ἐϲτ' ἄνοντοϲ εἰϲ ϲωτηρίαν.
ἀλλ' ἔπαγε τὴν γνάθον.
Φι. διατέτρωκται τοῦτό γ'. ἀλλὰ μὴ βοᾶτε μηδαμῶϲ,
ἀλλὰ τηρώμεϲθ' ὅπωϲ μὴ Βδελυκλέων αἰϲθήϲεται.
Χο. μηδέν, ὦ τᾶν, δέδιθι, μηδέν·
ὡϲ ἐγὼ τοῦτόν γ', ἐὰν γρύ-
ξῃ τι, ποιήϲω δακεῖν τὴν
καρδίαν καὶ τὸν περὶ ψυ-
χῆϲ δρόμον δραμεῖν, ἵν' εἰδῇ
μὴ πατεῖν τὰ
ταῖν θεαῖν ψηφίϲματα.

ἀλλ' ἐξάψαϲ διὰ τῆϲ θυρίδοϲ τὸ καλῴδιον εἶτα καθίμα
δήϲαϲ ϲαυτὸν καὶ τὴν ψυχὴν ἐμπληϲάμενοϲ
Διοπείθουϲ.
Φι. ἄγε νυν, ἢν αἰϲθομένω τούτω ζητῆτόν μ' εἰϲκαλαμᾶϲθαι
κἀναϲπαϲτὸν ποιεῖν εἴϲω, τί ποιήϲετε; φράζετε νυνί.
Χο. ἀμυνοῦμέν ϲοι τὸν πρινώδη θυμὸν ἅπαντεϲ καλέϲαντεϲ,
ὥϲτ' οὐ δυνατόν ϲ' εἴργειν ἔϲται· τοιαῦτα ποιήϲομεν ἡμεῖϲ.

365 καὶ νῦν] καινὴν Dobree 367 μελίττιον L: μελίτιον cett. 378 ταῖν θεαῖν] τῶν θεῶν R: τοῖν θεοῖν Hirschig, fortasse recte 381 εἰϲκαλαμᾶϲθαι V: ἐνκαλ- R: ἐκκαλ- cett. 383 ἅπαντεϲ καλέϲαντεϲ] ἅπαντ' ἐκκαλέϲαντεϲ Cobet 384 ἔϲται V, Bentley: τα vel τὰ cett.: ἔνδον Blaydes

Φι. δράϲω τοίνυν ὑμῖν πίϲυνοϲ. καὶ μανθάνετ᾽· ἤν τι πάθω ᾽γώ,
ἀνελόντεϲ καὶ κατακλαύϲαντεϲ θεῖναί μ᾽ ὑπὸ τοῖϲι δρυφάκτοιϲ.
Χο. οὐδὲν πείϲει· μηδὲν δείϲηϲ. ἀλλ᾽, ὦ βέλτιϲτε, καθίει
ϲαυτὸν θαρρῶν κἀπευξάμενοϲ τοῖϲι πατρῴοιϲι θεοῖϲιν.
Φι. ὦ Λύκε δέϲποτα, γείτων ἥρωϲ· ϲὺ γὰρ οἷϲπερ ἐγὼ κεχάρηϲαι,
τοῖϲ δακρύοιϲιν τῶν φευγόντων ἀεὶ καὶ τοῖϲ ὀλοφυρμοῖϲ·
ᾤκηϲαϲ γοῦν ἐπίτηδεϲ ἰὼν ἐνταῦθ᾽ ἵνα ταῦτ᾽ ἀκροῷο,
κἀβουλήθηϲ μόνοϲ ἡρώων παρὰ τὸν κλάοντα καθῆϲθαι.
ἐλέηϲον καὶ ϲῶϲον νυνὶ τὸν ϲαυτοῦ πληϲιόχωρον·
κοὐ μή ποτέ ϲου παρὰ τὰϲ κάνναϲ οὐρήϲω μηδ᾽ ἀποπάρδω.
Βδ. οὗτοϲ, ἐγείρου.
Ξα. τί τὸ πρᾶγμ᾽;
Βδ. ὥϲπερ φωνή μέ τιϲ ἐγκεκύκλωται.
μῶν ὁ γέρων πῃ διαδύεται ⟨αὖ⟩;
Ξα. μὰ Δί᾽ οὐ δῆτ᾽, ἀλλὰ καθιμᾷ
αὑτὸν δήϲαϲ.
Βδ. ὦ μιαρώτατε, τί ποιεῖϲ; οὐ μὴ καταβήϲει.
ἀνάβαιν᾽ ἀνύϲαϲ κατὰ τὴν ἑτέραν καὶ ταῖϲιν φυλλάϲι παῖε,
ἤν πωϲ πρύμνην ἀνακρούϲηται πληγεὶϲ ταῖϲ εἰρεϲιώναιϲ.
Φι. οὐ ξυλλήψεϲθ᾽ ὁπόϲοιϲι δίκαι τῆτεϲ μέλλουϲιν ἔϲεϲθαι,
ὦ Ϲμικυθίων καὶ Τειϲιάδη καὶ Χρήμων καὶ Φερέδειπνε;

386 *κατακλαύϲαντεϲ* V, Bentley: *κλαύϲαντεϲ* cett. *θεῖναί*] *θάψαι* Blaydes 390 *δακρύοιϲιν* B, Daubuz: *-οιϲι* cett. 396 suppl. Dindorf 398 *ταῖϲιν* G, Daubuz, Bentley: *ταῖϲι* cett. 399 *ἤν*] *εἴ* V *πρύμνην* C, Elmsley: *πρύμναν* cett. 400 *ὁπόϲοιϲι* V: *ὁπόϲοι* RVp3: *ὁπόϲοιϲ* L 401 *Τειϲιάδη* van Herwerden: *Τιϲ-* codd.

πότε δ', εἰ μὴ νῦν, ἐπαρήξετέ μοι, πρίν μ' εἴϲω μᾶλλον ἄγεϲθαι;

Χο. εἰπέ μοι, τί μέλλομεν κινεῖν ἐκείνην τὴν χολήν,
ἥνπερ ἡνίκ' ἄν τιϲ ἡμῶν ὀργίϲῃ τὴν ϲφηκιάν;
νῦν ἐκεῖνο νῦν ἐκεῖνο
τοὐξύθυμον, ᾧ κολαζό-
μεϲθα, κέντρον ἐντατέον ὀξέωϲ.
ἀλλὰ θαἰμάτια λαβόντεϲ ὡϲ τάχιϲτα, παιδία,
θεῖτε καὶ βοᾶτε, καὶ Κλέωνι ταῦτ' ἀγγέλλετε,
καὶ κελεύετ' αὐτὸν ἥκειν
ὡϲ ἐπ' ἄνδρα μιϲόπολιν
ὄντα κἀπολούμενον, ὅτι
τόνδε λόγον εἰϲφέρει,
μὴ δικάζειν δίκαϲ.

Βδ. ὦγαθοί, τὸ πρᾶγμ' ἀκούϲατ', ἀλλὰ μὴ κεκράγετε.
Χο. νὴ Δί', εἰϲ τὸν οὐρανόν γ'.
Βδ. ὡϲ τοῦδ' ἐγὼ οὐ μεθήϲομαι.
Χο. ταῦτα δῆτ' οὐ δεινὰ καὶ τυραννίϲ ἐϲτιν ἐμφανήϲ;
ὦ πόλιϲ καὶ Θεώρου θεοιϲεχθρία,
κεἴ τιϲ ἄλλοϲ προέϲτηκεν ἡμῶν κόλαξ.
Ξα. Ἡράκλειϲ, καὶ κέντρ' ἔχουϲιν. οὐχ ὁρᾷϲ, ὦ δέϲποτα;
Βδ. οἷϲ γ' ἀπώλεϲαν Φίλιππον ἐν δίκῃ τὸν Γοργίου.
Χο. καὶ ϲέ γ' αὐτοῖϲ ἐξολοῦμεν· ἀλλὰ πᾶϲ ἐπίϲτρεφε
δεῦρο κἀξείραϲ τὸ κέντρον εἶτ' ἐπ' αὐτὸν ἵεϲο,
ξυϲταλείϲ, εὔτακτοϲ, ὀργῆϲ καὶ μένουϲ ἐμπλήμενοϲ,
ὡϲ ἂν εὖ εἰδῇ τὸ λοιπὸν ϲμῆνοϲ οἷον ὤργιϲεν.

407 ἐντατέον D. M. Jones: ἐντέτατ' codd. ὀξέωϲ Bergk: ὀξὺ codd.: εἰϲ μάχην Sommerstein 408 λαβόντεϲ] βαλόντεϲ Bs.l.: 414 μὴ Dindorf: ὡϲ χρὴ μὴ codd. 415 κεκράγετε L: -γατε cett. 416 τοῦδ' Porson: τόνδ' codd. 418 πόλιϲ L: πόλι cett. θεοιϲεχθρία Bentley: θεὸϲ ἐχθρία vel sim. codd. 419 ἡμῶν Vp3, Fl. Christianus: ὑμῶν cett. 422 αὐτοῖϲ Hirschig: αὐτῆϲ V: αὖτιϲ cett.

Ξα. τοῦτο μέντοι δεινὸν ἤδη, νὴ Δί', εἰ μαχούμεθα·
ὡϲ ἔγωγ' αὐτῶν ὁρῶν δέδοικα τὰϲ ἐγκεντρίδαϲ.
Χο. ἀλλ' ἀφίει τὸν ἄνδρ'· εἰ δὲ μή, φήμ' ἐγὼ
τὰϲ χελώναϲ μακαριεῖν ϲε τοῦ δέρματοϲ.

Φι. εἶά νυν, ὦ ξυνδικαϲταί, ϲφῆκεϲ ὀξυκάρδιοι,
οἱ μὲν εἰϲ τὸν πρωκτὸν αὐτῶν εἰϲπέτεϲθ' ὠργιϲμένοι,
οἱ δὲ τὠφθαλμὼ κύκλῳ κεντεῖτε καὶ τοὺϲ δακτύλουϲ.
Βδ. ὦ Μίδα καὶ Φρύξ, βοήθει δεῦρο, καὶ Μαϲυντία,
καὶ λάβεϲθε τουτουὶ καὶ μὴ μεθῆϲθε μηδενί·
εἰ δὲ μή, 'ν πέδαιϲ παχείαιϲ οὐδὲν ἀριϲτήϲετε,
ὡϲ ἐγὼ πολλῶν ἀκούϲαϲ οἶδα θρίων τὸν ψόφον.
Χο. εἰ δὲ μὴ τοῦτον μεθήϲειϲ, ἕν τί ϲοι παγήϲεται.
Φι. ὦ Κέκροψ ἥρωϲ ἄναξ, τὰ πρὸϲ ποδῶν Δρακοντίδη,
περιορᾷϲ οὕτω μ' ὑπ' ἀνδρῶν βαρβάρων χειρούμενον,
οὓϲ ἐγὼ 'δίδαξα κλάειν τέτταρ' εἰϲ τὴν χοίνικα;
Χο. εἶτα δῆτ' οὐ πόλλ' ἔνεϲτι δεινὰ τῷ γήρᾳ κακά;
δηλαδή· καὶ νῦν γε τούτω τὸν παλαιὸν δεϲπότην
πρὸϲ βίαν χειροῦϲιν, οὐδὲν τῶν πάλαι μεμνημένοι
διφθερῶν κἀξωμίδων, ἃϲ οὗτοϲ αὐτοῖϲ ἠμπόλα,
καὶ κυνᾶϲ· καὶ τοὺϲ πόδαϲ χειμῶνοϲ ὄντοϲ ὠφέλει,
ὥϲτε μὴ ῥιγῶν ἑκάϲτοτ'· ἀλλὰ τούτοιϲ γ' οὐκ ἔνι
οὐδ' ἐν ὀφθαλμοῖϲιν αἰδὼϲ τῶν παλαιῶν ἐμβάδων.
Φι. οὐκ ἀφήϲειϲ οὐδὲ νυνί μ', ὦ κάκιϲτον θηρίον,
οὐδ' ἀναμνηϲθεὶϲ ὅθ' εὑρὼν τοὺϲ βότρυϲ κλέπτοντά ϲε
προϲαγαγὼν πρὸϲ τὴν ἐλάαν ἐξέδειρ' εὖ
κἀνδρικῶϲ,
ὥϲτε ϲε ζηλωτὸν εἶναι; ϲὺ δ' ἀχάριϲτοϲ ἦϲθ' ἄρα.
ἀλλ' ἄνεϲ με καὶ ϲὺ καὶ ϲύ, πρὶν τὸν υἱὸν ἐκδραμεῖν.
Χο. ἀλλὰ τούτων μὲν τάχ' ἡμῖν δώϲετον καλὴν δίκην,

430 εἶα semel L: bis cett. 432 κεντεῖτε Fl. Christianus: κεντεῖθ' οἱ δὲ codd. 433 βοήθει Bentley: βοηθεῖτε codd. 434 λάβεϲθε L: βάλ(λ)εϲθε cett. 435 μὴ 'ν Fl. Christianus: μὴν codd. 437 ἓν Farreus: ἐν codd. 446 ῥιγῶν Dindorf: ῥιγόντ' R: ῥιγῶν γ' cett. 453 τούτων] τούτω v.l. ap. sch.

οὐκέτ' εἰϲ μακράν, ἵν' εἰδῆθ' οἷόϲ ἐϲτ' ἀνδρῶν τρόποϲ
ὀξυθύμων καὶ δικαίων καὶ βλεπόντων κάρδαμα.
Βδ. παῖε, παῖ, ὦ Ξανθία, τοὺϲ ϲφῆκαϲ ἀπὸ τῆϲ οἰκίαϲ.
Ξα. ἀλλὰ δρῶ τοῦτ'.
Βδ. ἀλλὰ καὶ ϲὺ τῦφε πολλῷ τῷ καπνῷ.
Ξα. οὐχὶ ϲοῦϲθ'; οὐκ ἐϲ κόρακαϲ; οὐκ ἄπιτε;
Βδ. παῖε τῷ ξύλῳ·
καὶ ϲὺ προϲθεὶϲ Αἰϲχίνην ἔντυφε τὸν Ϲελλαρτίου.
ἆρ' ἐμέλλομέν ποθ' ὑμᾶϲ ἀποϲοβήϲειν τῷ χρόνῳ;
Φι. ἀλλὰ μὰ Δί' οὐ ῥᾳδίωϲ οὕτωϲ ἂν αὐτοὺϲ διέφυγεϲ,
εἴπερ ἔτυχον τῶν μελῶν τῶν Φιλοκλέουϲ βεβρωκότεϲ.
Χο. ἆρα δῆτ' οὐκ αὐτὰ δῆλα
τοῖϲ πένηϲιν, ἡ τυραννὶϲ ὡϲ λάθρᾳ γ' ἐ-
λάμβαν' ὑπιοῦϲά με,
εἰ ϲύ γ', ὦ πονωπόνηρε καὶ Κομηταμυνία,
τῶν νόμων ἡμᾶϲ ἀπείργειϲ ὧν ἔθηκεν ἡ πόλιϲ,
οὔτε τιν' ἔχων πρόφαϲιν
οὔτε λόγον εὐτράπελον,
αὐτὸϲ ἄρχων μόνοϲ;
Βδ. ἔϲθ' ὅπωϲ ἄνευ μάχηϲ καὶ τῆϲ κατοξείαϲ βοῆϲ
εἰϲ λόγουϲ ἔλθοιμεν ἀλλήλοιϲι καὶ διαλλαγάϲ;
Χο. ϲοὺϲ λόγουϲ, ὦ μιϲόδημε
καὶ μοναρχίαϲ ἐραϲτὰ
καὶ ξυνὼν Βραϲίδᾳ καὶ φορῶν κράϲπεδα
ϲτεμμάτων τήν θ' ὑπήνην ἄκουρον τρέφων;
Βδ. νὴ Δί' ἦ μοι κρεῖττον ἐκϲτῆναι τὸ παράπαν τοῦ πατρὸϲ
μᾶλλον ἢ κακοῖϲ τοϲούτοιϲ ναυμαχεῖν ὁϲημέραι.

454 *οἷόϲ* V, Su. ι 377: *οἷόν* cett. 456 *παῖε*] *παῦε* R 457–60 personarum vices parum certae; v. 460 Bdelycleoni tribuit Graves 459 *ἔντυφε*] *ἔκτυφε* Meineke 461–2 Philocleoni tribuit Wilson 463 *αὐτὰ δῆλα* (cum signo vocis compositae in R)] *αὐτόδηλα* Dindorf 465 *ἐλάμβαν'* R: *ἐλάνθαν(εν)* cett. 466 *πονωπόνηρε*] *πόνῳ πόνηρε* VΓ 471 *ἄνευ*] *ἂν ἐκ* van Herwerden 472 *ἔλθοιμεν* V: *-ωμεν* cett. 473 *ϲοὺϲ* Hirschig, duce Bothe: *ϲοὶ* codd. 479 *ναυμαχεῖν*] *δυϲμαχεῖν* van Herwerden

Χο. οὐδὲ μὴν οὐδ᾽ ἐν ϲελίνῳ ϲοὐϲτὶν οὐδ᾽ ἐν πηγάνῳ·
τοῦτο γὰρ παρεμβαλοῦμεν τῶν τριχοινίκων ἐπῶν.
ἀλλὰ νῦν μὲν οὐδὲν ἀλγεῖϲ, ἀλλ᾽ ὅταν ξυνήγοροϲ
ταὐτὰ ταῦτά ϲου καταντλῇ καὶ ξυνωμότην καλῇ.
Βδ. ἆρ᾽ ἄν, ὦ πρὸϲ τῶν θεῶν, ὑμεῖϲ ἀπαλλαχθεῖτέ μου;
ἢ δέδοκταί τοι δέρεϲθαι καὶ δέρειν δι᾽ ἡμέραϲ;
Χο. οὐδέποτέ γ᾽, οὔχ, ἕωϲ ἄν τί μου λοιπὸν ᾖ—
ὅϲτιϲ ἡμῶν ἐπὶ τυραννίδ᾽ ⟨ὧδ᾽⟩ ἐϲτάληϲ.
Βδ. ὡϲ ἅπανθ᾽ ὑμῖν τυραννίϲ ἐϲτι καὶ ξυνωμόται,
ἤν τε μεῖζον ἤν τ᾽ ἔλαττον πρᾶγμά τιϲ κατηγορῇ.
ἧϲ ἐγὼ οὐκ ἤκουϲα τοὔνομ᾽ οὐδὲ πεντήκοντ᾽ ἐτῶν·
νῦν δὲ πολλῷ τοῦ ταρίχουϲ ἐϲτὶν ἀξιωτέρα,
ὥϲτε καὶ δὴ τοὔνομ᾽ αὐτῆϲ ἐν ἀγορᾷ κυλίνδεται.
ἢν μὲν ὠνῆταί τιϲ ὀρφῶϲ, μεμβράδαϲ δὲ μὴ ᾽θέλῃ,
εὐθέωϲ εἴρηχ᾽ ὁ πωλῶν πληϲίον τὰϲ μεμβράδαϲ·
"οὗτοϲ ὀψωνεῖν ἔοιχ᾽ ἄνθρωποϲ ἐπὶ τυραννίδι."
ἢν δὲ γήτειον προϲαιτῇ ταῖϲ ἀφύαιϲ ἥδυϲμά τι,
ἡ λαχανόπωλιϲ παραβλέψαϲά φηϲι θατέρῳ·
"εἰπέ μοι· γήτειον αἰτεῖϲ· πότερον ἐπὶ τυραννίδι;
ἢ νομίζειϲ τὰϲ Ἀθήναϲ ϲοὶ φέρειν ἡδύϲματα;"
Ξα. κἀμέ γ᾽ ἡ πόρνη χθὲϲ εἰϲελθόντα τῆϲ μεϲημβρίαϲ,
ὅτι κελητίϲαι ᾽κέλευον, ὀξυθυμηθεῖϲά μοι
ἤρετ᾽ εἰ τὴν Ἱππίου καθίϲταμαι τυραννίδα.
Βδ. ταῦτα γὰρ τούτοιϲ ἀκούειν ἡδέ᾽, εἰ καὶ νῦν ἐγώ,
τὸν πατέρ᾽ ὅτι βούλομαι τούτων ἀπαλλαχθέντα τῶν
ὀρθροφοιτοϲυκοφαντοδικοταλαιπώρων τρόπων
ζῆν βίον γενναῖον ὥϲπερ Μόρυχοϲ, αἰτίαν ἔχω

480 *μὴν* Cobet, Hirschig: *μήν γ᾽ Γ*[ac], lm. sch. *Γ*: *μέν γ᾽* cett. *ϲοὐϲτὶν* V: *ποῦ ᾽ϲτιν;* cett. 483 *ταὐτὰ* B[pc]: om. *Γ*: *ταῦτα* cett. *ξυνωμότην* Cobet, Hirschig: *ξυνωμόταϲ* codd. praeter R, qui compendium ambiguum praebet 484 *ἆρ᾽* R: *ἆρά γ᾽* cett. *μου ΓΒ* s.l.: *μοι* cett. 485 *τοι* Platnauer: *μοι* codd.: *καὶ* MacDowell 487 suppl. Hermann (om. etiam P10): ⟨*ἐξ*⟩*εϲτάληϲ* Meineke 488 *ὑμῖν* V*Γ*L: *ἡμῖν* RVp3 496 *ταῖϲ*] *τιϲ* Brunck 501 *ὅτι*] *ὅτε* Dindorf 504 *ὅτι* Su. *ει* 68 cod. A: *ὁτιὴ* cett., Su. *ο* 581 505 *ὀρθρο-* Grynaeus: *ὀρθο-* codd., Su. utrubique

ταῦτα δρᾶν ξυνωμότης ὢν καὶ φρονῶν τυραννικά.
Φι. νὴ Δί' ἐν δίκῃ γ'· ἐγὼ γὰρ οὐδ' ἂν ὀρνίθων γάλα
ἀντὶ τοῦ βίου λάβοιμ' ἂν οὗ με νῦν ἀποστερεῖϲ·
οὐδὲ χαίρω βατίϲιν οὐδ' ἐγχέλεϲιν, ἀλλ' ἥδιον ἂν
δικίδιον ϲμικρὸν φάγοιμ' ἂν ἐν λοπάδι πεπνιγμένον.
Βδ. νὴ Δί', εἰθίϲθηϲ γὰρ ἥδεϲθαι τοιούτοιϲ πράγμαϲιν·
ἀλλ' ἐὰν ϲιγῶν ἀνάϲχῃ καὶ μάθῃϲ ἁγὼ λέγω,
ἀναδιδάξειν οἴομαί ϲ' ὡϲ πάντα ταῦθ' ἁμαρτάνειϲ.
Φι. ἐξαμαρτάνω δικάζων;
Βδ. καταγελώμενοϲ μὲν οὖν
οὐκ ἐπαΐειϲ ὑπ' ἀνδρῶν, οὓϲ ϲὺ μόνον οὐ προϲκυνεῖϲ.
ἀλλὰ δουλεύων λέληθαϲ.
Φι. παῦε δουλείαν λέγων,
ὅϲτιϲ ἄρχω τῶν ἁπάντων.
Βδ. οὐ ϲύ γ', ἀλλ' ὑπηρετεῖϲ
οἰόμενοϲ ἄρχειν· ἐπεὶ δίδαξον ἡμᾶϲ, ὦ πάτερ,
ἥτιϲ ἡ τιμή 'ϲτί ϲοι καρπουμένῳ τὴν Ἑλλάδα.
Φι. πάνυ γε, καὶ τούτοιϲί γ' ἐπιτρέψαι 'θέλω.
Βδ. καὶ μὴν ἐγώ.
ἄφετέ νυν ἅπαντεϲ αὐτόν.
Φι. καὶ ξίφοϲ γέ μοι δότε.
ἢν γὰρ ἡττηθῶ λέγων ϲου, περιπεϲοῦμαι τῷ ξίφει.
Βδ. εἰπέ μοι, τί δ' ἤν, τὸ δεῖνα, τῇ διαίτῃ μὴ 'μμένῃϲ;
Φι. μηδέποτε πίοιμ' ἄκρατον μιϲθὸν ἀγαθοῦ δαίμονοϲ.

Χο. νῦν δὴ τὸν ἐκ θἠμετέρου [ϲτρ.
γυμναϲίου δεῖ τι λέγειν
καινόν, ὅπωϲ φανήϲει—
Βδ. ἐνεγκάτω μοι δεῦρο τὴν κίϲτην τιϲ ὡϲ τάχιϲτα.
ἀτὰρ φανεῖ ποῖόϲ τιϲ ὤν, εἰ ταῦτα παρακελεύει;

507 τυραννικά P10, V, Su. ει 68: τυραννίδα cett. 510 ἐγχέλεϲιν Athenaeus 299 B, Zonaras, *Anecd. Paris.* 4.246. 28: -λιϲιν vel -λυϲιν codd., Su. 522–3 post 525 transp. Halbertsma 525 ἄκρατον Richter: ἀκράτου codd. 526 δὴ Vp3, Porson: δὲ cett. 527 δεῖ τι λέγειν Bentley: λέγειν τι δεῖ codd. 530 εἰ ... παρακελεύει Srebrny: ἢν ... παρακελεύῃ codd. ταῦτα L: ταῦτ' αὐτὰ cett.

Χο. μὴ κατὰ τὸν νεανίαν
τονδὶ λέγων. ὁρᾷϲ γὰρ ὥϲ
ϲοι μέγαϲ ἔϲτ' ἀγὼν ⟨νῦν⟩
καὶ περὶ τῶν ἁπάντων.
εἰ γάρ, ὃ μὴ γένοιθ', οὗ-
τόϲ ϲε λέγων κρατήϲει—
Βδ. καὶ μὴν ὅϲ' ἂν λέξῃ γ' ἁπλῶϲ μνημόϲυνα γράψομαι 'γώ.
Φι. τί γὰρ φάθ' ὑμεῖϲ, ἢν ὁδί με τῷ λόγῳ κρατήϲῃ;
Χο. οὐκέτι πρεϲβυτῶν ὄχλοϲ
χρήϲιμόϲ ἐϲτ' οὐδ' ἀκαρῆ·
ϲκωπτόμενοι δ' ἐν ταῖϲ ὁδοῖϲ
θαλλοφόροι καλούμεθ', ἀντ-
ωμοϲιῶν κελύφη.

ἀλλ', ὦ περὶ τῆϲ πάϲηϲ μέλλων βαϲιλείαϲ ἀντιλογήϲειν
τῆϲ ἡμετέραϲ, νυνὶ θαρρῶν πᾶϲαν γλῶτταν βαϲάνιζε.
Φι. καὶ μὴν εὐθύϲ γ' ἀπὸ βαλβίδων περὶ τῆϲ ἀρχῆϲ ἀποδείξω
τῆϲ ἡμετέραϲ ὡϲ οὐδεμιᾶϲ ἥττων ἐϲτὶν βαϲιλείαϲ.
τί γὰρ εὔδαιμον καὶ μακαριϲτὸν μᾶλλον νῦν ἐϲτι δικαϲτοῦ,
ἢ τρυφερώτερον ἢ δεινότερον ζῷον, καὶ ταῦτα γέροντοϲ;
ὃν πρῶτα μὲν ἕρποντ' ἐξ εὐνῆϲ τηροῦϲ' ἐπὶ τοῖϲι δρυφάκτοιϲ
ἄνδρεϲ μεγάλοι καὶ τετραπήχειϲ· κᾆπειτ' εὐθὺϲ προϲιόντι

532 τονδὶ Bentley: τόνδε codd. 533 ἔϲτ'] ἐϲτιν L ἀγὼν ⟨νῦν⟩ Bentley: ἀγὼν codd.: ἀγών Elmsley 535 εἰ γάρ Sommerstein, puncto post ἁπάντων posito: εἴπερ codd. γένοιθ' Bentley: γένοιτο νῦν codd. 535–6 οὗτοϲ Bentley: νῦν οὗτοϲ codd. 536 ϲε λέγων κρατήϲει Blaydes: ἐθέλει κρατῆϲαι codd.: ϲ' ἔθ' ἕλοι κρατήϲαϲ Starkie 538 γράψομαι 'γώ L: -μ' ἐγώ cett. 542 δ' Porson: δ' ἂν fere codd. (γὰρ ἂν L) ταῖϲ] ταῖϲιν RVL ὁδοῖϲ Porson: ὁδοῖϲ ἁπάϲαιϲ codd. 544 καλούμεθ' Porson: καλοίμεθ' codd. 550 καὶ Porson: ἢ καὶ codd. 553 προϲιόντι] προϲιών τιϲ Fl. Christianus

ἐμβάλλει τις τὴν χεῖρ' ἀπαλὴν τῶν δημοσίων κεκλοφυῖαν·
ἱκετεύουσίν θ' ὑποκύπτοντες τὴν φωνὴν οἰκτροχοοῦντες·
"οἴκτιρόν μ', ὦ πάτερ, αἰτοῦμαί ϲ', εἰ καὐτὸς πώποθ' ὑφείλου
ἀρχὴν ἄρξας ἢ 'πὶ στρατιᾶς τοῖς ξυσσίτοις ἀγοράζων."
ὃς ἔμ' οὐδ' ἂν ζῶντ' ᾔδειν, εἰ μὴ διὰ τὴν προτέραν ἀπόφευξιν.
Βδ. τουτὶ περὶ τῶν ἀντιβολούντων ἔστω τὸ μνημόσυνόν μοι.
Φι. εἶτ' εἰσελθὼν ἀντιβοληθεὶς καὶ τὴν ὀργὴν ἀπομορχθεὶς
ἔνδον τούτων ὧν ἂν φάσκω πάντων οὐδὲν πεποίηκα,
ἀλλ' ἀκροῶμαι πάσας φωνὰς ἱέντων εἰς ἀπόφευξιν.
φέρ' ἴδω, τί γὰρ οὐκ ἔστιν ἀκοῦσαι θώπευμ' ἐνταῦθα δικαστῇ;
οἱ μέν γ' ἀποκλάονται πενίαν αὑτῶν, καὶ προστιθέασιν
κακὰ πρὸς τοῖς οὖσι ⟨κακοῖσιν⟩, ἕως ἂν ἰσωθῇ τοῖσιν ἐμοῖσιν·
οἱ δὲ λέγουσιν μύθους ἡμῖν, οἱ δ' Αἰσώπου τι γέλοιον·
οἱ δὲ σκώπτουσ', ἵν' ἐγὼ γελάσω καὶ τὸν θυμὸν καταθῶμαι.
κἂν μὴ τούτοις ἀναπειθώμεσθα, τὰ παιδάρι' εὐθὺς ἀνέλκει
τὰς θηλείας καὶ τοὺς υἱεῖς τῆς χειρός, ἐγὼ δ' ἀκροῶμαι,

554 τις Blaydes: μοι codd. 555 ὑποκύπτοντες] ὑποπίπτοντες R οἰκτρογοοῦντες] οἰκτο- Blaydes 558 ἀπόφευξιν H, Bentley: -φυξιν cett. 562 ἀπόφευξιν] -φυξιν V 565 ⟨κακοῖσιν⟩, ἕως ἂν ἰσωθῇ Blaydes, duce Erfurdt: ἕως ἀνιὼν ἀνισώσῃ V: ἕως ἂν ἰσώσῃ cett.: alii alia, ex. gr. ἕως ἂν ἰὼν ἀνισώσῃ Paley, ἕως ἄν πως ἀνισῶσιν Platnauer

τὰ δὲ cυγκύψανθ' ἅμα βληχᾶται· κἄπειθ' ὁ πατὴρ ὑπὲρ αὐτῶν
ὥcπερ θεὸν ἀντιβολεῖ με τρέμων τῆς εὐθύνηc ἀπολῦcαι·
"εἰ μὲν χαίρειc ἀρνὸc φωνῇ, παιδὸc φωνὴν ἐλεήcαιc·"
εἰ δ' αὖ τοῖc χοιριδίοιc χαίρω, θυγατρὸc φωνῇ με πιθέcθαι.
χἡμεῖc αὐτῷ τότε τῆc ὀργῆc ὀλίγον τὸν κόλλοπ' ἀνεῖμεν.
ἆρ' οὐ μεγάλη τοῦτ' ἔcτ' ἀρχὴ καὶ τοῦ πλούτου καταχήνη;

Βδ. δεύτερον αὖ cου τουτὶ γράφομαι, τὴν τοῦ πλούτου καταχήνην·
καὶ τἀγαθά μοι μέμνηc' ἄχειc φάcκων τῆc Ἑλλάδοc ἄρχειν.

Φι. παίδων τοίνυν δοκιμαζομένων αἰδοῖα πάρεcτι θεᾶcθαι.
κἂν Οἴαγροc εἰcέλθῃ φεύγων, οὐκ ἀποφεύγει πρὶν ἂν ἡμῖν
ἐκ τῆc Νιόβηc εἴπῃ ῥῆcιν τὴν καλλίcτην ἀπολέξαc.
κἂν αὐλητήc γε δίκην νικᾷ, ταύτηc ἡμῖν ἐπίχειρα
ἐν φορβειᾷ τοῖcι δικαcταῖc ἔξοδον ηὔληc' ἀπιοῦcι.
κἂν ἀποθνῄcκων ὁ πατήρ τῳ δῷ καταλείπων παῖδ' ἐπίκληρον,
κλαίειν ἡμεῖc μακρὰ τὴν κεφαλὴν εἰπόντεc τῇ διαθήκῃ
καὶ τῇ κόγχῃ τῇ πάνυ cεμνῶc τοῖc cημείοιcιν ἐπούcῃ,
ἔδομεν ταύτην ὅcτιc ἂν ἡμᾶc ἀντιβολήcαc ἀναπείcῃ.
καὶ ταῦτ' ἀνυπεύθυνοι δρῶμεν· τῶν δ' ἄλλων οὐδεμί' ἀρχή.

570 cυγκύψαντ' (sic) V: cυγκηψαντ' P10: cυγκύπτοντ' (vel -νθ') cett. ἅμα] ἀπο- P10, V: ἀμ- Bergk 572 φωνῇ codd. et P10: ψωλῇ E. L. Bowie 573 αὖ τοῖc Fl. Christianus: αὐτοῖc codd. 576 γράφομαι P10, Brunck: γράψομαι codd. 577 μέμνηc'] μίμνηcχ' Blaydes ἄχειc LVp3: ἄχριc RVΓ: [P10] ἄχειc φάcκων] ἄχων φάcκειc Blaydes 583 καταλείπων B: -λιπὼν cett.

Βδ. τουτὶ γάρ τοι ϲεμνόν· τούτων ὧν εἴρηκαϲ μακαρίζω·
τῆϲ δ' ἐπικλήρου τὴν διαθήκην ἀδικεῖϲ ἀνακογχυλιάζων.
Φι. ἔτι δ' ἡ βουλὴ χὠ δῆμοϲ, ὅταν κρῖναι μέγα πρᾶγμ' ἀπορήϲῃ,
ἐψήφιϲται τοὺϲ ἀδικοῦνταϲ τοῖϲι δικαϲταῖϲ παραδοῦναι·
εἶτ' Εὔαθλοϲ χὠ μέγαϲ οὗτοϲ Κολακώνυμοϲ ἀϲπιδαποβλὴϲ
οὐχὶ προδώϲειν ἡμᾶϲ φαϲιν, περὶ τοῦ πλήθουϲ δὲ μαχεῖϲθαι.
κἀν τῷ δήμῳ γνώμην οὐδεὶϲ πώποτ' ἐνίκηϲεν, ἐὰν μὴ
εἴπῃ τὰ δικαϲτήρι' ἀφεῖναι πρώτιϲτα μίαν δικάϲανταϲ·
αὐτὸϲ δὲ Κλέων ὁ κεκραξιδάμαϲ μόνον ἡμᾶϲ οὐ περιτρώγει,
ἀλλὰ φυλάττει διὰ χειρὸϲ ἔχων καὶ τὰϲ μυίαϲ ἀπαμύνει.
ϲὺ δὲ τὸν πατέρ' οὐδ' ὁτιοῦν τούτων τὸν ϲαυτοῦ πώποτ' ἔδραϲαϲ.
ἀλλὰ Θέωροϲ—καίτοὐϲτὶν ἀνὴρ Εὐφημίδου οὐδὲν ἐλάττων—
τὸν ϲπόγγον ἔχων ἐκ τῆϲ λεκάνηϲ τἀμβάδι' ἡμῶν περικωνεῖ.
ϲκέψαι μ' ἀπὸ τῶν ἀγαθῶν οἵων ἀποκλήειϲ καὶ κατερύκειϲ,
ἣν δουλείαν οὖϲαν ἔφαϲκεϲ καὶ ὑπηρεϲίαν ἀποδείξειν.
Βδ. ἔμπληϲο λέγων· πάντωϲ γάρ τοι παύϲει ποτὲ κἀναφανήϲει

588 *ϲεμνόν*] *ϲε μόνον* Reiske, puncto deleto *τούτων* ⟨*ϲ'*⟩ *ὧν* Wilson 592 *ἀϲπιδαποβλὴϲ* Bachmann: *ἀ-* codd. 593 *ἡμᾶϲ*] *ὑμᾶϲ* Kuster *φαϲιν* Daubuz, Bentley: *φαϲι* vel *φηϲι* codd. 596 *δὲ* V: *δ' ὁ* cett. *μόνον* Fl. Christianus: *μόνουϲ* codd. 599 *Εὐφημίδου* Meineke: *-μίου* codd.: *-μου γ'* Blaydes 601 *μ'* V: *δ'* cett. *ἀπὸ . . . οἵων*] *ἀφ' ὅϲων ἀγαθῶν οἵων* ⟨*τ'*⟩ Blaydes

πρωκτὸc λουτροῦ περιγιγνόμενοc τῆc ἀρχῆc τῆc περιcέμνου.

Φι. ὃ δέ γ' ἥδιcτον τούτων ἐcτὶν πάντων, οὗ 'γὼ 'πελελήcμην,
ὅταν οἴκαδ' ἴω τὸν μιcθὸν ἔχων, κᾆπειθ' ἥκονθ' ἅμα πάντεc
ἀcπάζωνται διὰ τἀργύριον, καὶ πρῶτα μὲν ἡ θυγάτηρ με
ἀπονίζῃ καὶ τὼ πόδ' ἀλείφῃ καὶ προcκύψαcα φιλήcῃ
καὶ παππίζουc' ἅμα τῇ γλώττῃ τὸ τριώβολον ἐκκαλαμᾶται,
καὶ τὸ γύναιόν μ' ὑποθωπεῦcαν φυcτὴν μᾶζαν προcενέγκῃ,
κᾆπειτα καθεζομένη παρ' ἐμοὶ προcαναγκάζῃ, "φάγε τουτί,
ἔντραγε τουτί." τούτοιcιν ἐγὼ γάνυμαι, κοὐ μή με δεήcῃ
εἰc cὲ βλέψαι καὶ τὸν ταμίαν, ὁπότ' ἄριcτον παραθήcει
καταραcάμενοc καὶ τονθορύcαc· ἀλλ' ἢν μή μοι ταχὺ μάξῃ,
τάδε κέκτημαι πρόβλημα κακῶν, cκευὴν βελέων ἀλεωρήν.
κἂν οἶνόν μοι μὴ 'γχῇc cὺ πιεῖν, τὸν ὄνον τόνδ' εἰcκεκόμιcμαι
οἴνου μεcτόν, κᾆτ' ἐγχέομαι κλίναc· οὗτοc δὲ κεχηνὼc
βρωμηcάμενοc τοῦ cοῦ δίνου μέγα καὶ cτράτιον κατέπαρδεν.
ἆρ' οὐ μεγάλην ἀρχὴν ἄρχω καὶ τοῦ Διὸc οὐδὲν ἐλάττω,
ὅcτιc ἀκούω ταὔθ' ἅπερ ὁ Ζεύc;

604 περιγιγνόμενοc Brunck: περιγιν- codd. 605 'πελελήcμην Blaydes: 'πιλελήcμην codd. 606 κᾆπειθ'] κᾆθ' (sic) V ἥκονθ' B: εἰcήκονθ' cett. 609 παππίζουc' V, Su. ε 341: παππάζουc' cett. τὸ B: om. cett. et Su. 612 τούτοιcιν V: τοῖcιν cett.: [P10] 614 ἀλλ' ἢν P10, Γ: ἄλλην cett. 620 ταὔθ' Dindorf: ταῦθ' codd.

ἦν γοῦν ἡμεῖϲ θορυβήϲωμεν,
πᾶϲ τίϲ φηϲιν τῶν παριόντων,
"οἷον βροντᾷ τὸ δικαϲτήριον,
ὦ Ζεῦ βαϲιλεῦ."
κἂν ἀϲτράψω, ποππύζουϲιν
κἀγκεχόδαϲίν μ' οἱ πλουτοῦντεϲ
καὶ πάνυ ϲεμνοί.
καὶ ϲὺ δέδοικάϲ με μάλιϲτ' αὐτόϲ·
νὴ τὴν Δήμητρα δέδοικαϲ. ἐγὼ δ'
ἀπολοίμην εἰ ϲὲ δέδοικα.

Χο. οὐπώποθ' οὕτω καθαρῶϲ [ἀντ.
οὐδενὸϲ ἠκούϲαμεν οὐ-
δὲ ξυνετῶϲ λέγοντοϲ.
Φι. οὔκ, ἀλλ' ἐρήμαϲ ᾤεθ' οὕτω ῥᾳδίωϲ τρυγήϲειν.
καλῶϲ γὰρ ᾔδειν ὡϲ ἐγὼ ταύτῃ κράτιϲτόϲ εἰμι.
Χο. ὡϲ δ' ἐπὶ πάντ' ἐλήλυθεν
κοὐδὲν παρῆλθεν, ὥϲτ' ἔγωγ'
ηὐξανόμην ἀκούων,
κἂν μακάρων δικάζειν
αὐτὸϲ ἔδοξα νήϲοιϲ,
ἡδόμενοϲ λέγοντι.
Φι. ὥϲθ' οὗτοϲ ἤδη ϲκορδινᾶται κἄϲτιν οὐκ ἐν αὑτοῦ.
ἦ μὴν ἐγώ ϲε τήμερον ϲκύτη βλέπειν ποιήϲω.
Χο. δεῖ δέ ϲε παντοίαϲ πλέκειν
εἰϲ ἀπόφευξιν παλάμαϲ·
τὴν γὰρ ἐμὴν ὀργὴν πεπᾶ-
ναι χαλεπὸν ⟨νεανίᾳ⟩
μὴ πρὸϲ ἐμοῦ λέγοντι.

πρὸϲ ταῦτα μύλην ἀγαθὴν ὥρα ζητεῖν ϲοι καὶ
νεόκοπτον,

623 φηϲιν P10, RL: φηϲι cett. 630 εἰ ϲὲ Blaydes: εἴ ϲε codd. 634 οὕτω] οὗτοϲ Dawes 636 δ' . . . ἐλήλυθεν Porson: δὲ πάντ' ἐπελήλυθεν codd. 642 ὡϲ Dindorf: ὥϲθ' codd.: ὡϲ δ' Hirschig 646 suppl. Porson

ἣν μή τι λέγῃϲ, ἥτιϲ δυνατὴ τὸν ἐμὸν θυμὸν κατερεῖξαι.
Βδ. χαλεπὸν μὲν καὶ δεινῆϲ γνώμηϲ καὶ μείζονοϲ ἢ 'πὶ τρυγῳδοῖϲ
ἰάϲαϲθαι νόϲον ἀρχαίαν ἐν τῇ πόλει ἐντετακυῖαν.
ἀτάρ, ὦ πάτερ ἡμέτερε Κρονίδη—
Φι. παῦϲαι καὶ μὴ πατέριζε.
εἰ μὴ γὰρ ὅπωϲ δουλεύω 'γώ, τουτὶ ταχέωϲ με διδάξειϲ,
οὐκ ἔϲτιν ὅπωϲ οὐχὶ τεθνήξειϲ, κἂν χρῇ ϲπλάγχνων μ' ἀπέχεϲθαι.
Βδ. ἀκρόαϲαί νυν, ὦ παππίδιον, χαλάϲαϲ ὀλίγον τὸ μέτωπον·
καὶ πρῶτον μὲν λόγιϲαι φαύλωϲ, μὴ ψήφοιϲ ἀλλ' ἀπὸ χειρόϲ,
τὸν φόρον ἡμῖν ἀπὸ τῶν πόλεων ϲυλλήβδην τὸν προϲιόντα·
κἄξω τούτου τὰ τέλη χωρὶϲ καὶ τὰϲ πολλὰϲ ἑκατοϲτάϲ,
πρυτανεῖα, μέταλλ', ἀγοράϲ, λιμέναϲ, μιϲθώϲειϲ, δημιόπρατα·
τούτων πλήρωμα τάλαντ' ἐγγὺϲ διϲχίλια γίγνεται ἡμῖν.
ἀπὸ τούτου νυν κατάθεϲ μιϲθὸν τοῖϲι δικαϲταῖϲ ἐνιαυτοῦ
ἓξ χιλιάϲιν—κοὔπω πλείουϲ ἐν τῇ χώρᾳ κατέναϲθεν—,
γίγνεται ἡμῖν ἑκατὸν δήπου καὶ πεντήκοντα τάλαντα.
Φι. οὐδ' ἡ δεκάτη τῶν προϲιόντων ἡμῖν ἄρ' ἐγίγνεθ' ὁ μιϲθόϲ.
Βδ. μὰ Δί' οὐ μέντοι.
Φι. καὶ ποῖ τρέπεται δὴ 'πειτα τὰ χρήματα τἆλλα;

651 ἐντετακυῖαν Reiske: ἐντετοκυῖαν codd. 654 τεθνήξειϲ Elmsley: -ήξει B: -ήξῃ sch. L: -ήϲει cett. 659 μιϲθώϲειϲ Bergk: μιϲθοὺϲ RVΓ, Su. π 2997: μιϲθοὺϲ καὶ cett. 661 τούτου RΓ: τούτων cett. ἐνιαυτοῦ Bentley: τοῦ 'νιαυτοῦ codd. 663 ἡμῖν] ὑμῖν Bentley 665–6 personarum vices distinxit Elmsley

Βδ. εἰϲ τούτουϲ τοὺϲ "οὐχὶ προδώϲω τὸν Ἀθηναίων κολοϲυρτόν,
ἀλλὰ μαχοῦμαι περὶ τοῦ πλήθουϲ ἀεί." ϲὺ γάρ, ὦ πάτερ, αὐτοὺϲ
ἄρχειν αἱρεῖ ϲαυτοῦ τούτοιϲ τοῖϲ ῥηματίοιϲ περιπεφθείϲ.
κᾆθ' οὗτοι μὲν δωροδοκοῦϲιν κατὰ πεντήκοντα τάλαντα
ἀπὸ τῶν πόλεων ἐπαπειλοῦντεϲ τοιαυτὶ κἀναφοβοῦντεϲ,
"δώϲετε τὸν φόρον, ἢ βροντήϲαϲ τὴν πόλιν ὑμῶν ἀνατρέψω."
ϲὺ δὲ τῆϲ ἀρχῆϲ ἀγαπᾷϲ τῆϲ ϲῆϲ τοὺϲ ἀργελόφουϲ περιτρώγων.
οἱ δὲ ξύμμαχοι, ὡϲ ᾔϲθηνται τὸν μὲν ϲύρφακα τὸν ἄλλον
ἐκ κηθαρίου λαγαριζόμενον καὶ τραγαλίζοντα τὸ μηδέν,
ϲὲ μὲν ἡγοῦνται Κόννου ψῆφον, τούτοιϲι δὲ δωροφοροῦϲιν
ὕρχαϲ, οἶνον, δάπιδαϲ, τυρόν, μέλι, ϲήϲαμα, προϲκεφάλαια,
φιάλαϲ, χλανίδαϲ, ϲτεφάνουϲ, ὅρμουϲ, ἐκπώματα, πλουθυγίειαν·
ϲοὶ δ' ὧν ἄρχειϲ, πολλὰ μὲν ἐν γῇ, πολλὰ δ' ἐφ' ὑγρᾷ πιτυλεύϲαϲ,
οὐδεὶϲ οὐδὲ ϲκορόδου κεφαλὴν τοῖϲ ἑψητοῖϲι δίδωϲιν.

Φι. μὰ Δί', ἀλλὰ παρ' Εὐχαρίδου καὐτὸϲ τρεῖϲ γ' ἄγλιθαϲ μετέπεμψα.

668 περιπεφθείϲ L, Su. π 1246: -πεμφθείϲ cett. 670 ἐπαπειλοῦντεϲ] ὑπαπ- V 673 ᾔϲθηνται V: -ντο cett. 674 λαγαριζόμενον Su. λ 12, η 589 cod. M, λ 14 codd. FV, lm. sch., CVp3: λαγαρυζ- cett. 675 δωροφοροῦϲιν V: δωροδοκοῦϲιν cett. 678 ϲοὶ Fl. Christianus: ϲὺ codd. 680 καὐτὸϲ] κἀχθὲϲ Zacher γ' RVΓ: om. cett.

ἀλλ' αὐτήν μοι τὴν δουλείαν οὐκ ἀποφαίνων ἀποκναίεις.
Βδ. οὐ γὰρ μεγάλη δουλεία 'cτὶν τούτους μὲν ἅπαντας ἐν ἀρχαῖc
αὐτούc τ' εἶναι καὶ τοὺc κόλακας τοὺc τούτων μιcθοφοροῦντας;
coὶ δ' ἤν τις δῷ τοὺc τρεῖc ὀβολούc, ἀγαπᾷc· οὓc αὐτὸc ἐλαύνων
καὶ πεζομαχῶν καὶ πολιορκῶν ἐκτήcω πολλὰ πονήcαc.
καὶ πρὸc τούτοιc ἐπιταττόμενοc φοιτᾷc, ὃ μάλιcτά μ' ἀπάγχει,
ὅταν εἰcελθὸν μειράκιόν coι κατάπυγον, Χαιρέου υἱόc,
ὡδὶ διαβάc, διακινηθεὶc τῷ cώματι καὶ τρυφερανθείc,
ἥκειν εἴπῃ πρῴ κἀν ὥρᾳ δικάcονθ', "ὡc ὅcτιc ἂν ὑμῶν
ὕcτεροc ἔλθῃ τοῦ cημείου, τὸ τριώβολον οὐ κομιεῖται·"
αὐτὸc δὲ φέρει τὸ cυνηγορικόν, δραχμήν, κἂν ὕcτεροc ἔλθῃ·
καὶ κοινωνῶν τῶν ἀρχόντων ἑτέρῳ τινὶ τῶν μεθ' ἑαυτοῦ,
ἤν τίc τι διδῷ τῶν φευγόντων, ξυνθέντε τὸ πρᾶγμα δύ' ὄντε
ἐcπουδάκατον, κᾆθ' ὡc πρίονθ' ὁ μὲν ἕλκει ὁ δ' ἀντενέδωκε·
cὺ δὲ χαcκάζειc τὸν κωλακρέτην, τὸ δὲ πραττόμενόν cε λέληθεν.
Φι. ταυτί με ποιοῦc'; οἴμοι, τί λέγειc; ὥc μου τὸν θῖνα ταράττειc,
καὶ τὸν νοῦν μου προcάγει μᾶλλον, κοὐκ οἶδ' ὅ τι χρῆμά με ποιεῖc.

684 coὶ] coῦ V  οὓc] οἷc R  688 τρυφερανθείc] τρυφερωθείc ΓB$^{2}$  694 πρίονθ' Reisig: πρίον' RV: πρίονεc Γ: πρίων L  ἀντενέδωκεν H, Dobree: ἀνταν- cett.  697 προcάγει Blaydes: προcάγειc fere codd.: προάγειc G

*Βδ.* σκέψαι τοίνυν ὡς, ἐξόν σοι πλουτεῖν καὶ τοῖσιν ἅπασιν,
ὑπὸ τῶν ἀεὶ δημιζόντων οὐκ οἶδ' ὅπῃ ἐγκεκύκλησαι,
ὅστις πόλεων ἄρχων πλείστων ἀπὸ τοῦ Πόντου μέχρι Cαρδοῦς
οὐκ ἀπολαύεις πλὴν τοῦθ' ὃ φέρεις ἀκαρῆ· καὶ τοῦτ' ἐρίῳ σοι
ἐνστάζουσιν κατὰ μικρὸν ἀεὶ τοῦ ζῆν ἕνεχ' ὥσπερ ἔλαιον.
βούλονται γάρ σε πένητ' εἶναι· καὶ τοῦθ' ὧν οὕνεκ' ἐρῶ σοι·
ἵνα γιγνώσκῃς τὸν τιθασευτήν, κᾆθ' ὅταν οὗτός σ' ἐπισίζῃ
ἐπὶ τῶν ἐχθρῶν τιν' ἐπιρρύξας, ἀγρίως αὐτοῖς ἐπιπηδᾷς.
εἰ γὰρ ἐβούλοντο βίον πορίσαι τῷ δήμῳ, ῥᾴδιον ἦν ἄν.
εἰσίν γε πόλεις χίλιαι αἳ νῦν τὸν φόρον ἡμῖν ἀπάγουσι·
τούτων εἴκοσιν ἄνδρας βόσκειν εἴ τις προσέταξεν ἑκάστῃ,
δύο μυριάδ' ἂν τῶν δημοτικῶν ἔζων ἐν πᾶσι λαγῴοις
καὶ στεφάνοισιν παντοδαποῖσιν καὶ πυῷ καὶ πυριάτῃ,
ἄξια τῆς γῆς ἀπολαύοντες καὶ τοῦ 'ν Μαραθῶνι τροπαίου.
νῦν δ' ὥσπερ ἐλαολόγοι χωρεῖθ' ἅμα τῷ τὸν μισθὸν ἔχοντι.

*Φι.* οἴμοι, τί πέπονθ'; ὡς νάρκη μου κατὰ τῆς χειρὸς καταχεῖται,

698 *καὶ τοῖσιν*] *ἀγαθοῖσιν* Bentley: *κἀστοῖσιν* Meineke 699 *ὅπῃ* Su. *α* 801, *ε* 88: *ὅποι* codd. 702 *ἔλαιον* V, Su. *α* 801: *ἄλευρον* cett. 703 *τοῦθ' ὧν* Bentley: *τούτων* codd. *οὕνεκα* Brunck: *εἵ-* codd. 704 *τιθασευτήν* L: *τιθασσ-* cett. *σ'* Meineke: *γ'* codd. *ἐπισίζῃ* RLVp3: *-ίξῃ* V*Γ* 709 *μυριάδ' ἂν* Dobree: *μυριάδες* codd. 711 *τοῦ 'ν*] *τοῦ* Bentley 712 *ἐλαολόγοι* V, Su. *ε* 742: *ἐλαιο-* cett., *-λόχοι* R 713 *πέπονθ'* Su. *ν* 38: *ποθ'* codd. *ὡς* Kuster: *ὥσπερ* codd., Su.

καὶ τὸ ξίφος οὐ δύναμαι κατέχειν, ἀλλ' ἤδη μαλθακός εἰμι.
Βδ. ἀλλ' ὁπόταν μὲν δείςως' αὐτοί, τὴν Εὔβοιαν διδόαςιν
ὑμῖν, καὶ ςῖτον ὑφίςτανται κατὰ πεντήκοντα μεδίμνους
ποριεῖν· ἔδοςαν δ' οὐπώποτέ ςοι· πλὴν πρῴην πέντε μεδίμνους,
καὶ ταῦτα μόλις ξενίας φεύγων, ἔλαβες κατὰ χοίνικα κριθῶν.
ὧν οὕνεκ' ἐγώ ς' ἀπέκλειον ἀεὶ
βόςκειν ἐθέλων καὶ μὴ τούτους
ἐγχάςκειν ςοι ςτομφάζοντας.
καὶ νῦν ἀτεχνῶς ἐθέλω παρέχειν
ὅ τι βούλει ςοι,
πλὴν κωλακρέτου γάλα πίνειν.
Χο. ἦ που ςοφὸς ἦν ὅςτις ἔφαςκεν, "πρὶν ἂν ἀμφοῖν μῦθον ἀκούςῃς,
οὐκ ἂν δικάςαις." ςὺ γὰρ οὖν νῦν μοι νικᾶν πολλῷ δεδόκηςαι·
ὥςτ' ἤδη τὴν ὀργὴν χαλάςας τοὺς ςκίπωνας καταβάλλω.
ἀλλ', ὦ τῆς ἡλικίας ἡμῖν τῆς αὐτῆς ςυνθιαςῶτα,

πιθοῦ πιθοῦ λόγοιςι, μηδ' ἄφρων γένῃ [ςτρ.
μηδ' ἀτενὴς ἄγαν ἀτεράμων τ' ἀνήρ.
εἴθ' ὤφελέν μοι κηδεμὼν ἢ ξυγγενὴς
εἶναί τις ὅςτις τοιαῦτ' ἐνουθέτει.
ςοὶ δὲ νῦν τις θεῶν παρὼν ἐμφανὴς
ξυλλαμβάνει τοῦ πράγματος, καὶ δῆλός ἐςτιν εὖ ποιῶν·
ςὺ δὲ παρὼν δέχου.

Βδ. καὶ μὴν θρέψω γ' αὐτὸν παρέχων
ὅςα πρεςβύτῃ ξύμφορα, χόνδρον

718 ἔλαβες sch. L: ἔλαβε(ν) codd. 719 οὕνεκα Brunck: εἵ- codd. 724 πλὴν L: πλὴν τοῦ cett., Su. κ 1929 734 ἐςτιν V: om. cett.: ἐςτί ς' Blaydes 735 παρὼν] πρόφρων Kock

λείχειν, χλαῖναν μαλακήν, cιcύραν,
πόρνην, ἥτις τὸ πέος τρίψει
καὶ τὴν ὀcφῦν.
ἀλλ' ὅτι cιγᾷ κοὐδὲν γρύζει,
τοῦτ' οὐ δύναταί με προcέcθαι.

Χο. νενουθέτηκεν αὐτὸν εἰc τὰ πράγμαθ', οἷc [ἀντ.
τότ' ἐπεμαίνετ'· ἔγνωκε γὰρ ἀρτίωc,
λογίζεταί τ' ἐκεῖνα πάνθ' ἁμαρτίαc
ἃ cοῦ κελεύοντοc οὐκ ἐπείθετο.
νῦν δ' ἴcωc τοῖcι cοῖc λόγοιc πείθεται,
καὶ cωφρονεῖ μέντοι μεθιcτὰc εἰc τὸ λοιπὸν τὸν τρόπον
πειθόμενόc τέ cοι.

Φι. ἰώ μοί μοι.
Βδ. οὗτοc, τί βοᾷc;
Φι. μή μοι τούτων μηδὲν ὑπιcχνοῦ.
κείνων ἔραμαι, κεῖθι γενοίμαν,
ἵν' ὁ κῆρύξ φηcι, "τίc ἀψήφιcτοc; ἀνιcτάcθω."
κἀπιcταίην ἐπὶ τοῖc κημοῖc
ψηφιζομένων ὁ τελευταῖοc.
cπεῦδ', ὦ ψυχή.—ποῦ μοι ψυχή;—
πάρεc, ὦ cκιερά—. μὰ τὸν Ἡρακλέα
μή νυν ἔτ' ἐγὼ 'ν τοῖcι δικαcταῖc
κλέπτοντα Κλέωνα λάβοιμι.

Βδ. ἴθ', ὦ πάτερ, πρὸc τῶν θεῶν ἐμοὶ πιθοῦ.
Φι. τί cοι πίθωμαι; λέγ' ὅ τι βούλει πλὴν ἑνόc.
Βδ. ποίου; φέρ' ἴδω.
Φι. τοῦ μὴ δικάζειν. τοῦτο δὲ
Ἅιδηc διακρινεῖ πρότερον ἢ 'γὼ πείcομαι.
Βδ. cὺ δ' οὖν, ἐπειδὴ τοῦτο κεχάρηκαc ποιῶν,
ἐκεῖcε μὲν μηκέτι βάδιζ', ἀλλ' ἐνθάδε
αὐτοῦ μένων δίκαζε τοῖcιν οἰκέταιc.

747 τοῖcι cοῖc Invernizi: τοῖc cοῖc L: τοῖc ἴcοιc cett.: [P10] 749 τε] γε Blaydes 750 τί P10, V: τί μοι cett. 758 ἐγὼ 'ν L: ἐγὼν ἐν cett. 761 πίθωμαι Tyrwhitt: πείθομαι codd.

Φι. περὶ τοῦ; τί ληρεῖϲ;
Βδ. ταὔθ' ἅπερ ἐκεῖ πράττεται·
ὅτι τὴν θύραν ἀνέῳξεν ἡ ϲηκὶϲ λάθρᾳ,
ταύτηϲ ἐπιβολὴν ψηφιεῖ μίαν μόνην.
πάντωϲ δὲ κἀκεῖ ταῦτ' ἔδραϲ ἑκάϲτοτε.
καὶ ταῦτα μὲν νῦν εὐλόγωϲ· ἢν ⟨δ'⟩ ἐξέχῃ
εἵλη, κατ' ὀρθὸν ἡλιάϲει πρὸϲ ἥλιον·
ἐὰν δὲ νείφῃ, πρὸϲ τὸ πῦρ καθήμενοϲ·
ὕοντοϲ εἴϲει· κἂν ἔγρῃ μεϲημβρινόϲ,
οὐδείϲ ϲ' ἀποκλῄϲει θεϲμοθέτηϲ τῇ κιγκλίδι.
Φι. τουτί μ' ἀρέϲκει.
Βδ. πρὸϲ δὲ τούτοιϲ γ', ἢν δίκην
λέγῃ μακράν τιϲ, οὐχὶ πεινῶν ἀναμενεῖϲ
δάκνων ϲεαυτὸν καὶ τὸν ἀπολογούμενον.
Φι. πῶϲ οὖν διαγιγνώϲκειν καλῶϲ δυνήϲομαι
ὥϲπερ πρότερον τὰ πράγματ' ἔτι μαϲώμενοϲ;
Βδ. πολλῷ γ' ἄμεινον· καὶ λέγεται γὰρ τουτογί,
ὡϲ οἱ δικαϲταὶ ψευδομένων τῶν μαρτύρων
μόλιϲ τὸ πρᾶγμ' ἔγνωϲαν ἀναμαϲώμενοι.
Φι. ἀνά τοί με πείθειϲ. ἀλλ' ἐκεῖν' οὔπω λέγειϲ,
τὸν μιϲθὸν ὁπόθεν λήψομαι.
Βδ. παρ' ἐμοῦ.
Φι. καλῶϲ,
ὁτιὴ κατ' ἐμαυτὸν κοὐ μεθ' ἑτέρου λήψομαι.
αἴϲχιϲτα γάρ τοί μ' ἠργάϲατο Λυϲίϲτρατοϲ
ὁ ϲκωπτόληϲ. δραχμὴν μετ' ἐμοῦ πρῴην λαβὼν
ἐλθὼν διεκερματίζετ' ἐν τοῖϲ ἰχθύϲιν,
κἄπειτ' ἐνέθηκε τρεῖϲ λοπίδαϲ μοι κεϲτρέων·

767 ταὔθ' Boissonade: ταῦθ' codd. πράττεται] πράττετε $Γ^2$
769 ταύτηϲ] ταύτῃ γ' Blaydes 770 δὲ] γε B 771 suppl. Starkie
772 εἵλη] ἕλῃ R ὀρθὸν v.l. ap. sch.: ὄρθρον codd., Su. ε 1684
775 οὐδείϲ ϲ' L: οὐδεὶϲ VΓ, Su. θ 266: οὐ δεῖ ϲ' R 787 ἠργάϲατο
Starkie: εἰργ- codd. 789 διεκερματίζετ' V: -άτιζέ μ' cett.
790 κἄπειτ' ἐνέθηκε Bergk: κἄπειθεν ἔθηκεν V: κἄπειτ' ἐπέθηκε RL:
κἄπειτ' ἀπέθηκε Γ: [P10]

κἀγὼ 'νέκαψ'· ὀβολοὺϲ γὰρ ᾠόμην λαβεῖν·
κᾆτα βδελυχθεὶϲ ὀϲφρόμενοϲ ἐξέπτυϲα·
κᾆθ' εἷλκον αὐτόν.
Βδ. ὁ δὲ τί πρὸϲ ταῦτ' εἶφ';
Φι. ὅ τι;
ἀλεκτρυόνοϲ μ' ἔφαϲκε κοιλίαν ἔχειν·
"ταχὺ γοῦν καθέψειϲ τἀργύριον," ἦ δ' ὃϲ λέγων.
Βδ. ὁρᾷϲ ὅϲον καὶ τοῦτο δῆτα κερδανεῖϲ.
Φι. οὐ πάνυ τι μικρόν. ἀλλ' ὅπερ μέλλειϲ ποίει.
Βδ. ἀνάμενέ νυν· ἐγὼ δὲ ταῦθ' ἥξω φέρων.
Φι. ὅρα τὸ χρῆμα, τὰ λόγι' ὡϲ περαίνεται.
ἠκηκόη γὰρ ὡϲ Ἀθηναῖοί ποτε
δικάϲοιεν ἐπὶ ταῖϲ οἰκίαιϲι τὰϲ δίκαϲ,
κἀν τοῖϲ προθύροιϲ ἐνοικοδομήϲει πᾶϲ ἀνὴρ
αὑτῷ δικαϲτηρίδιον μικρὸν πάνυ,
ὥϲπερ Ἑκατεῖον πανταχοῦ πρὸ τῶν θυρῶν.
Βδ. ἰδού. τί ἔτ' ἐρεῖϲ; ὡϲ ἅπαντ' ἐγὼ φέρω,
ὅϲαπέρ γ' ἔφαϲκον κἄτι πολλῷ πλείονα.
ἀμὶϲ μέν, ἢν οὐρητιάϲῃϲ, αὑτηὶ
παρά ϲοι κρεμήϲετ' ἐγγὺϲ ἐπὶ τοῦ παττάλου.
Φι. ϲοφόν γε τουτὶ καὶ γέροντι πρόϲφορον
ἐξηῦρεϲ ἀτεχνῶϲ φάρμακον ϲτραγγουρίαϲ.
Βδ. καὶ πῦρ γε τουτί· καὶ προϲέϲτηκεν φακῇ
ῥοφεῖν, ἐὰν δέῃ τι.
Φι. τοῦτ' αὖ δεξιόν·
κἂν γὰρ πυρέττω, τόν γε μιϲθὸν λήψομαι.
αὐτοῦ μένων γὰρ τὴν φακῆν ῥοφήϲομαι.
ἀτὰρ τί τὸν ὄρνιν ὡϲ ἔμ' ἐξηνέγκατε;

795 λέγων] γελῶν Tyrwhitt 798 ταῦθ'] πάνθ' Reiske 800 ἠκηκόη Brunck: -όειν codd. 802 ἐνοικοδομήϲει VL: ἀν- RΓ: [P10]: -ϲοι Dawes 804 Ἑκατεῖον v.l. ap. sch. in ed. Aldina (an Musuri coniectura?): Ἑκαταῖον codd. 806 γ' om. V 807 ἀμὶϲ scribendum auctore Aelio Dionysio monet Sommerstein; non amplius notatur 808 παρά ϲοι Blaydes: παρὰ ϲοὶ codd. 810 ἐξηῦρεϲ Meineke: ἐξεῦρεϲ codd., Su. α 1590

Βδ. ἵνα γ', ἢν καθεύδῃς ἀπολογουμένου τινός,
ᾄδων ἄνωθεν ἐξεγείρῃ c' οὑτοςί.
Φι. ἓν ἔτι ποθῶ, τὰ δ' ἄλλ' ἀρέςκει μοι.
Βδ. τὸ τί;
Φι. θήρῷον εἴ πως ἐκκομίςαις τὸ τοῦ Λύκου.
Βδ. πάρεςτι τουτί, καὐτὸς ἄναξ οὑτοςί.
Φι. ὦ δέςποθ' ἥρως, ὡς χαλεπὸς ἄρ' ἦςθ' ἰδεῖν.
Βδ. οἷόςπερ ἡμῖν φαίνεται Κλεώνυμος.
Φι. οὔκουν ἔχει γ' οὐδ' αὐτὸς ἥρως ὢν ὅπλα.
Βδ. εἰ θᾶττον ἐκαθίζου cύ, θᾶττον ἂν δίκην
ἐκάλουν.
Φι. κάλει νυν, ὡς κάθημ' ἐγὼ πάλαι.
Βδ. φέρε νυν, τίν' αὐτῷ πρῶτον εἰςαγάγω δίκην;
τί τις κακὸν δέδρακε τῶν ἐν τῳκίᾳ;
ἡ Θρᾷττα προςκαύςαςα πρῴην τὴν χύτραν—
Φι. ἐπίςχες, οὗτος· ὡς ὀλίγου μ' ἀπώλεςας.
ἄνευ δρυφάκτου τὴν δίκην μέλλεις καλεῖν,
ὃ πρῶτον ἡμῖν τῶν ἱερῶν ἐφαίνετο;
Βδ. μὰ τὸν Δί' οὐ πάρεςτιν.
Φι. ἀλλ' ἐγὼ δραμὼν
αὐτὸς κομιοῦμαι τό γε παραυτίκ' ἔνδοθεν.
Βδ. τί ποτε τὸ χρῆμ'; ὡς δεινὸν ἡ φιλοχωρία.
Ξα. βάλλ' ἐς κόρακας. τοιουτονὶ τρέφειν κύνα.
Βδ. τί δ' ἐςτὶν ἐτεόν;
Ξα. οὐ γὰρ ὁ Λάβης ἀρτίως,
ὁ κύων, παρᾴξας εἰς τὸν ἰπνὸν ἀναρπάςας
τροφαλίδα τυροῦ Cικελικὴν κατεδήδοκεν;
Βδ. τοῦτ' ἆρα πρῶτον τἀδίκημα τῷ πατρὶ
εἰςακτέον μοι· cὺ δὲ κατηγόρει παρών.
Ξα. μὰ Δί' οὐκ ἔγωγ', ἀλλ' ἅτερός φηςιν κύων

819 *ἐκκομίςαις τὸ*] *μοι κομίςαιο* Herodianus (*Anecd. Oxon.* 3.253.9) 821 *χαλεπὸς* B: *-ὸν* cett. *ἦςθ'*] *ἦν c'* Post 823 *αὐτὸς*] *οὗτος* Blaydes 826 *εἰςαγάγω*] *εἰςάγω* R 834 *φιλοχωρία*] *φιλοχοιρία* E. L. Bowie 837 *ἀναρπάςας* Dobree: *ἁρπάςας* codd.: *ὑφαρπάςας* Elmsley

κατηγορήϲειν, ἤν τις εἰϲάγῃ γραφήν.
Βδ. ἴθι νυν, ἄγ' αὐτὼ δεῦρο.
Ξα. ταῦτα χρὴ ποιεῖν.
Βδ. τουτὶ τί ἐϲτι;
Φι. χοιροκομεῖον Ἑϲτίαϲ.
Βδ. εἶθ' ἱεροϲυλήϲαϲ φέρειϲ;
Φι. οὔκ, ἀλλ' ἵνα
ἀφ' Ἑϲτίαϲ ἀρχόμενοϲ ἐπιτρίψω τινά.
ἀλλ' εἴϲαγ' ἀνύϲαϲ, ὡϲ ἐγὼ τιμᾶν βλέπω.
Βδ. φέρε νυν, ἐνέγκω τὰϲ ϲανίδαϲ καὶ τὰϲ γραφάϲ.
Φι. οἴμοι, διατρίβειϲ κἀπολεῖϲ τριψημερῶν·
ἐγὼ δ' ἀλοκίζειν ἐδεόμην τὸ χωρίον.
Βδ. ἰδού.
Φι. κάλει νυν.
Βδ. ταῦτα δή.
Φι. τίϲ οὑτοϲί
ὁ πρῶτόϲ ἐϲτιν; ἐϲ κόρακαϲ. ὡϲ ἄχθομαι
ὁτιὴ 'πελαθόμην τοὺϲ καδίϲκουϲ ἐκφέρειν.
Βδ. οὗτοϲ ϲύ, ποῖ θεῖϲ;
Φι. ἐπὶ καδίϲκουϲ.
Βδ. μηδαμῶϲ.
ἐγὼ γὰρ εἶχον τούϲδε τοὺϲ ἀρυϲτίχουϲ.
Φι. κάλλιϲτα τοίνυν. πάντα γὰρ πάρεϲτι νῷν
ὅϲων δεόμεθα, πλήν γε δὴ τῆϲ κλεψύδραϲ.
Βδ. ἡδὶ δὲ δὴ τίϲ ἐϲτιν; οὐχὶ κλεψύδρα;
Φι. εὖ γ' ἐκπορίζειϲ αὐτὰ κἀπιχωρίωϲ.
Βδ. ἀλλ' ὡϲ τάχιϲτα πῦρ τιϲ ἐξενεγκάτω
καὶ μυρρίναϲ καὶ τὸν λιβανωτὸν ἔνδοθεν,
ὅπωϲ ἂν εὐξώμεϲθα πρῶτα τοῖϲ θεοῖϲ.
Χο. καὶ μὴν ἡμεῖϲ ἐπὶ ταῖϲ ϲπονδαῖϲ
καὶ ταῖϲ εὐχαῖϲ

849 διατρίβειϲ RΓ: διατρίψειϲ cett. 851–60 personarum vices parum certae; ita distinxit E. L. Bowie 853 ὁτιὴ 'πελαθόμην Bergler: ὅτι ὑπελ- V: ὁτιὴ 'πιλ- cett. 858 τίϲ] τί Blaydes

φήμην ἀγαθὴν λέξομεν ὑμῖν,
ὅτι γενναίωϲ ἐκ τοῦ πολέμου
καὶ τοῦ νείκουϲ ξυνέβητον.

Βδ. εὐφημία μὲν πρῶτα νῦν ὑπαρχέτω. [ϲτρ.
Χο. ὦ Φοῖβ' Ἄπολλον Πύθι', ἐπ' ἀγαθῇ τύχῃ
τὸ πρᾶγμ', ὃ μηχανᾶται
ἔμπροϲθεν οὗτοϲ τῶν θυρῶν,
ἅπαϲιν ἡμῖν ἁρμόϲαι
παυϲαμένοιϲ πλάνων.
ἰήιε Παιάν.

Βδ. ὦ δέϲποτ' ἄναξ γεῖτον Ἀγυιεῦ, τοὐμοῦ προθύρου προπύλαιε,
δέξαι τελετὴν καινήν, ὦναξ, ἣν τῷ πατρὶ καινοτομοῦμεν,
παῦϲόν τ' αὐτοῦ τοῦτο τὸ λίαν ϲτρυφνὸν καὶ πρίνινον ἦθοϲ,
ἀντὶ ϲιραίου μέλιτοϲ ϲμικρὸν τῷ θυμιδίῳ παραμείξαϲ·
ἤδη δ' εἶναι τοῖϲ ἀνθρώποιϲ
ἤπιον αὐτόν, τοὺϲ φεύγοντάϲ τ'
ἐλεεῖν μᾶλλον τῶν γραψαμένων,
κἀπιδακρύειν ἀντιβολούντων,
καὶ παυϲάμενον τῆϲ δυϲκολίαϲ
ἀπὸ τῆϲ ὀργῆϲ
τὴν ἀκαλήφην ἀφελέϲθαι.

Χο. ξυνευχόμεϲθα ⟨ταὐτά⟩ ϲοι κἀπᾴδομεν [ἀντ.
νέαιϲιν ἀρχαῖϲ ἕνεκα τῶν προλελεγμένων.
εὖνοι γάρ ἐϲμεν ἐξ οὗ

865 λέξομεν] ἕξομεν R*V: [P10] 873 πλάνων] πλάνου Γ: τῶν πλάνων L 875 προπύλαιε Bentley: πρὸϲ πύλαϲ codd.: [P10] 877 τοῦτο Elmsley: τουτὶ codd. 878 ϲμικρὸν] μικρὸν RV παραμείξαϲ Starkie: -μίξαϲ P10, codd. 880 τοὺϲ VL: καὶ τοὺϲ cett. τ' om. Γ, Su. φ 236 885 suppl. Reisig: ⟨ταὐτά⟩ Dindorf 886 νέαιϲιν V: ἐν νέαιϲιν cett. ἕνεκα Reisig: εἵνεκα codd.

τὸν δῆμον ἠϲθόμεϲθά ϲου
φιλοῦντοϲ ὡϲ οὐδεὶϲ ἀνὴρ
τῶν γε νεωτέρων.
⟨ἰήιε Παιάν.⟩

Βδ. εἴ τιϲ θύραϲιν ἠλιαϲτήϲ, εἰϲίτω·
ὡϲ ἡνίκ' ἂν λέγωϲιν, οὐκ εἰϲφρήϲομεν.
Φι. τίϲ ἆρ' ὁ φεύγων οὗτοϲ; ὅϲον ἁλώϲεται.
Βδ. ἀκούετ' ἤδη τῆϲ γραφῆϲ. "ἐγράψατο
Κύων Κυδαθηναιεὺϲ Λάβητ' Αἰξωνέα
τὸν τυρὸν ἀδικεῖν ὅτι μόνοϲ κατήϲθιεν
τὸν Ϲικελικόν. τίμημα κλῳὸϲ ϲύκινοϲ."
Φι. θάνατοϲ μὲν οὖν κύνειοϲ, ἢν ἅπαξ ἁλῷ.
Βδ. καὶ μὴν ὁ φεύγων οὑτοϲὶ Λάβηϲ πάρα.
Φι. ὢ μιαρὸϲ οὗτοϲ· ὡϲ δὲ καὶ κλέπτον βλέπει,
οἷον ϲεϲηρὼϲ ἐξαπατήϲειν μ' οἴεται.
ποῦ δ' ⟨ἔϲθ'⟩ ὁ διώκων, ὁ Κυδαθηναιεὺϲ κύων;

ΚΥΩΝ

αὖ αὖ.
Βδ. πάρεϲτιν.
Ξα. ἕτεροϲ οὗτοϲ αὖ Λάβηϲ,
ἀγαθόϲ γ' ὑλακτεῖν καὶ διαλείχειν τὰϲ χύτραϲ.
Βδ. ϲίγα, κάθιζε. ϲὺ δ' ἀναβὰϲ κατηγόρει.
Φι. φέρε νυν ἅμα τήνδ' ἐγχεάμενοϲ κἀγὼ ῥοφῶ.
Κυ. τῆϲ μὲν γραφῆϲ ἠκούϲαθ' ἣν ἐγραψάμην,
ἄνδρεϲ δικαϲταί, τουτονί. δεινότατα γὰρ
ἔργων δέδρακε κἀμὲ καὶ τὸ ῥυππαπαῖ.
ἀποδρὰϲ γὰρ εἰϲ τὴν γωνίαν τυρὸν πολὺν

888 ἠϲθόμεϲθα] -μεθα RΓ: ἠδόμεϲθα V  889 οὐδεὶϲ L: οὐδὲ εἷϲ cett.  890 γε νεωτέρων Reisig, cf. sch.: γενναιοτέρων RVΓ: νῦν γε ϲοῦ νεωτέρων L  890a suppl. Meineke  894 γραφῆϲ Bentley: γραφῆϲ ἧϲ codd.  900 κλεπτὸν hoc accentu R: κλέπτειν Richter  902 ⟨ἔϲθ'⟩ ὁ Toup: ὁ R: ὦ Vγρ: οὐ cett.: ὅ ⟨γε⟩ MacDowell  904–5 ἕτεροϲ . . . χύτραϲ Xanthiae tribuerunt Blaydes et Rogers, Philocleoni plerique  908 ἄνδρεϲ] ὤνδρεϲ dubitanter Blaydes

κατεcικέλιζε κἀνέπλητ' ἐν τῷ cκότῳ—
Φι. νὴ τὸν Δί' ἀλλὰ δῆλόc ἐcτ'· ἔμοιγέ τοι
τυροῦ κάκιcτον ἀρτίωc ἐνήρυγεν
ὁ βδελυρὸc οὗτοc.
Κυ. κοὐ μετέδωκ' αἰτοῦντί μοι.
καίτοι τίc ὑμᾶc εὖ ποιεῖν δυνήcεται,
ἢν μή τι κἀμοί τιc προβάλλῃ, τῷ Κυνί;
Φι. οὐδὲν μετέδωκεν οὐδὲ τῷ κοινῷ γ', ἐμοί.
θερμὸc γὰρ ἁνὴρ οὐδὲν ἧττον τῆc φακῆc.
Βδ. πρὸc τῶν θεῶν, μὴ προκαταγίγνωcκ', ὦ πάτερ,
πρὶν ἂν γ' ἀκούcῃc ἀμφοτέρων.
Φι. ἀλλ', ὦγαθέ,
τὸ πρᾶγμα φανερόν ἐcτιν· αὐτὸ γὰρ βοᾷ.
Κυ. μή νυν ἀφῆτέ γ' αὐτόν, ὡc ὄντ' αὖ πολὺ
κυνῶν ἁπάντων ἄνδρα μονοφαγίcτατον,
ὅcτιc περιπλεύcαc τὴν θυείαν ἐν κύκλῳ
ἐκ τῶν πόλεων τὸ cκῖρον ἐξεδήδοκεν.
Φι. ἐμοὶ δέ γ' οὐκ ἔcτ' οὐδὲ τὴν ὑδρίαν πλάcαι.
Κυ. πρὸc ταῦτα τοῦτον κολάcατ'—οὐ γὰρ ἄν ποτε
τρέφειν δύναιτ' ἂν μία λόχμη κλέπτα δύο—
ἵνα μὴ κεκλάγγω διὰ κενῆc ἄλλωc ἐγώ·
ἐὰν δὲ μή, τὸ λοιπὸν οὐ κεκλάγξομαι.
Φι. ἰοὺ ἰού.
ὅcαc κατηγόρηcε τὰc πανουργίαc.
κλέπτον τὸ χρῆμα τἀνδρόc. οὐ καὶ coὶ δοκεῖ,
ὦλεκτρυών; νὴ τὸν Δί'· ἐπιμύει γέ τοι.
ὁ θεcμοθέτηc· ποῦ 'cθ' οὗτοc; ἀμίδα μοι δότω.
Βδ. αὐτὸc καθελοῦ· τοὺc μάρτυραc γὰρ εἰcκαλῶ.
Λάβητι μάρτυραc παρεῖναι τρύβλιον,
δοίδυκα, τυρόκνηcτιν, ἐcχάραν, χύτραν,
καὶ πάντα τὰ cκεύη τὰ προcκεκαυμένα.

919 προκαταγίγνωcκ' Brunck: -γίνωcκ' codd. 928 δύο Vp3, lm. sch. V: δύω cett. 934 ὦλεκτρυών] -υόν R 935 μοι] τιc Blaydes 939 πάντα Blaydes: τἄλλα codd. prius τὰ] γε Lenting

ἀλλ' ἔτι cύ γ' οὐρεῖc καὶ καθίζειc οὐδέπω;
Φι. τοῦτον δέ γ' οἶμ' ἐγὼ χεcεῖcθαι τήμερον.
Βδ. οὐκ αὖ cὺ παύcει χαλεπὸc ὢν καὶ δύcκολοc,
καὶ ταῦτα τοῖc φεύγουcιν, ὧν ὀδὰξ ἔχει;
ἀνάβαιν', ἀπολογοῦ. τί cεcιώπηκαc; λέγε.
Φι. ἀλλ' οὐκ ἔχειν οὗτόc γ' ἔοικεν ὅ τι λέγῃ.
Βδ. οὔκ, ἀλλ' ἐκεῖνό μοι δοκεῖ πεπονθέναι,
ὅπερ ποτὲ φεύγων ἔπαθε καὶ Θουκυδίδηc·
ἀπόπληκτοc ἐξαίφνηc ἐγένετο τὰc γνάθουc.
πάρεχ' ἐκποδών· ἐγὼ γὰρ ἀπολογήcομαι.
χαλεπὸν μέν, ὦνδρέc, ἐcτι διαβεβλημένου
ὑπεραποκρίνεcθαι κυνόc, λέξω δ' ὅμωc.
ἀγαθὸc γάρ ἐcτι καὶ διώκει τοὺc λύκουc.
Φι. κλέπτηc μὲν οὖν οὗτόc γε καὶ ξυνωμότηc.
Βδ. μὰ Δί', ἀλλ' ἄριcτόc ἐcτι τῶν νυνὶ κυνῶν,
οἷόc τε πολλοῖc προβατίοιc ἐφεcτάναι.
Φι. τί οὖν ὄφελοc, τὸν τυρὸν εἰ κατεcθίει;
Βδ. ὅ τι; cοῦ προμάχεται καὶ φυλάττει τὴν θύραν,
καὶ τἄλλ' ἄριcτόc ἐcτιν· εἰ δ' ὑφείλετο,
cύγγνωθι. κιθαρίζειν γὰρ οὐκ ἐπίcταται.
Φι. ἐγὼ δ' ἐβουλόμην ἂν οὐδὲ γράμματα,
ἵνα μὴ κακουργῶν ἐνέγραφ' ἡμῖν τὸν λόγον.
Βδ. ἄκουcον, ὦ δαιμόνιέ, μου τῶν μαρτύρων.
ἀνάβηθι, τυρόκνηcτι, καὶ λέξον μέγα·
cὺ γὰρ ταμιεύουc' ἔτυχεc. ἀπόκριναι cαφῶc,
εἰ μὴ κατέκνηcαc τοῖc cτρατιώταιc ἅλαβεc.
φηcὶ κατακνῆcαι.
Φι. νὴ Δί', ἀλλὰ ψεύδεται.
Βδ. ὦ δαιμόνι', αἰδοῦ τοὺc ταλαιπωρουμένουc.
οὗτοc γὰρ ὁ Λάβηc καὶ τραχήλι' ἐcθίει
καὶ τὰc ἀκάνθαc, κοὐδέποτ' ἐν ταὐτῷ μένει.

942 αὖ RΓ: ἂν cett. 943 ὧν Blaydes: ἀλλ' codd. 950 διαβεβλημένου Γ: -μένουc cett. 967 αἰδοῦ Richards, Starkie: ἐλέει codd. τοὺc om. L

ὁ δ' ἕτερος οἷός ἐςτιν. οἰκουρὸς μόνον·
αὐτοῦ μένων γάρ, ἅττ' ἂν εἴςω τις φέρῃ,
τούτων μεταιτεῖ τὸ μέρος· εἰ δὲ μή, δάκνει.
Φι. αἰβοῖ. τί τόδε ποτ' ἔςθ' ὅτῳ μαλάττομαι;
κακόν τι περιβαίνει με κἀναπείθομαι.
Βδ. ἴθ', ἀντιβολῶ ς', οἰκτίρατ' αὐτόν, ὦ πάτερ,
καὶ μὴ διαφθείρητε. ποῦ τὰ παιδία;
ἀναβαίνετ', ὦ πόνηρα, καὶ κνυζούμενα
αἰτεῖτε κἀντιβολεῖτε καὶ δακρύετε.
Φι. κατάβα, κατάβα, κατάβα, κατάβα.
Βδ. καταβήςομαι.
καίτοι τὸ "κατάβα" τοῦτο πολλοὺς δὴ πάνυ
ἐξηπάτηκεν. ἀτὰρ ὅμως καταβήςομαι.
Φι. ἐς κόρακας. ὡς οὐκ ἀγαθόν ἐςτι τὸ ῥοφεῖν.
ἐγὼ γὰρ ἐπεδάκρυςα νῦν, γνώμην ἐμήν,
οὐδέν ποτέ γ' ἀλλ' ἢ τῆς φακῆς ἐμπλήμενος.
Βδ. οὔκουν ἀποφεύγει δῆτα;
Φι. χαλεπὸν εἰδέναι.
Βδ. ἴθ', ὦ πατρίδιον, ἐπὶ τὰ βελτίω τρέπου.
τηνδὶ λαβὼν τὴν ψῆφον ἐπὶ τὸν ὕςτερον
μύςας παρᾷξον κἀπόλυςον, ὦ πάτερ.
Φι. οὐ δῆτα· κιθαρίζειν γὰρ οὐκ ἐπίςταμαι.
Βδ. φέρε νύν ςε τῃδὶ τὴν ταχίςτην περιάγω.
Φι. ὅδ' ἔςθ' ὁ πρότερος;
Βδ. οὗτος.
Φι. αὕτη 'νταῦθ' ἔνι.
Βδ. ἐξηπάτηται κἀπολέλυκεν οὐχ ἑκών.
φέρ' ἐξεράςω.
Φι. πῶς ἄρ' ἠγωνίςμεθα;

970 *μόνον*] *μόνος* $R^{ac}$V 973 *τόδε* MacDowell: *κακόν* L: *τὸ κακόν* cett. 974 *κακόν*] *καινόν* Blaydes *περιβαίνει*] *περιμένει* R 979 *κατάβα* quater L: ter cett. 982 *ἐς* L: *ἧς* cett. 983 *ἐπεδάκρυςα* Hirschig, cf. sch. VΓ: *ἀπε-* codd. *γνώμην* ⟨*γ'*⟩ Meineke 984 *ποτ'* Invernizi: *ποτέ γ'* codd. 991 *'νταῦθ' ἔνι* Dobree: *'ντευθενί* vel sim. codd.

Βδ. δείξειν ἔοικεν. ἐκπέφευγας, ὦ Λάβης.
πάτερ πάτερ, τί πέπονθας; οἴμοι. ποῦ 'cθ' ὕδωρ;
ἔπαιρε cαυτόν.
Φι. εἰπέ νυν ἐκεῖνό μοι,
ὄντως ἀπέφυγε;
Βδ. νὴ Δί'.
Φι. οὐδέν εἰμ' ἄρα.
Βδ. μὴ φροντίcῃc, ὦ δαιμόνι', ἀλλ' ἀνίcταcο.
Φι. πῶc οὖν ἐμαυτῷ τοῦτ' ἐγὼ ξυνείcομαι,
φεύγοντ' ἀπολύcαc ἄνδρα; τί ποτε πείcομαι;
ἀλλ', ὦ πολυτίμητοι θεοί, ξύγγνωτέ μοι·
ἄκων γὰρ αὔτ' ἔδραcα κοὐ τοὐμοῦ τρόπου.
Βδ. καὶ μηδὲν ἀγανάκτει γ'. ἐγὼ γάρ c', ὦ πάτερ,
θρέψω καλῶc, ἄγων μετ' ἐμαυτοῦ πανταχοῖ,
ἐπὶ δεῖπνον, εἰc ξυμπόcιον, ἐπὶ θεωρίαν,
ὥcθ' ἡδέωc διάγειν cε τὸν λοιπὸν χρόνον·
κοὐκ ἐγχανεῖταί c' ἐξαπατῶν Ὑπέρβολοc.
ἀλλ' εἰcίωμεν.
Φι. ταῦτά νυν, εἴπερ δοκεῖ.

Χο. ἀλλ' ἴτε χαίροντεc ὅποι βούλεcθ'.
ὑμεῖc δὲ τέωc,
ὦ μυριάδεc ἀναρίθμητοι,
νῦν τὰ μέλλοντ' εὖ λέγεcθαι
μὴ πέcῃ φαύλωc χαμᾶζ'
εὐλαβεῖcθε.
τοῦτο γὰρ cκαιῶν θεατῶν
ἐcτι πάcχειν, κοὐ πρὸc ὑμῶν.

νῦν αὖτε, λεῴ, προcέχετε τὸν νοῦν, εἴπερ καθαρόν
τι φιλεῖτε.
μέμψαcθαι γὰρ τοῖcι θεαταῖc ὁ ποιητὴc νῦν ἐπιθυμεῖ.

994 ἔοικεν] ἔοικαc R 1004 πανταχοῖ Brunck: πανταχοῦ codd. 1010 τέωc RV: ταχέωc Γ: γε ταχέωc L 1011 νῦν Burges: νῦν μὲν codd. 1015 προcέχετε] πρόcχετε (sic) B: πρόccχετε Elmsley, duce Bentley

ἀδικεῖϲθαι γάρ φηϲιν πρότεροϲ πόλλ' αὐτοὺϲ εὖ πεποιηκώϲ·
τὰ μὲν οὐ φανερῶϲ ἀλλ' ἐπικουρῶν κρύβδην ἑτέροιϲι ποιηταῖϲ,
μιμηϲάμενοϲ τὴν Εὐρυκλέουϲ μαντείαν καὶ διάνοιαν,
εἰϲ ἀλλοτρίαϲ γαϲτέραϲ ἐνδὺϲ κωμῳδικὰ πολλὰ χέαϲθαι·
μετὰ τοῦτο δὲ καὶ φανερῶϲ ἤδη κινδυνεύων καθ' ἑαυτόν,
οὐκ ἀλλοτρίων ἀλλ' οἰκείων Μουϲῶν ϲτόμαθ' ἡνιοχήϲαϲ.
ἀρθεὶϲ δὲ μέγαϲ καὶ τιμηθεὶϲ ὡϲ οὐδεὶϲ πώποτ' ἐν ὑμῖν,
οὐκ ἐκχαλάϲαι φηϲὶν ἐπαρθεὶϲ οὐδ' ὀγκῶϲαι τὸ φρόνημα,
οὐδὲ παλαίϲτραϲ περικωμάζειν πειρῶν· οὐδ' εἴ τιϲ ἐραϲτὴϲ
κωμῳδεῖϲθαι παιδίχ' ἑαυτοῦ μιϲῶν ἔϲπευϲε πρὸϲ αὐτόν,
οὐδενὶ πώποτέ φηϲι πιθέϲθαι, γνώμην τιν' ἔχων ἐπιεικῆ,
ἵνα τὰϲ Μούϲαϲ αἷϲιν χρῆται μὴ προαγωγοὺϲ ἀποφήνῃ.
οὐδ' ὅτε πρῶτόν γ' ἦρξε διδάϲκειν, ἀνθρώποιϲ φήϲ' ἐπιθέϲθαι,
ἀλλ' Ἡρακλέουϲ ὀργήν τιν' ἔχων τοῖϲι μεγίϲτοιϲ ἐπεχείρει,
θραϲέωϲ ξυϲτὰϲ εὐθὺϲ ἀπ' ἀρχῆϲ αὐτῷ τῷ καρχαρόδοντι,

1020 εἰϲ ⟨τ'⟩ Dobree: ὥϲτ' Starkie  1022 ἡνιοχήϲαϲ] -ῆϲαι Richards  1024 ἐκχαλάϲαι Wilson: ἐκτελέϲαι codd.: alii alia  1025 πειρῶν Brunck: περιιών vel sim. codd.  1026 ἔϲπευϲε] ἔϲπευδε L  1027 πιθέϲθαι B: πείθεϲθαι cett.  1029 πρῶτον] πρώτιϲτ' Meineke  γ' B: om. cett.: ὅδ' Porson  ἦρξε] φηϲὶ V: ἐπῆλθε dubitanter Wilson  φήϲ' ἐπιθέϲθαι] φηϲὶ πιθέϲθαι R  1030 τοῖϲι L: τοῖϲ cett.: θηρϲὶ Merry  ἐπεχείρει Meineke: ἐπιχειρεῖν codd.

οὗ δεινόταται μὲν ἀπ' ὀφθαλμῶν Κύννηϲ ἀκτῖνεϲ ἔλαμπον,
ἑκατὸν δὲ κύκλῳ κεφαλαὶ κολάκων οἰμωξομένων ἐλιχμῶντο
περὶ τὴν κεφαλήν, φωνὴν δ' εἶχεν χαράδραϲ ὄλεθρον τετοκυίαϲ,
φώκηϲ δ' ὀϲμήν, Λαμίαϲ δ' ὄρχειϲ ἀπλύτουϲ, πρωκτὸν δὲ καμήλου.
τοιοῦτον ἰδὼν τέραϲ οὔ φηϲιν δείϲαϲ καταδωροδοκῆϲαι,
ἀλλ' ὑπὲρ ὑμῶν ἔτι καὶ νυνὶ πολεμεῖ· φηϲίν τε μετ' αὐτὸν
τοῖϲ ἠπιάλοιϲ ἐπιχειρῆϲαι πέρυϲιν καὶ τοῖϲ πυρετοῖϲιν,
οἳ τοὺϲ πατέραϲ τ' ἦγχον νύκτωρ καὶ τοὺϲ πάππουϲ ἀπέπνιγον
κατακλινομένουϲ ἐν ταῖϲ κοίταιϲ, ἐπὶ τοῖϲί τ' ἀπράγμοϲιν ὑμῶν
ἀντωμοϲίαϲ καὶ προϲκλήϲειϲ καὶ μαρτυρίαϲ ϲυνεκόλλων,
ὥϲτ' ἀναπηδᾶν δειμαίνονταϲ πολλοὺϲ ὡϲ τὸν πολέμαρχον.
τοιόνδ' εὑρόντεϲ ἀλεξίκακον τῆϲ χώραϲ τῆϲδε καθαρτήν,
πέρυϲιν καταπρούδοτε καινοτάταϲ ϲπείραντ' αὐτὸν διανοίαϲ,
ἃϲ ὑπὸ τοῦ μὴ γνῶναι καθαρῶϲ ὑμεῖϲ ἐποιήϲατ' ἀναλδεῖϲ·
καίτοι ϲπένδων πόλλ' ἐπὶ πολλοῖϲ ὄμνυϲιν τὸν Διόνυϲον
μὴ πώποτ' ἀμείνον' ἔπη τούτων κωμῳδικὰ μηδέν' ἀκοῦϲαι.

1036 *καταδωροδοκῆϲαι*] *-ήϲειν Γ* 1037 *ὑμῶν* B: *ἡμῶν* cett. *αὐτὸν* Bentley: *αὐτοῦ* codd. 1040 *κατακλινομένουϲ ἐν . . . ἐπὶ τοῖϲί τ'* Hamaker: *-μενοί τ' ἐπὶ . . . ἐπὶ τοῖϲιν* codd. 1044 *καινοτάταϲ . . . διανοίαϲ* Bothe: *-ταιϲ . . . -αιϲ* codd. *ϲπείραντ'* R: *ϲπαίροντ'* V: *ϲπαίροντεϲ Γ*: *ϲπέροντ'* L *αὐτὸν*] *αὐτὴν* Hecker: an *αὐτῇ*?

τοῦτο μὲν οὖν ἔϲθ' ὑμῖν αἰϲχρὸν τοῖϲ μὴ γνοῦϲιν παραχρῆμα,
ὁ δὲ ποιητὴϲ οὐδὲν χείρων παρὰ τοῖϲι ϲοφοῖϲ νενόμιϲται,
εἰ παρελαύνων τοὺϲ ἀντιπάλουϲ τὴν ἐπίνοιαν ξυνέτριψεν.
ἀλλὰ τὸ λοιπὸν τῶν ποιητῶν,
ὦ δαιμόνιοι, τοὺϲ ζητοῦνταϲ
καινόν τι λέγειν κἀξευρίϲκειν
ϲτέργετε μᾶλλον καὶ θεραπεύετε,
καὶ τὰ νοήματα ϲῴζεϲθ' αὐτῶν,
εἰϲβάλλετέ τ' εἰϲ τὰϲ κιβωτοὺϲ
μετὰ τῶν μήλων. κἂν ταῦτα ποιῆθ',
ὑμῖν δι' ἔτουϲ τῶν ἱματίων
ὀζήϲει δεξιότητοϲ.

ὦ πάλαι ποτ' ὄντεϲ ἡμεῖϲ ἄλκιμοι μὲν ἐν χοροῖϲ, [ϲτρ.
ἄλκιμοι δ' ἐν μάχαιϲ,
καὶ κατ' αὐτὸ τοῦτο μόνον
ἄνδρεϲ ἀλκιμώτατοι.
πρίν ποτ' ἦν, πρὶν ταῦτα· νῦν δ'
οἴχεται, κύκνου τε πολι-
ώτεραι δὴ αἵδ' ἐπανθοῦϲιν τρίχεϲ.
ἀλλὰ κἀκ τῶν λειψάνων δεῖ τῶνδε ῥώμην
νεανικὴν ϲχεῖν· ὡϲ ἐγὼ τοὐμὸν νομίζω
γῆραϲ εἶναι κρεῖττον ἢ πολλῶν κικίννουϲ
νεανιῶν καὶ ϲχῆμα κεὐρυπρωκτίαν.

εἴ τιϲ ὑμῶν, ὦ θεαταί, τὴν ἐμὴν ἰδὼν φύϲιν
εἶτα θαυμάζει μ' ὁρῶν μέϲον διεϲφηκωμένον,

1050 *εἰ παρελαύνων* sch.: *εἴπερ ἐλαύνων* codd. 1056 *τ'* RV: om. *Γ*: *δ'* L 1061 *μάχαιϲ*] *μάχαιϲιν* L 1062 *αὐτὸ*] *αὐτὸ δὴ* L *ἀλκιμώτατοι* Bentley: *μαχιμώτατοι* codd. 1064 *οἴχεται*] *οἴχεταί γε* L *πολιώτεραι* VL: *-τερα* R*Γ* 1067 *ῥώμην*] *γνώμην* V*Γγρ* *ϲχεῖν* Reisig: *ἔχειν* codd. 1070 *κεὐρυπρωκτίαν* Kuster: *κηὐρ-* codd.

ἥτις ἡμῶν ἐστιν ἡ ᾽πίνοια τῆς ἐγκεντρίδος,
ῥᾳδίως ἐγὼ διδάξω, "κἂν ἄμουσος ᾖ τὸ πρίν".
ἐσμὲν ἡμεῖς, οἷς πρόσεστι τοῦτο τοὐρροπύγιον,
Ἀττικοὶ μόνοι δικαίως ἐγγενεῖς αὐτόχθονες,
ἀνδρικώτατον γένος καὶ πλεῖστα τήνδε τὴν πόλιν
ὠφελῆσαν ἐν μάχαισιν, ἡνίκ' ἦλθ' ὁ βάρβαρος,
τῷ καπνῷ τύφων ἅπασαν τὴν πόλιν καὶ πυρπολῶν,
ἐξελεῖν ἡμῶν μενοινῶν πρὸς βίαν τἀνθρήνια.
εὐθέως γὰρ ἐκδραμόντες "ξὺν δορὶ ξὺν ἀσπίδι"
ἐμαχόμεσθ' αὐτοῖσι, θυμὸν ὀξίνην πεπωκότες,
στὰς ἀνὴρ παρ' ἄνδρ', ὑπ' ὀργῆς τὴν χελύνην ἐσθίων·
ὑπὸ δὲ τῶν τοξευμάτων οὐκ ἦν ἰδεῖν τὸν οὐρανόν.
ἀλλ' ὅμως ἐωσάμεσθα ξὺν θεοῖς πρὸς ἑσπέραν.
γλαῦξ γὰρ ἡμῶν πρὶν μάχεσθαι τὸν στρατὸν διέπτατο.
εἶτα δ' εἱπόμεσθα θυννάζοντες εἰς τοὺς θυλάκους,
οἱ δ' ἔφευγον τὰς γνάθους καὶ τὰς ὀφρῦς κεντούμενοι·
ὥστε παρὰ τοῖς βαρβάροισι πανταχοῦ καὶ νῦν ἔτι
μηδὲν Ἀττικοῦ καλεῖσθαι σφηκὸς ἀνδρικώτερον.

ἆρα δεινὸς ἦ τόθ', ὥστε ταῦτα μὴ δεδοικέναι, [ἀντ.
καὶ κατεστρεψάμην
τοὺς ἐναντίους, πλέων ἐ-
κεῖσε ταῖς τριήρεσιν;
οὐ γὰρ ἦν ἡμῖν ὅπως
ῥῆσιν εὖ λέξειν ἐμέλλο-
μεν τότ' οὐδὲ συκοφαντήσειν τινὰ
φροντίς, ἀλλ' ὅστις ἐρέτης ἔσοιτ' ἄριστος.
τοιγαροῦν πολλὰς πόλεις Μήδων ἑλόντες
αἰτιώτατοι φέρεσθαι τὸν φόρον δεῦρ'
ἐσμέν, ὃν κλέπτουσιν οἱ νεώτεροι.

1076 ἐγγενεῖς] εὐγενεῖς L 1081 δορὶ] δορεὶ P76, cf. Choerobosc. *in Theod.* 1.346.15–16 1085 ἐωσάμεσθα P76 (ἐωσα[ ]), *epimerismi Homerici* ω 21 (p. 758 Dyck): ἀπεωσάμεσθα ΓL: ἐπαυσάμεσθα R: ἐσωζόμεσθα $V\Gamma^3$γρ 1087 εἱπόμεσθα R: ἑπό- VΓ: ἑσπο- L 1091 ἦ] ἦν R ταῦτα Wilson: πάντα codd. μὴ] μ' ἂν Dobree 1092 καὶ] fortasse ὃς, si πάντα retineas 1097 ὅστις Elmsley: ὅστις ἂν RVΓ: ὃς ἂν L

πολλαχῇ cκοποῦντεc ἡμᾶc εἰc ἅπανθ' εὑρήcετε
τοὺc τρόπουc καὶ τὴν δίαιταν cφηξὶν ἐμφερεcτάτουc.
πρῶτα μὲν γὰρ οὐδὲν ἡμῶν ζῷον ἠρεθιcμένον
μᾶλλον ὀξύθυμόν ἐcτιν οὐδὲ δυcκολώτερον·
εἶτα τἄλλ' ὅμοια πάντα cφηξὶ μηχανώμεθα.
ξυλλεγέντεc γὰρ καθ' ἑcμοὺc ὥcπερ εἰc ἀνθρήνια,
οἱ μὲν ἡμῶν οὗπερ ἄρχων, οἱ δὲ παρὰ τοὺc ἕνδεκα,
οἱ δ' ἐν ᾠδείῳ δικάζουc', ὧδε πρὸc τοῖc τειχίοιc
ξυμβεβυcμένοι πυκνόν, νεύοντεc εἰc τὴν γῆν, μόλιc
ὥcπερ οἱ cκώληκεc ἐν τοῖc κυττάροιc κινούμενοι.
εἴc τε τὴν ἄλλην δίαιτάν ἐcμεν εὐπορώτατοι.
πάντα γὰρ κεντοῦμεν ἄνδρα κἀκπορίζομεν βίον.
ἀλλὰ γὰρ κηφῆνεc ἡμῖν εἰcιν ἐγκαθήμενοι
οὐκ ἔχοντεc κέντρον, οἳ μένοντεc ἡμῶν τοῦ φόρου
τὸν γόνον κατεcθίουcιν οὐ ταλαιπωρούμενοι.
τοῦτο δ' ἔcτ' ἄλγιcτον ἡμῖν, ἤν τιc ἀcτράτευτοc ὢν
ἐκροφῇ τὸν μιcθὸν ἡμῶν, τῆcδε τῆc χώραc ὕπερ
μήτε κώπην μήτε λόγχην μήτε φλύκταιναν λαβών.
ἀλλά μοι δοκεῖ τὸ λοιπὸν τῶν πολιτῶν ἔμβραχυ
ὅcτιc ἂν μὴ 'χῃ τὸ κέντρον μὴ φέρειν τριώβολον.

Φι. οὔτοι ποτὲ ζῶν τοῦτον ἀποδυθήcομαι,
ἐπεὶ μόνοc μ' ἔcωcε παρατεταγμένον,
ὅθ' ὁ βορέαc ὁ μέγαc ἐπεcτρατεύcατο.
Βδ. ἀγαθὸν ἔοικαc οὐδὲν ἐπιθυμεῖν παθεῖν.
Φι. μὰ τὸν Δί', οὐ γὰρ οὐδαμῶc μοι ξύμφορον.
καὶ γὰρ πρότερον ἐπανθρακίδων ἐμπλήμενοc
ἀπέδωκ' ὀφείλων τῷ κναφεῖ τριώβολον.
Βδ. ἀλλ' οὖν πεπειράcθω γ', ἐπειδήπερ γ' ἅπαξ

1102 *πολλαχῇ* P76: -*αχοῦ* codd. 1107 *ὥcπερ εἰc ἀνθρήνια* Kock: *ὡcπερεὶ τἀνθρήνια* codd. 1109 *ὧδε* Starkie: *οἱ δὲ* codd. 1112 *τε*] *δὲ* Richter 1116 *γόνον*] *πόνον* sch. legisse credebat Dobree 1118 *ἐκροφῇ* Reiske: *ἐκφορῇ* codd. 1123 *παρατεταγμένον*] -*μένοc* Wilamowitz 1127 *ἐπανθρακίδων* Scaliger: *ἐπ' ἀν*- codd.: *δὶc ἀν*- Athenaeus 329 B *ἐμπλημένοc*] *πεπληcμένοc* L: *ἅλμην πιὼν* Athenaeus 1128 *κναφεῖ* Dindorf: *γναφεῖ* codd.

ἐμοὶ cεαυτὸν παραδέδωκας εὖ ποιεῖν.
Φι. τί οὖν κελεύεις δρᾶν με;
Βδ. τὸν τρίβων᾽ ἄφες,
τηνδὶ δὲ χλαῖναν ἀναβαλοῦ τριβωνικῶς.
Φι. ἔπειτα παῖδας χρὴ φυτεύειν καὶ τρέφειν,
ὅθ᾽ οὑτοσί με νῦν ἀποπνῖξαι βούλεται;
Βδ. ἔχ᾽, ἀναβαλοῦ τηνδὶ λαβών, καὶ μὴ λάλει.
Φι. τουτὶ τὸ κακὸν τί ἐcτι, πρὸς πάντων θεῶν;
Βδ. οἱ μὲν καλοῦcι Περcίδ᾽, οἱ δὲ καυνάκην.
Φι. ἐγὼ δὲ cιcύραν ᾠόμην Θυμαιτίδα.
Βδ. κοὐ θαῦμά γ᾽· εἰc Cάρδειc γὰρ οὐκ ἐλήλυθας.
ἔγνως γὰρ ἄν· νῦν δ᾽ οὐχὶ γιγνώcκειc.
Φι. ἐγώ;
μὰ τὸν Δί᾽ οὔτοι νῦν γ᾽· ἀτὰρ δοκεῖ γέ μοι
ἐοικέναι μάλιcτα Μορύχου cάγματι.
Βδ. οὔκ, ἀλλ᾽ ἐν Ἐκβατάνοιcι ταῦθ᾽ ὑφαίνεται.
Φι. ἐν Ἐκβατάνοιcι γίγνεται κρόκης χόλιξ;
Βδ. πόθεν, ὦγάθ᾽; ἀλλὰ τοῦτο τοῖcι βαρβάροιc
ὑφαίνεται πολλαῖc δαπάναιc. αὕτη γέ τοι
ἐρίων τάλαντον καταπέπωκε ῥᾳδίωc.
Φι. οὔκουν ἐριώλην δῆτ᾽ ἐχρῆν αὐτὴν καλεῖν
δικαιότερον ἢ καυνάκην;
Βδ. ἔχ᾽, ὦγαθέ,
καὶ cτῆθ᾽ ἀναμπιcχόμενοc.
Φι. οἴμοι δείλαιοc·
ὡc θερμὸν ἡ μιαρά τί μου κατήρυγεν.

1132 ἀναβαλοῦ B: ἀναλαβοῦ cett. τριβωνικῶc] γεροντικῶc v.l. ap. sch. 1135 ἀναβαλοῦ R$^{pc}$: ἀναλαβοῦ cett. 1140 post ἐγώ sic interpunxerunt L et Musurus 1141 οὔτοι νῦν γ᾽ Starkie: οὐ τοίνυν codd.: οὐ τανῦν γ᾽ A. Palmer 1148 αὐτὴν V: ταύτην cett. 1149 ἢ VΓ: γ᾽ ἢ RL 1150 cτῆθ᾽ ἀναμπιcχόμενοc R: cτῆθ᾽ ἀμπ- VΓ: cτῆθί γ᾽ ἀμπ- L: cτῆθ᾽ ἐπαμπ- Blaydes: cτῆθ᾽ ἐναμπ- Bergk: cτῆθ᾽ ἅμ᾽ ἀμπ- von Holzinger

Βδ. οὐκ ἀναβαλεῖ;
Φι. μὰ Δί᾿ οὐκ ἔγωγ᾿.
Βδ. ἀλλ᾿, ὦγαθέ—
Φι. εἴπερ γ᾿ ἀνάγκη, κρίβανόν μ᾿ ἀμπίϲχετε.
Βδ. φέρ᾿, ἀλλ᾿ ἐγώ ϲε περιβάλω·
Φι. ϲὺ δ᾿ οὖν ἴθι.
παράθου γε μέντοι καὶ κρεάγραν.
Βδ. τιὴ τί δή;
Φι. ἵν᾿ ἐξέλῃϲ με πρὶν διερρυηκέναι.
Βδ. ἄγε νυν ὑπολύου τὰϲ καταράτουϲ ἐμβάδαϲ,
ταϲδὶ δ᾿ ἀνύϲαϲ ὑποδοῦ ϲὺ τὰϲ Λακωνικάϲ.
Φι. ἐγὼ γὰρ ἂν τλαίην ὑποδήϲαϲθαί ποτε
ἐχθρῶν παρ᾿ ἀνδρῶν δυϲμενῆ καττύματα;
Βδ. ἔνθεϲ ποτ᾿, ὦ τᾶν, κἀπόβαιν᾿ ἐρρωμένωϲ
εἰϲ τὴν Λακωνικὴν ἀνύϲαϲ.
Φι. ἀδικεῖϲ γέ με
εἰϲ τὴν πολεμίαν ἀποβιβάζων τὸν πόδα.
Βδ. φέρε, καὶ τὸν ἕτερον.
Φι. μηδαμῶϲ τοῦτόν γ᾿, ἐπεὶ
πάνυ μιϲολάκων αὐτοῦ ᾿ϲτιν εἷϲ τῶν δακτύλων.
Βδ. οὐκ ἔϲτι παρὰ ταῦτ᾿ ἄλλα.
Φι. κακοδαίμων ἐγώ,
ὅϲτιϲ ἐπὶ γήρᾳ χίμετλον οὐδὲν λήψομαι.
Βδ. ἄνυϲόν ποθ᾿ ὑποδηϲάμενοϲ· εἶτα πλουϲίωϲ
ὡδὶ προβὰϲ τρυφερόν τι διαϲαλακώνιϲον.
Φι. ἰδού. θεῶ τὸ ϲχῆμα, καὶ ϲκέψαι μ᾿ ὅτῳ
μάλιϲτ᾿ ἔοικα τὴν βάδιϲιν τῶν πλουϲίων.

1152 ἀλλ᾿ ὦγαθέ Bdelycleoni tribuit van Leeuwen  1154 περιβάλω Blaydes: -βαλῶ codd.  ϲὺ δ᾿ οὖν ἴθι Philocleoni tribuit Lenting  1155 παράθου V: καταθοῦ cett.: L: expectares παράθεϲ (Blaydes)  1157 ὑπολύου Hirschig: ὑποδύου RVΓ: ἀποδύου L  1158 ὑποδοῦ Hirschig, ϲὺ Wilson: ὑπόδυθι codd.  1159 ὑποδήϲαϲθαι Scaliger: ὑποδύϲαϲθαι codd.  1167 γήρᾳ] γήρωϲ Hirschig  1168 ὑποδηϲάμενοϲ Scaliger (*indutus* Divus): ὑποδηϲόμενοϲ B: ὑποδυϲάμενοϲ cett.  1169 διαϲαλακώνιϲον] διαϲακώνιϲον v.l. ap. Hsch.: διαλυκώνιϲον et διαλακώνιϲον vv.ll. ap. sch.

Βδ. ὅτῳ; δοθιῆνι cκόροδον ἠμφιεcμένῳ.
Φι. καὶ μὴν προθυμοῦμαί γε cαυλοπρωκτιᾶν.
Βδ. ἄγε νυν, ἐπιcτήcει λόγους cεμνοὺc λέγειν
ἀνδρῶν παρόντων πολυμαθῶν καὶ δεξιῶν;
Φι. ἔγωγε.
Βδ. τίνα δῆτ' ἂν λέγοις;
Φι. πολλοὺc πάνυ.
πρῶτον μὲν ὡc ἡ Λάμι' ἁλοῦc' ἐπέρδετο,
ἔπειτα δ' ὡc ὁ Καρδοπίων τὴν μητέρα—
Βδ. μὴ 'μοιγε μύθουc, ἀλλὰ τῶν ἀνθρωπίνων,
οἵουc λέγομεν μάλιcτα, τοὺc κατ' οἰκίαν.
Φι. ἐγᾧδα τοίνυν τῶν γε πάνυ κατ' οἰκίαν
ἐκεῖνον ὡc "οὕτω ποτ' ἦν μῦc καὶ γαλῆ—"
Βδ. ὦ cκαιὲ κἀπαίδευτε—Θεογένηc ἔφη
τῷ κοπρολόγῳ, καὶ ταῦτα λοιδορούμενοc—
μῦc καὶ γαλᾶc μέλλειc λέγειν ἐν ἀνδράcιν;
Φι. ποίουc τινὰc δὲ χρὴ λέγειν;
Βδ. μεγαλοπρεπεῖc,
ὡc ξυνεθεώρειc Ἀνδροκλεῖ καὶ Κλειcθένει.
Φι. ἐγὼ δὲ τεθεώρηκα πώποτ' οὐδαμοῖ,
πλὴν εἰc Πάρον, καὶ ταῦτα δύ' ὀβολὼ φέρων.
Βδ. ἀλλ' οὖν λέγειν χρή c' ὡc ἐμάχετό γ' αὐτίκα
Ἐφουδίων παγκράτιον Ἀcκώνδᾳ καλῶc,
ἤδη γέρων ὢν καὶ πολιόc, ἔχων δέ τοι
πλευρὰν βαθυτάτην χἠρακλείαν λαγόνα καὶ
θώρακ' ἄριcτον.
Φι. παῦε παῦ', οὐδὲν λέγειc.
πῶc ἂν μαχέcαιτο παγκράτιον θώρακ' ἔχων;
Βδ. οὕτω διηγεῖcθαι νομίζουc' οἱ cοφοί.

1174 ἐπιcτήcει] ἐπίcταcαι Blaydes 1184 καὶ ταῦτα] ταῦτ' αὐτὰ Blaydes 1185 γαλᾶc] γαλῆ R 1188 οὐδαμοῖ Bekker: οὐδαμοῦ codd. 1190 ἐμάχετό γ'] ἐμαχέcατ' Dobree, cf. 1383 1193 βαθυτάτην G: καθυτάτην V: βαρυτάτην cett. χἠρακλείαν Starkie: καὶ χέραc καὶ RVΓ: καὶ χέραc L λαγόνα V: λαγόναc RΓ: λαγόναc τε hemistichium ita refinxit Richards: καὶ λαγόνα/-νε/-ναc χεῖράc τε καὶ 1195 πῶc V: πῶc δ' cett. 1196 οὕτω V: οὕτωc cett.

ἀλλ' ἕτερον εἰπέ μοι· παρ' ἀνδράϲι ξένοιϲ
πίνων ϲεαυτοῦ ποῖον ἂν λέξαι δοκεῖϲ
ἐπὶ νεότητοϲ ἔργον ἀνδρικώτατον;
Φι. ἐκεῖν' ἐκεῖν' ἀνδρειότατόν γε τῶν ἐμῶν,
ὅτ' Ἐργαϲίωνοϲ τὰϲ χάρακαϲ ὑφειλόμην.
Βδ. ἀπολεῖϲ με. ποίαϲ χάρακαϲ; ἀλλ' ὡϲ ἢ κάπρον
ἐδιώκαθέϲ ποτ' ἢ λαγών, ἢ λαμπάδα
ἔδραμεϲ, ἀνευρὼν ὅ τι νεανικώτατον.
Φι. ἐγᾦδα τοίνυν τό γε νεανικώτατον·
ὅτε τὸν δρομέα Φάυλλον ὢν βούπαιϲ ἔτι
εἷλον διώκων λοιδορίαϲ ψήφοιν δυοῖν.
Βδ. παῦ'· ἀλλὰ δευρὶ κατακλινεὶϲ προϲμάνθανε
ξυμποτικὸϲ εἶναι καὶ ξυνουϲιαϲτικόϲ.
Φι. πῶϲ οὖν κατακλινῶ; φράζ' ἀνύϲαϲ.
Βδ. εὐϲχημόνωϲ.
Φι. ὡδὶ κελεύειϲ κατακλινῆναι;
Βδ. μηδαμῶϲ.
Φι. πῶϲ δαί;
Βδ. τὰ γόνατ' ἔκτεινε, καὶ γυμναϲτικῶϲ
ὑγρὸν χύτλαϲον ϲεαυτὸν ἐν τοῖϲ ϲτρώμαϲιν.
ἔπειτ' ἐπαίνεϲόν τι τῶν χαλκωμάτων,
ὀροφὴν θέαϲαι, κρεκάδι' αὐλῆϲ θαύμαϲον·
ὕδωρ κατὰ χειρόϲ· τὰϲ τραπέζαϲ εἰϲφέρειν·
δειπνοῦμεν· ἀπονενίμμεθ'· ἤδη ϲπένδομεν.
Φι. πρὸϲ τῶν θεῶν, ἐνύπνιον ἑϲτιώμεθα;
Βδ. αὐλητρὶϲ ἐνεφύϲηϲεν· οἱ δὲ ϲυμπόται
εἰϲὶν Θέωροϲ, Αἰϲχίνηϲ, Φᾶνοϲ, Κλέων,
ξένοϲ τιϲ ἕτεροϲ πρὸϲ κεφαλῆϲ, Ἀκέϲτοροϲ.
τούτοιϲ ξυνὼν τὰ ϲκόλι' ὅπωϲ δέξει καλῶϲ.
Φι. ἄληθεϲ; ὡϲ οὐδείϲ γε Διακρίων ἐγώ.

1210 κατακλινῶ B, Scaliger: -κλίνω cett. 1211 κατακλινῆναι Γ: -κλιθῆναι RL: -κλῖναι V 1219 ἐνεφύϲηϲεν] ἀνε- Blaydes 1221 Ἀκέϲτοροϲ Dindorf e sch. (Ἀκέϲτοροϲ iam Bentley): Ἀκέϲτεροϲ codd. 1222 ὅπωϲ] πῶϲ Meineke, qui καλῶϲ Philocleoni, ἄληθεϲ filio tribuit 1223 ἐγώ von Bamberg: δεδέξεται vel sim. codd.

Βδ. τάχ' εἴϲομαι· καὶ δὴ γάρ εἰμ' ἐγὼ Κλέων,
ᾄδω δὲ πρῶτοϲ Ἁρμοδίου, δέξει δὲ ϲύ.
"οὐδεὶϲ πώποτ' ἀνὴρ ἔγεντ' Ἀθήναιϲ—"
Φι. —οὐχ οὕτω γε πανοῦργοϲ ⟨οὐδὲ⟩ κλέπτηϲ.
Βδ. τουτὶ ϲὺ δράϲειϲ; παραπολεῖ βοώμενοϲ·
φήϲει γὰρ ἐξολεῖν ϲε καὶ διαφθερεῖν
κἀκ τῆϲδε τῆϲ γῆϲ ἐξελᾶν.
Φι. ἐγὼ δέ γε,
ἐὰν ἀπειλῇ, νὴ Δί' ἑτέραν ᾄϲομαι·
"ὦνθρωφ', οὗτοϲ ὁ μαιόμενοϲ τὸ μέγα κράτοϲ,
ἀντρέψειϲ ἔτι τὰν πόλιν· ἁ δ' ἔχεται ῥοπᾶϲ."
Βδ. τί δ' ὅταν Θέωροϲ πρὸϲ ποδῶν κατακείμενοϲ
ᾄδῃ Κλέωνοϲ λαβόμενοϲ τῆϲ δεξιᾶϲ·
"Ἀδμήτου λόγον, ὦταῖρε, μαθὼν τοὺϲ ἀγαθοὺϲ φίλει."
τούτῳ τί λέξειϲ ϲκόλιον;
Φι. ᾠδί πωϲ ἐγώ.
"οὐκ ἔϲτιν ἀλωπεκίζειν,
οὐδ' ἀμφοτέροιϲι γίγνεϲθαι φίλον."
Βδ. μετὰ τοῦτον Αἰϲχίνηϲ ὁ Ϲέλλου δέξεται,
ἀνὴρ ϲοφὸϲ καὶ μουϲικόϲ, κᾆτ' ᾄϲεται·
"χρήματα καὶ βίον
Κλειταγόρᾳ τε κἀμοὶ μετὰ Θετταλῶν—"
Φι. —πολλὰ δὴ διεκόμπαϲαϲ ϲὺ κἀγώ.
Βδ. τουτὶ μὲν ἐπιεικῶϲ ϲύ γ' ἐξεπίϲταϲαι·
ὅπωϲ δ' ἐπὶ δεῖπνον εἰϲ Φιλοκτήμονοϲ ἴμεν—
παῖ παῖ, τὸ δεῖπνον, Χρῦϲε, ϲυϲκεύαζε νῷν,

1224 τάχ' Burges: ἐγὼ codd. (1224–6 om. L) 1225 δέξει] δέξαι V 1226–7 Philocleoni tribuit Dobree 1226 ἔγεντ' Ἀθήναιϲ Bentley: ἐγένετ' Ἀθηναίοιϲ codd. 1227 suppl. Hirschig 1230 κἀκ Blaydes: καὶ codd. 1231 ἑτέραν ᾄϲομαι] ἕτερ' ἀντᾴϲομαι Dobree 1234 ἀντρέψειϲ Bentley: ἀνατρέψειϲ codd. 1239 ᾠδί πωϲ Dindorf: ᾠδικῶϲ vel sim. codd. 1244 κᾆτ' ᾄϲεται] κἀντᾴϲεται Dobree 1245 βίον Tyrwhitt: βίαν codd. 1248 διεκόμπαϲαϲ Tyrwhitt: διεκόμιϲα V: διεκόμιϲαϲ cett. 1251 Χρῦϲε hoc accentu scribendum monuit Gelzer: Κροῖϲε Wilamowitz

—ἵνα καὶ μεθυcθῶμεν διὰ χρόνου.
Φι. μηδαμῶc.
κακὸν τὸ πίνειν· ἀπὸ γὰρ οἴνου γίγνεται
καὶ θυροκοπῆcαι καὶ πατάξαι καὶ βαλεῖν,
κἄπειτ' ἀποτίνειν ἀργύριον ἐκ κραιπάληc.
Βδ. οὔκ, ἢν ξυνῇc γ' ἀνδράcι καλοῖc τε κἀγαθοῖc.
ἢ γὰρ παρῃτήcαντο τὸν πεπονθότα,
ἢ λόγον ἔλεξαc αὐτὸc ἀcτεῖόν τινα,
Αἰcωπικὸν γέλοιον ἢ Cυβαριτικόν,
ὧν ἔμαθεc ἐν τῷ cυμποcίῳ· κᾆτ' εἰc γέλων
τὸ πρᾶγμ' ἔτρεψαc, ὥcτ' ἀφεὶc c' ἀποίχεται.
Φι. μαθητέον τἄρ' ἐcτὶ πολλοὺc τῶν λόγων,
εἴπερ ἀποτείcω μηδέν, ἤν τι δρῶ κακόν.
ἄγε νυν, ἴωμεν· μηδὲν ἡμᾶc ἰcχέτω.

Χο. πολλάκιc δὴ 'δοξ' ἐμαυτῷ
δεξιὸc πεφυκέναι καὶ cκαιὸc οὐδεπώποτε·
ἀλλ' Ἀμυνίαc ὁ Cέλλου μᾶλλον, οὑκ τῶν Κρωβύλου,
οὗτοc ὅν γ' ἐγώ ποτ' εἶδον
ἀντὶ μήλου καὶ ῥοᾶc δει-
πνοῦντα μετὰ Λεωγόρου· πεινῇ γὰρ ἧπερ Ἀντιφῶν·
ἀλλὰ πρεcβεύων γὰρ εἰc Φάρcαλον ᾤχετ'·
εἶτ' ἐκεῖ μόνοc μόνοιc
τοῖc Πενέcταιcι ξυνῆν τοῖc
Θετταλῶν, αὐτὸc πενέcτηc ὢν ἐλάττων οὐδενόc.

ὦ μακάρι' Αὐτόμενεc, ὥc cε μακαρίζομεν. [cτρ.
παῖδαc ἐφύτευcαc ὅτι χειροτεχνικωτάτουc·

1253 *γίγνεται* Brunck: *γίνεται* codd. 1254 *πατάξαι* L s.l., B, v.l. ap. sch.: *κατάξαι* RVΓ, L in linea 1256 *γ'* R: om. cett. 1262 *τἄρ'* Hermann, Elmsley: *γ' ἄρ'* L: *γ' ἄρα* R: *ἄρα* V: *γ' ἄρ δ'* Γ 1263 *εἴπερ* VΓ: *εἴπερ γ'* RL *ἀποτείcω* van Leeuwen: *ἀποτίcω* codd. 1264 v. Bdelycleoni tribuit Bergk 1265 *'δοξ' ἐμαυτῷ* R: *'δοξα 'μαυτῷ* cett. 1267 *Κρωβύλου*] *Κρωβύλων* V, Su. α 1677 1268 *ὅν γ'* R: *ὅν* Γ: *ὧν* V: *ὅντιν'* L 1272 *μόνοιc*] *μόνοιcι* L

πρῶτα μὲν ἅπαϲι φίλον ἄνδρα τε ϲοφώτατον,
τὸν κιθαραοιδότατον, ᾧ χάριϲ ἐφέϲπετο·
τὸν δ' ὑποκριτὴν ἕτερον ἀργαλέον ὡϲ ϲοφόν·
εἶτ' Ἀριφράδη πολύ τι θυμοϲοφικώτατον,
ὅντινά ποτ' ὤμοϲε μαθόντα παρὰ μηδενόϲ
{ἀλλ' ἀπὸ ϲοφῆϲ φύϲεωϲ αὐτόματον ἐκμαθεῖν}
γλωττοποιεῖν εἰϲ τὰ πορνεῖ' εἰϲιόνθ' ἑκάϲτοτε.

⟨– ⏑ ⏑⏑ – ⏑ – ⏑ ⏑⏑ – ⏑ –⟩ [ἀντ.
εἰϲί τινεϲ οἵ μ' ἔλεγον ὡϲ καταδιηλλάγην,
ἡνίκα Κλέων μ' ὑπετάραττεν ἐπικείμενοϲ
καί με κακίϲαϲ ἔκνιϲε· κᾆθ', ὅτ' ἀπεδειρόμην,
οὑκτὸϲ ἐγέλων μέγα κεκραγότα θεώμενοι,
οὐδὲν ἄρ' ἐμοῦ μέλον, ὅϲον δὲ μόνον εἰδέναι
ϲκωμμάτιον εἴποτέ τι θλιβόμενοϲ ἐκβαλῶ.
ταῦτα κατιδὼν ὑπό τι μικρὸν ἐπιθήκιϲα·
εἶτα νῦν ἐξηπάτηϲεν ἡ χάραξ τὴν ἄμπελον.

Ξα. ἰὼ χελῶναι μακάριαι τοῦ δέρματοϲ,
{καὶ τριϲμακάριαι τοῦ 'πὶ ταῖϲ πλευραῖϲ}
ὡϲ εὖ κατηρέψαϲθε καὶ νουβυϲτικῶϲ
κεράμῳ τὸ νῶτον, ὥϲτε τὰϲ πλευρὰϲ ϲτέγειν.
ἐγὼ δ' ἀπόλωλα ϲτιζόμενοϲ βακτηρίᾳ.
Χο. τί δ' ἐϲτίν, ὦ παῖ; παῖδα γάρ, κἂν ᾖ γέρων,
καλεῖν δίκαιον ὅϲτιϲ ἂν πληγὰϲ λάβῃ.
Ξα. οὐ γὰρ ὁ γέρων ἀτηρότατον ἄρ' ἦν κακὸν
καὶ τῶν ξυνόντων πολὺ παροινικώτατοϲ;
καίτοι παρῆν Ἵππυλλοϲ, Ἀντιφῶν, Λύκων,

1280 *Ἀριφράδη* Elmsley: *-δην* codd. 1282 v. del. Bothe post v. 1283 lacunam exstare affirmant sch. VΓ, locum parum perspicuum esse in exemplaribus suis testatur Heliodorus ap. sch. V 1285 *ὑπετάραττεν* ΓL: *ὑπερτάραττεν* RV 1286 *με*] *τι* Handley *κακίϲαϲ* Briel: *κακίϲταιϲ* codd. 1287 *οὑκτὸϲ* Dindorf: *οἱ 'κτὸϲ* L: *ἐκτὸϲ* cett. *θεώμενοι* L: *μ' οἱ θεώμενοι* cett. 1290 *ταῦτα* L: *ταυτὶ* cett. 1291 *ἐξηπάτηϲεν*] *-ηκεν* Richter 1293 v. om. Γ, del. Willems; post *πλευραῖϲ* add. *ϲτέγειν* R, *ἐμαῖϲ* L, ⟨*τέγουϲ*⟩ Bentley 1295 *πλευρὰϲ*] *πληγὰϲ* L s.l., B 1297 *ᾖ* L, Su. π 835: *ᾗϲ* cett.

*Λυσίστρατος, Θούφραστος, οἱ περὶ Φρύνιχον.*
*τούτων ἁπάντων ἦν ὑβριστότατος μακρῷ.*
*εὐθὺς γὰρ ὡς ἐνέπλητο πολλῶν κἀγαθῶν,*
*ἀνήλατ', ἐσκίρτα, 'πεπόρδει, κατεγέλα,*
*ὥσπερ καχρύων ὀνίδιον εὐωχημένον,*
*κἄτυπτε δή με νεανικῶς "παῖ παῖ" καλῶν.*
*εἶτ' αὐτόν, ὡς εἶδ', ᾔκασεν Λυσίστρατος·*
*"ἔοικας, ὦ πρεσβῦτα, νεοπλούτῳ Φρυγὶ*
*κλητῆρί τ' εἰς ἀχυρὸν ἀποδεδρακότι."*
*ὁ δ' ἀνακραγὼν ἀντῄκασ' αὐτὸν πάρνοπι*
*τὰ θρῖα τοῦ τρίβωνος ἀποβεβληκότι,*
*Σθενέλῳ τε τὰ σκευάρια διακεκαρμένῳ.*
*οἱ δ' ἀνεκρότησαν, πλήν γε Θουφράστου μόνου·*
*οὗτος δὲ διεμύλλαινεν, ὡς δὴ δεξιός.*
*ὁ γέρων δὲ τὸν Θούφραστον ἤρετ'· "εἰπέ μοι,*
*ἐπὶ τῷ κομᾷς καὶ κομψὸς εἶναι προσποιεῖ,*
*κωμῳδολοιχῶν περὶ τὸν εὖ πράττοντ' ἀεί;"*
*τοιαῦτα περιύβριζεν αὐτοὺς ἐν μέρει,*
*σκώπτων ἀγροίκως καὶ προσέτι λόγους λέγων*
*ἀμαθέστατ' οὐδὲν εἰκότας τῷ πράγματι.*
*ἔπειτ', ἐπειδὴ 'μέθυεν, οἴκαδ' ἔρχεται*
*τύπτων ἅπαντας, ἤν τις αὐτῷ ξυντύχῃ.*
*ὁδὶ δὲ καὶ δὴ σφαλλόμενος προσέρχεται.*
*ἀλλ' ἐκποδὼν ἄπειμι πρὶν πληγὰς λαβεῖν.*

*Φι.* *ἄνεχε, πάρεχε.*
*κλαύσεταί τις τῶν ὄπισθεν ἐπακολουθούντων ἐμοί·*
*οἷον, εἰ μὴ 'ρρήσεθ', ὑμᾶς,*
*ὦ πόνηροι, ταυτηὶ τῇ δᾳδὶ φρυκτοὺς σκευάσω.*

1305 *ἀνήλατ'* Lenting: *ἐνήλ(λ)ατ'* codd. 1307 *δή με Γ* manu recentiore, L: *ἐμὲ* cett. 1309 *Φρυγὶ* Kock: *τρυγὶ* codd. 1310 *ἀχυρὸν* RV: *ἀχυρῶν' Γ*[1]: *ἀχυρῶνας Γ*[2]L: *ἀχυρμὸν* Dindorf 1324 *καὶ δὴ* B: *δὴ καὶ* RΓL: *καὶ* V 1330 *ταυτηὶ* Bentley: *ταύτῃ* codd.

ΑΝΗΡ

ἦ μὴν ϲὺ δώϲειϲ αὔριον τούτων δίκην
ἡμῖν ἅπαϲιν, κεἰ ϲφόδρ' εἶ νεανίαϲ.
ἀθρόοι γὰρ ἥξομέν ϲε προϲκαλούμενοι.

Φι. ἰηῦ ἰηῦ, "καλούμενοι".
ἀρχαῖά γ' ὑμῶν. ἆρά γ' ἴϲθ' ὡϲ οὐδ' ἀκούων ἀνέχομαι
δικῶν; ἰαιβοῖ αἰβοῖ.
τάδε μ' ἀρέϲκει· βάλλε κημούϲ.
οὐκ ἄπει; ποῦ 'ϲτ' ἡλιαϲτήϲ; ἐκποδών.
ἀνάβαινε δεῦρο, χρυϲομηλολόνθιον,
τῇ χειρὶ τουδὶ λαβομένη τοῦ ϲχοινίου.
ἔχου· φυλάττου δ', ὡϲ ϲαπρὸν τὸ ϲχοινίον·
ὅμωϲ γε μέντοι τριβόμενον οὐκ ἄχθεται.
ὁρᾷϲ ἐγώ ϲ' ὡϲ δεξιῶϲ ὑφειλόμην
μέλλουϲαν ἤδη λεϲβιεῖν τοὺϲ ξυμπόταϲ·
ὧν οὕνεκ' ἀπόδοϲ τῷ πέει τῳδὶ χάριν.
ἀλλ' οὐκ ἀποδώϲειϲ οὐδ' ἐφιαλεῖϲ, οἶδ' ὅτι,
ἀλλ' ἐξαπατήϲειϲ κἀγχανεῖ τούτῳ μέγα·
πολλοῖϲ γὰρ ἤδη χἀτέροιϲ αὔτ' ἠργάϲω.
ἐὰν γένῃ δὲ μὴ κακὴ νυνὶ γυνή,
ἐγώ ϲ' ἐπειδὰν οὑμὸϲ υἱὸϲ ἀποθάνῃ,
λυϲάμενοϲ ἕξω παλλακήν, ὦ χοιρίον.
νῦν δ' οὐ κρατῶ 'γὼ τῶν ἐμαυτοῦ χρημάτων·
νέοϲ γάρ εἰμι. καὶ φυλάττομαι ϲφόδρα·
τὸ γὰρ υἵδιον τηρεῖ με, κἄϲτι δύϲκολον
κἄλλωϲ κυμινοπριϲτοκαρδαμογλύφον.
ταῦτ' οὖν περί μου δέδοικε μὴ διαφθαρῶ·
πατὴρ γὰρ οὐδείϲ ἐϲτιν αὐτῷ πλὴν ἐμοῦ.
ὁδὶ δὲ καὐτόϲ· ἐπὶ ϲὲ κἄμ' ἔοικε θεῖν.

1332 *ΑΝΗΡ* MacDowell, duce Tyrwhitt; Bdelycleoni vv. 1332–4 tribuunt RV, nota carent cett. 1335 *ἰηῦ ἰηῦ* West: *ἰὴ ἰεῦ* codd. 1338 *ἰαιβοῖ* RL: om. VΓ 1340 *ἄπει* Weise: *ἄπειϲι* codd. *'ϲτ'* MacDowell, duce Fl. Christiano: *'ϲτιν* codd. 1347 *οὕνεκα* Brunck: *εἵ-* codd. 1348 *οὐδ' ἐφιαλεῖϲ* Eustathius 1403.16: *οὐδὲ φιαλεῖϲ* RVL, Su. φ 282: *οὐδὲ φιαλῶϲ* Γ 1350 *ἠργάϲω* Hall & Geldart: *εἰρ-* fere codd.

ἀλλ' ὡς τάχιστα στῆθι τάσδε τὰς δετὰς
λαβοῦσ', ἵν' αὐτὸν τωθάσω νεανικῶς,
οἵοις ποθ' οὗτος ἐμὲ πρὸ τῶν μυστηρίων.

Βδ. ὦ οὗτος οὗτος, τυφεδανὲ καὶ χοιρόθλιψ,
ποθεῖν ἐρᾶν τ' ἔοικας ὡραίας σοροῦ.
οὔτοι καταπροίξει μὰ τὸν Ἀπόλλω τοῦτο δρῶν.

Φι. ὡς ἡδέως φάγοις ἂν ἐξ ὄξους δίκην.

Βδ. οὐ δεινὰ τωθάζειν σε, τὴν αὐλητρίδα
τῶν ξυμποτῶν κλέψαντα;

Φι. πόθεν; αὐλητρίδα;
τί ταῦτα ληρεῖς ὥσπερ ἀπὸ τύμβου πεσών;

Βδ. νὴ τὸν Δί', αὕτη πού 'στί σοί γ' ἡ Δαρδανίς.

Φι. οὔκ, ἀλλ' ἐν ἀγορᾷ τοῖς θεοῖς δᾲς κάεται.

Βδ. δᾲς ἥδε;

Φι. δᾲς δῆτ'. οὐχ ὁρᾷς ἐσχισμένην;

Βδ. τί δὲ τὸ μέλαν τοῦτ' ἐστὶν αὐτῆς τοὺν μέσῳ;

Φι. ἡ πίττα δήπου καομένης ἐξέρχεται.

Βδ. ὁ δ' ὄπισθεν οὐχὶ πρωκτός ἐστιν οὑτοσί;

Φι. ὄζος μὲν οὖν τῆς δᾳδὸς οὗτος ἐξέχει.

Βδ. τί λέγεις σύ; ποῖος ὄζος; οὐκ εἶ δεῦρο σύ;

Φι. ἆ ἆ, τί μέλλεις δρᾶν;

Βδ. ἄγειν ταύτην λαβὼν
ἀφελόμενός σε καὶ νομίσας εἶναι σαπρὸν
κοὐδὲν δύνασθαι δρᾶν.

Φι. ἄκουσόν νυν ἐμοῦ.
Ὀλυμπίασιν, ἡνίκ' ἐθεώρουν ἐγώ,
Ἐφουδίων ἐμαχέσατ' Ἀσκώνδᾳ καλῶς
ἤδη γέρων ὤν· εἶτα τῇ πυγμῇ θενὼν
ὁ πρεσβύτερος κατέβαλε τὸν νεώτερον.

1365 *ποθεῖν* RL: *ποθεῖς* cett., Su. σ 790, 1263, τ 1209: *νοσεῖν* Starkie: *ποῖ θεῖς;* van Herwerden  *τ'*] *γ'* van Herwerden  1369 *πόθεν;* Dindorf: *ποίαν* codd.: *τὴν* Hermann: *ποίων* Elmsley, qui *ξυμποτῶν* pro *αὐλητρίδα* coniecit  1371 *σοί* L: *τοί* cett.  1372 *κάεται* R: *καίεται* VΓL, Su. δ 18  1373 *ἐσχισμένην* Meineke: *ἐστιγμένην* codd.  1374 *δὲ*] *δαὶ* Su. codd. AFVM  *αὐτῆς*] *αὐτῇ* Blaydes

πρὸϲ ταῦτα τηροῦ μὴ λάβῃϲ ὑπώπια.
Βδ. νὴ τὸν Δί', ἐξέμαθέϲ γε τὴν Ὀλυμπίαν.

ΑΡΤΟΠΩΛΙϹ

ἴθι μοι παράϲτηθ', ἀντιβολῶ, πρὸϲ τῶν θεῶν.
ὁδὶ γὰρ ἀνήρ ἐϲτιν ὅϲ μ' ἀπώλεϲεν
τῇ δᾳδὶ παίων, κἀξέβαλεν ἐντευθενὶ
ἄρτουϲ δέκ' ὀβολῶν κἀπιθήκην τεττάρων.
Βδ. ὁρᾷϲ ἃ δέδρακαϲ; πράγματ' αὖ δεῖ καὶ δίκαϲ
ἔχειν διὰ τὸν ϲὸν οἶνον.
Φι. οὐδαμῶϲ γ', ἐπεὶ
λόγοι διαλλάξουϲιν αὐτὰ δεξιοί·
ὥϲτ' οἶδ' ὁτιὴ ταύτῃ διαλλαχθήϲομαι.
Αρ. οὔτοι μὰ τὼ θεὼ καταπροίξει Μυρτίαϲ
τῆϲ Ἀγκυλίωνοϲ γενομένηϲ καὶ Ϲωϲτράτηϲ,
οὕτω διαφθείραϲ ἐμοῦ τὰ φορτία.
Φι. ἄκουϲον, ὦ γύναι· λόγον ϲοι βούλομαι
λέξαι χαρίεντα.
Αρ. μὰ Δία μὴ 'μοιγ', ὦ μέλε.
Φι. Αἴϲωπον ἀπὸ δείπνου βαδίζονθ' ἑϲπέραϲ
θραϲεῖα καὶ μεθύϲη τιϲ ὑλάκτει κύων.
κἄπειτ' ἐκεῖνοϲ εἶπεν, "ὦ κύον κύον,
εἰ νὴ Δί' ἀντὶ τῆϲ κακῆϲ γλώττηϲ ποθὲν
πυροὺϲ πρίαιο, ϲωφρονεῖν ἄν μοι δοκεῖϲ."
Αρ. καὶ καταγελᾷϲ μου; προϲκαλοῦμαί ϲ', ὅϲτιϲ εἶ,
πρὸϲ τοὺϲ ἀγορανόμουϲ βλάβηϲ τῶν φορτίων,
κλητῆρ' ἔχουϲα Χαιρεφῶντα τουτονί.
Φι. μὰ Δί', ἀλλ' ἄκουϲον, ἤν τί ϲοι δόξω λέγειν.
Λᾶϲόϲ ποτ' ἀντεδίδαϲκε καὶ Ϲιμωνίδηϲ·
ἔπειθ' ὁ Λᾶϲοϲ εἶπεν, "ὀλίγον μοι μέλει."

1386 ὑπώπια] ὑπώπιον V 1391 τεττάρων Dobree] τέτταραϲ codd. 1397 γενομένηϲ Richards: θυγατέροϲ codd. 1401 βαδίζονθ' L, Su. αι 335: -οντ' cett. 1402 ὑλάκτει] ὑλακτεῖ L post 1410 v. excidisse, ex. gr. νικᾶν ἔκριναν οἱ βραβῆϲ Ϲιμωνίδην, coniecit A. Palmer

*Αρ.* ἄληθες, οὗτος;
*Φι.* καὶ cὺ δή μοι, Χαιρεφῶν,
γυναικὶ κλητεύεις ἐοικὼς θαψίνῃ
Ἰνοῖ κρεμαμένῃ πρὸς ποδῶν Εὐριπίδου;
*Βδ.* ὁδί τις ἕτερος, ὡς ἔοικεν, ἔρχεται
καλούμενός cε· τόν γέ τοι κλητῆρ' ἔχει.

ΚΑΤΗΓΟΡΟϹ

οἴμοι κακοδαίμων. προσκαλοῦμαί c', ὦ γέρον,
ὕβρεως.
*Βδ.* ὕβρεως; μὴ μὴ καλέcῃ, πρὸς τῶν θεῶν·
ἐγὼ γὰρ ὑπὲρ αὐτοῦ δίκην δίδωμί coι,
ἣν ἂν cὺ τάξῃς, καὶ χάριν προσείcομαι.
*Φι.* ἐγὼ μὲν οὖν αὐτῷ διαλλαχθήcομαι
ἑκών· ὁμολογῶ γὰρ πατάξαι καὶ βαλεῖν.
ἀλλ' ἐλθὲ δευρί· πότερον ἐπιτρέπεις ἐμοὶ
ὅ τι χρή μ' ἀποτείcαντ' ἀργύριον τοῦ πράγματος
εἶναι φίλον τὸ λοιπόν, ἢ cύ μοι φράσεις;
*Κα.* cὺ λέγε. δικῶν γὰρ οὐ δέομ' οὐδὲ πραγμάτων.
*Φι.* ἀνὴρ Cυβαρίτης ἐξέπεσεν ἐξ ἅρματος,
καί πως κατεάγη τῆς κεφαλῆς μέγα cφόδρα·
ἐτύγχανεν γὰρ οὐ τρίβων ὢν ἱππικῆς.
κἄπειτ' ἐπιστὰς εἶπ' ἀνὴρ αὐτῷ φίλος·
"ἔρδοι τις ἣν ἕκαστος εἰδείη τέχνην."
οὕτω δὲ καὶ cὺ παράτρεχ' εἰς τὰ Πιττάλου.
*Βδ.* ὅμοιά coυ καὶ ταῦτα τοῖς ἄλλοις τρόποις.
*Κα.* ἀλλ' οὖν cὺ μέμνηc' οὗτος ἀπεκρίνατο.
*Φι.* ἄκουε, μὴ φεῦγ'. ἐν Cυβάρει γυνή ποτε

1413 *κλητεύεις* B, Bergler: *-ειν* cett. 1417 *ΚΑΤΗΓΟΡΟϹ* Tyrwhitt: *ἀνήρ τις εὔριπ* (sic) L: om. cett. *οἴμοι*] *ὤμοι* RL 1418 *καλέcῃ* Reiske: *-ῃς* codd. 1423 *πότερον* Bentley: *πρότερον* codd. 1424 *ἀποτείcαντ'* van Leeuwen: *ἀποτίcαντ'* codd. *πράγματος*] *τραύματος* B, Reiske 1428 *μέγα*] *μεγάλ'* (sic) RV: *πάνυ* vel *μάλα* Blaydes 1433 *coυ*] *coι* R 1434 *οὗτος* Meineke: *αὐτὸς* codd.

κατέαξ' ἐχῖνον.<br>
Κα. ταῦτ' ἐγὼ μαρτύρομαι.<br>
Φι. οὑχῖνοϲ οὖν ἔχων τιν' ἐπεμαρτύρατο·<br>
εἶθ' ἡ Ϲυβαρῖτιϲ εἶπεν, "αἰ ναὶ τὰν κόραν<br>
τὰν μαρτυρίαν ταύταν ἐάϲαϲ ἐν τάχει<br>
ἐπίδεϲμον ἐπρίω, νοῦν ἂν εἶχεϲ πλείονα."<br>
Κα. ὕβριζ', ἕωϲ ἂν τὴν δίκην ἄρχων καλῇ.<br>
Βδ. οὔτοι μὰ τὴν Δήμητρ' ἔτ' ἐνταυθοῖ μενεῖϲ,<br>
ἀλλ' ἀράμενοϲ οἴϲω ϲε—<br>
Φι. τί ποιεῖϲ;<br>
Βδ. ὅ τι ποιῶ;<br>
εἴϲω φέρω ϲ' ἐντεῦθεν· εἰ δὲ μή, τάχα<br>
κλητῆρεϲ ἐπιλείψουϲι τοὺϲ καλουμένουϲ.<br>
Φι. Αἴϲωπον οἱ Δελφοί ποτ'—<br>
Βδ. ὀλίγον μοι μέλει.<br>
Φι. φιάλην ἐπῃτιῶντο κλέψαι τοῦ θεοῦ·<br>
ὁ δ' ἔλεξεν αὐτοῖϲ ὡϲ ὁ κάνθαρόϲ ποτε—<br>
Βδ. οἴμ' ὡϲ ἀπολεῖϲ με τοῖϲι ϲοῖϲι κανθάροιϲ.

Χο. ζηλῶ γε τῆϲ εὐτυχίαϲ [ϲτρ.<br>
τὸν πρέϲβυν, οἷ μετέϲτη<br>
ξηρῶν τρόπων καὶ βιοτῆϲ·<br>
ἕτερα δὲ νῦν ἀντιμαθὼν<br>
ἦ μέγα τι μεταπεϲεῖται<br>
ἐπὶ τὸ τρυφῶν καὶ μαλακόν.<br>
τάχα δ' ἂν ἴϲωϲ οὐκ ἐθέλοι.<br>
τὸ γὰρ ἀποϲτῆναι χαλεπὸν<br>
φύϲεωϲ, ἣν ἔχοι τιϲ ἀεί.<br>
καίτοι πολλοὶ ταῦτ' ἔπαθον·

1438–9 *αἰ . . . ταύταν* Blaydes: *εἰ . . . τὴν μαρτυρίαν ταύτην* codd., sed *τὰν* pro *τὴν* P47 1443 *οἴϲω*] *γ' οἴϲω* L: *γ' ἔγωγε* B 1449 *με τοῖϲι ϲοῖϲι* Blaydes: *αὐτοῖϲι τοῖϲ* codd. vett.: *αὐτοῖϲι τοῖϲι* L 1453 *ἀντιμαθὼν*] *ἄρτι μαθὼν* Blaydes 1454 *μεταπεϲεῖται* Dobree: *μέγα πείϲεται* R: *μεταπείϲεται* vel sim. cett. 1455 *τρυφῶν* Dindorf: *τρυφὸν* R: *ῥυφᾶν* V: *τρυφερὸν* L: *τρυφᾶν* Bergk 1458 *φύϲεωϲ* RV, Su. α 3556: *φύϲεοϲ* cett. *ἔχοι* R: *ἔχει* cett., Su.

ξυνόντες γνώμαις ἑτέρων
μετεβάλοντο τοὺς τρόπους.

πολλοῦ δ' ἐπαίνου παρ' ἐμοὶ [ἀντ.
καὶ τοῖcιν εὖ φρονοῦcιν
τυχὼν ἄπειcιν διὰ τὴν
φιλοπατρίαν καὶ cοφίαν
ὁ παῖc ὁ Φιλοκλέωνοc.
οὐδενὶ γὰρ οὕτωc ἀγανῷ
ξυνεγενόμην, οὐδὲ τρόποιc
ἐπεμάνην οὐδ' ἐξεχύθην.
τί γὰρ ἐκεῖνοc ἀντιλέγων
οὐ κρείττων ἦν, βουλόμενοc
τὸν φύcαντα cεμνοτέροιc
κατακοcμῆcαι πράγμαcιν;

Ξα. νὴ τὸν Διόνυcον, ἄπορά γ' ἡμῖν πράγματα
δαίμων τιc εἰcκεκύκληκεν εἰc τὴν οἰκίαν.
ὁ γὰρ γέρων, ὡc ἔπιε διὰ πολλοῦ χρόνου
ἤκουcέ τ' αὐλοῦ, περιχαρὴc τῷ πράγματι
ὀρχούμενοc τῆc νυκτὸc οὐδὲν παύεται
τἀρχαῖ' ἐκεῖν' οἷc Θέcπιc ἠγωνίζετο·
καὶ τοὺc τραγῳδούc φηcιν ἀποδείξειν Κρόνουc
τοὺc νῦν διορχηcάμενοc ὀλίγον ὕcτερον.
Φι. τίc ἐπ' αὐλείοιcι θύραιc θάccει;
Ξα. τουτὶ καὶ δὴ χωρεῖ τὸ κακόν.
Φι. κλῇθρα χαλάcθω τάδε. καὶ δὴ γὰρ
cχήματοc ἀρχὴ—
Ξα. μᾶλλον δέ γ' ἴcωc μανίαc ἀρχή.

1461 μετεβάλοντο Vp3: -βαλον Su.: -βάλλοντο RVL 1464 ἄπειcιν L: ἄπειcι cett. 1473 κατακοcμῆcαι dubium propter numeros: κατακηλῆcαι v.l. ap. sch. V: κατακομῆcαι Meineke 1474 ante πράγματα add. τὰ codd. vett.: om. L et Su. ει 281 1475 εἰcκεκύκληκεν] εἰcκεκύλικεν Reiske 1478 παύεται V: παύcεται RL 1481 τοὺc νῦν Bentley: τὸν νοῦν codd.

Φι. —πλευρὰν λυγίϲαντοϲ ὑπὸ ῥύμηϲ·
οἷον μυκτὴρ μυκᾶται καὶ
ϲφόνδυλοϲ ἀχεῖ.
Ξα. πῖθ' ἐλλέβορον.
Φι. πτήϲϲει Φρύνιχοϲ ὥϲ τιϲ ἀλέκτωρ—
Ξα. τάχα βαλλήϲει.
Φι. —ϲκέλοϲ οὐρανίαν ἐκλακτίζων.
πρωκτὸϲ χάϲκει·—
Ξα. κατὰ ϲαυτὸν ὅρα.
Φι. νῦν γὰρ ἐν ἄρθροιϲ τοῖϲ ἡμετέροιϲ
ϲτρέφεται χαλαρὰ κοτυληδών.
οὐκ εὖ;
Ξα. μὰ Δί' οὐ δῆτ', ἀλλὰ μανικὰ πράγματα.
Φι. φέρε νυν ἀνείπω κἀνταγωνιϲτὰϲ καλῶ.
εἴ τιϲ τραγῳδόϲ φηϲιν ὀρχεῖϲθαι καλῶϲ,
ἐμοὶ διορχηϲόμενοϲ ἐνθάδ' εἰϲίτω.
φηϲίν τιϲ ἢ οὐδείϲ;
Ξα. εἷϲ γ' ἐκεινοϲὶ μόνοϲ.
Φι. τίϲ ὁ κακοδαίμων ἐϲτίν;
Ξα. υἱὸϲ Καρκίνου
ὁ μέϲατοϲ.
Φι. ἀλλ' οὗτόϲ γε καταποθήϲεται·
ἀπολῶ γὰρ αὐτὸν ἐμμελείᾳ κονδύλου.
ἐν τῷ ῥυθμῷ γὰρ οὐδέν ἐϲτ'.
Ξα. ἀλλ', ᾧζυρέ,
ἕτεροϲ τραγῳδὸϲ Καρκινίτηϲ ἔρχεται,
ἀδελφὸϲ αὐτοῦ.
Φι. νὴ Δί' ὠψώνηκ' ἄρα.
Ξα. μὰ τὸν Δί' οὐδέν γ' ἄλλο πλὴν τρεῖϲ καρκίνουϲ·
προϲέρχεται γὰρ ἕτεροϲ αὖ τῶν Καρκίνου.

1487 ῥύμηϲ Lobeck: ῥώμηϲ codd. 1491 βαλλήϲει Dindorf: -ήϲῃ R: -ήϲειϲ cett. 1492 οὐρανίαν Meineke, cf. sch. RV et Hsch. s.v.: οὐράνιον RV: οὐράνιόν γ' L 1496 μὰ Δί' κτλ. servo tribuit sch. 1502 μέϲατοϲ] μεϲαίτατοϲ R 1506 ὠψώνηκ' Musurus: ὀψώνηκ' codd. 1507 τρεῖϲ Badham: γε codd.

Φι. τουτὶ τί ἦν τὸ προcέρπον; ὀξὶc ἢ φάλαγξ;
Ξα. ὁ πινοτήρηc οὗτόc ἐcτι τοῦ γένουc,
ὁ cμικρότατοc, ὃc τὴν τραγῳδίαν ποιεῖ.
Φι. ὦ Καρκίν', ὦ μακάριε τῆc εὐπαιδίαc,
ὅcον τὸ πλῆθοc κατέπεcεν τῶν ὀρχίλων.
ἀτὰρ καταβατέον γ' ἐπ' αὐτούc μοι· cὺ δὲ
ἅλμην κύκα τούτοιcιν, ἢν ἐγὼ κρατῶ.

Χο. φέρε νυν ἡμεῖc αὐτοῖc ὀλίγον ξυγχωρήcωμεν ἅπαντεc,
ἵν' ἐφ' ἡcυχίαc ἡμῶν πρόcθεν βεμβικίζωcιν ἑαυτούc.

ἄγ', ὦ μεγαλώνυμα τέκνα τοῦ θαλαccίοιο, [cτρ.
πηδᾶτε παρὰ ψάμαθον
καὶ θῖν' ἁλὸc ἀτρυγέτοιο, καρίδων ἀδελφοί·
ταχὺν πόδα κυκλοcοβεῖτε, καὶ τὸ Φρυνίχειον
ἐκλακτιcάτω τιc, ὅπωc
ἰδόντεc ἄνω cκέλοc ὤζωcιν οἱ θεαταί.
cτρόβει· περίβαινε κύκλῳ καὶ γάcτριcον cεαυτόν,
ῥῖπτε cκέλοc οὐράνιον· βέμβικεc ἐγγενέcθων.
καὐτὸc γὰρ ὁ ποντομέδων ἄναξ πατὴρ προcέρπει
ἡcθεὶc ἐπὶ τοῖcιν ἑαυτοῦ παιcὶ τοῖc τριόρχοιc.
ἀλλ' ἐξάγετ', εἴ τι φιλεῖτ', ὀρχούμενοι, θύραζε
ἡμᾶc ταχύ· τοῦτο γὰρ οὐδείc πω πάροc δέδρακεν,
ὀρχούμενον ὅcτιc ἀπήλλαξεν χορὸν τρυγῳδῶν.

1509 ὀξὶc] ὦτοc Borthwick: ὦτὶc Meineke: ὄφιc ἐcτ' Blaydes φάλαγξ] φάλαξ R: cφάλαξ Borthwick 1511 v. del. Hamaker τὴν] δὴ vel καὶ Blaydes 1514 μοι· cὺ δὲ Hermann: μ'· ὤζυρέ vel sim. codd. 1519 θαλαccίοιο Burges: θαλαc(c)ίου codd.: θαλαccίου θεοῦ Bergk 1523 πόδα κυκλοcοβεῖτε Dindorf: πόδ' ἐν κύκλῳ cοβεῖτε (cτροβεῖτε V) codd. 1529 περίβαινε Blaydes: παράβαινε codd. 1534 τοῖc L: τοῖcι cett. 1537 ὀρχούμενον VL: -μενοc RΓ ὅcτιc] τιc R

*This page intentionally left blank*

*EIPHNH*

# PAPYRI

| | |
|---|---|
| P. Berol. 21223, saec. VI (vv. 141–52, 175, 178–87, 194–200) | (P67) |
| P. Duke inv. 643, saec. III (vv. 474, 476, 507–23) | (P70) |
| P. Oxy. 1373, saec. V (vv. 1328–38) | (P20) |
| P. Oxy. 4514, saec. IV (vv. 1195–1211, 1233–47) | (P77) |
| P. S. I. 720, saec. III (vv. 721–47, 749–68, 776–802, 805–27) | (P11) |
| P. Vindob. 29354, saec. V (vv. 609–19, 655–67) | (P61) |
| P. Vindob. 29780, saec. V (vv. 410–15, 457–66) | (P66) |

# CODICES

| | |
|---|---|
| R | Ravennas 429 |
| V | Marcianus gr. 474 |
| *Γ* | Laurentianus 31.15 (vv. 378–490, 548–837, 893–947, 1012–1126, 1190–1300) |
| L | Holkhamensis gr. 88 (vv. 1–947, 1012–1268) |
| C | Parisinus gr. 2717 |
| H | Hauniensis 1980 |
| P | Vaticanus Palatinus gr. 67 |
| p | consensus codicum CHP (vv. 1–947, 1012–1367) |

*Rarius citatur*

| | |
|---|---|
| B | Parisinus gr. 2715 |

# ΥΠΟΘΕϹΕΙϹ

## I

Ἤδη τῷ Πελοποννηϲιακῷ πολέμῳ κεκμηκότας τοὺϲ Ἀθηναίουϲ καὶ τοὺϲ cύμπαντας Ἕλληνας Ἀριϲτοφάνηϲ ἰδών, ἱκανὸϲ γὰρ διιππεύκει πολεμούντων αὐτῶν χρόνοϲ, τὸ δρᾶμα cυνέγραψε τοῦτο προτρέπων τὰϲ πόλειϲ καταθέϲθαι μὲν τὴν πρὸϲ αὐτὰϲ φιλονεικίαν, ὁμόνοιαν δὲ καὶ εἰρήνην ἀντὶ τῆϲ πρότερον ἔχθραϲ ἑλέϲθαι. παρειϲάγει τοίνυν γεωργὸν Τρυγαῖον τοὔνομα μάλιϲτα τῆϲ εἰρήνηϲ ἀντιποιούμενον, ὃϲ ἀϲχάλλων ἐπὶ τῷ πολέμῳ εἰϲ οὐρανὸν ἀνελθεῖν ἐβουλεύϲατο πρὸϲ τὸν Δία πευϲόμενοϲ παρ' αὐτοῦ, δι' ἣν αἰτίαν οὕτωϲ ἐκτρύχει τὰ τῶν Ἑλλήνων πράγματα τοϲοῦτον ποιήϲαϲ πόλεμον αὐτοῖϲ. ὃν δὴ διαποροῦντα τίνα τρόπον τὴν εἰϲ οὐρανὸν πορείαν ποιήϲει, παρειϲάγει τρέφοντα κάνθαρον ὡϲ ἀναπτηϲόμενον εἰϲ οὐρανὸν δι' αὐτοῦ Βελλεροφόντου δίκην. προλογίζουϲι δὲ οἱ δύο θεράποντεϲ αὐτοῦ, οἷϲ καὶ ἐκτρέφειν προϲετέτακτο τὸν κάνθαρον, δυϲφοροῦντεϲ ἐπὶ τοῖϲ αὐτοῦ ϲιτίοιϲ. ἡ δὲ ϲκηνὴ τοῦ δράματοϲ ἐκ μέρουϲ μὲν ἐπὶ τῆϲ γῆϲ, ἐκ μέρουϲ δὲ ἐπὶ τοῦ οὐρανοῦ. ὁ δὲ χορὸϲ ϲυνέϲτηκεν ἔκ τινων ἀνδρῶν Ἀττικῶν γεωργῶν.

Argumenta sic in codicibus disposita sunt: R: I, II; V: I II III IV; Γ: I II III; L: III I II     I. 1 κεκμηῶταϲ R     3 ἱκανῶϲ Γ     5 αυ- R sine spiritu: αὐ- V: ἀλλήλαϲ ΓL: ἀλλήλουϲ Ald.     τῆϲ om. L     6 πρότερον RV: προτέραϲ ΓL πρότερον RV: προτέραϲ ΓL τινα post γεωργὸν add. ΓL 10 ἐκτρύχει Kuster: ἐκτρέχει codd.   ποιήϲαϲ RV: ποιήϲαντα ΓL 12 τὸν ante οὐρανὸν add. L   ποιήϲει RL: ποιήϲοι VΓ: ποιήϲῃ van Herwerden     13 ἀναπτηϲϲόμενον ΓL     15 δυϲφοροῦντοϲ V 16 ϲίτοιϲ L

## II

*Φέρεται ἐν ταῖc διδαcκαλίαιc δεδιδαχὼc ⟨ἑτέραν⟩ Εἰρήνην ὁμοίωc ὁ Ἀριcτοφάνηc. ἄδηλον οὖν, φηcὶν Ἐρατοcθένηc, πότερον τὴν αὐτὴν ἀνεδίδαξεν ἢ ἑτέραν καθῆκεν, ἥτιc οὐ cῴζεται. Κράτηc μέντοι δύο οἶδε δράματα γράφων οὕτωc· "ἀλλ' οὖν γε ἐν τοῖc Ἀχαρνεῦcιν ἢ Βαβυλωνίοιc, ἢ ἐν τῇ ἑτέρᾳ Εἰρήνῃ". καὶ cποράδην δέ τινα ποιήματα παρατίθεται, ἅπερ ἐν τῇ νῦν φερομένῃ οὐκ ἔcτιν.*

## III

*Τρυγαῖοc ἄγροικοc πρεcβύτηc Ἀθήνηcιν ὀχούμενοc ἐπὶ κανθάρου ὑπὲρ τῆc Ἑλλάδοc εἰc τὸν οὐρανὸν ἀναφέρεται. γενόμενοc δὲ κατὰ τὴν τοῦ Διὸc οἰκίαν ἐντυγχάνει τῷ Ἑρμῇ, καὶ ἀκούcαc ὅτι μετοικιcαμένων τῶν θεῶν εἰc τὰ τοῦ οὐρανοῦ ἀνωτάτω διὰ τὴν τῶν Ἑλλήνων ἀλληλοκτονίαν ἐνοικιcάμενοc ὁ Πόλεμοc εἰc ἄντρον τὴν Εἰρήνην εἵρξαc λίθουc ἐπιφορήcειε καὶ νῦν μέλλει τὰc πόλειc ἐμβαλὼν ἐν θυείᾳ τρίβειν, καὶ μέχρι μέν τινοc ἐναγώνιοc γίνεται, ἐπεὶ δὲ μεταπεμπομένου τοῦ*

II. 1 *φέρεται*] *φαίνεται* V *δεδιδαχὼc ... Ἀριcτοφάνηc*] *ὅτι καὶ ἑτέραν δεδίδαχεν ὁμοίωc Ἀριcτοφάνηc Εἰρήνην Γ* et nisi quod *ὁμοίωc δεδίδαχεν* hoc ordine praebet L, unde *⟨ἑτέραν⟩ Εἰρήνην* Olson: *Εἰρήνην ⟨β'⟩* Rutherford: *⟨δὶc⟩ δεδιχακὼc* Dindorf 2 *ὁμοίωc*] *ὁμωνύμωc* Dindorf *Ἀριcτοφάνηc* post *φηcὶν* $R^{ac}$ 4 *οἶδε* $V^{pc}$*Γ*L: *οἶδεν* R$V^{ac}$: *εἶπε* Ald. *γε ἐν* RV: *γε ἐνὶ Γ*: *γε ἐπὶ* L 6 *δέ* R: *διά* V*Γ*L *περιτίθεται Γ*L
III Titulum *ἄλλοc ὑπόθεcιc Εἰρήνηc* praefix. V*Γ*: *Ἀριcτοφάνουc γραμματικοῦ ὑπόθεcιc Εἰρήνηc* L 1 *τοῦ* ante *κανθάρου* add. *Γ* 2 *ἀναφέρεται Γ*L: *ἀναφερόμενοc* V 4 *μετοικιcαμένων* L: *μετοικηcαμένων* V*Γ* 5 *ἐνοικιcάμενοc Γ*: *ἐνοικηcάμενοc* V: *ἐνοικήcαc* L 6 *ὁ Πόλεμοc ... τὴν Εἰρήνην*] *εἰc ἄντρον τὴν Εἰρήνην ὁ Πόλεμοc Γ* post *ἄντρον* add. *τι* L *εἵρξαc*] *καὶ καθείρξαc* L *ἐπιφορήcειε* V: *ἐπεφόρηcε* L: *ἐπεφόρηcεν Γ* 7 *ἐκβαλὼν* L *καὶ* om. *Γ*L 7–8 *μέχρι ... γίνεται* om. L 8 post *ἐνα-* defic. *Γ* 8–12 *ἐπεὶ δὲ μεταπεμπομένων Παναθηναίων τοῦ Πολέμου δοίδυκα Κλέωνα καὶ παρὰ Λακ* [lacunam ab librario indicatam ita supplevit $L^{2mg}$ *αδαιμονίων* [sic] *ἐν Θρᾴκῃ τὸν*] *Βραcίδα, ἑκάτεροι χρήcαντεc ἀπολωλεκέναι εἰc Θρᾴκην ἔφαcαν. καὶ παραcκευῆc δοίδυκοc ὁ Πόλεμοc γίνεται* L hic deficiens

Πολέμου παρὰ Ἀθηναίων δοίδυκα Κλέωνα καὶ παρὰ Λακεδαιμονίων Βραςίδαν ἑκάτεροι χρήςαντες ἀπολωλεκέναι εἰς Θράκην ἔφαςαν, ἀναθαρρεῖ· καὶ ἐν ᾧ περὶ καταςκευὴν δοίδυκος ὁ Πόλεμος γίνεται, κηρύττει τοὺς δημιουργούς, ἔτι δὲ καὶ ⟨γεωργοὺς καὶ⟩ ἐμπόρους ἅμα⟨ς⟩, μόχλους καὶ ςχοινία λαβόντας παραγενέςθαι. ςυνδραμόντων δὲ πολλῶν ἐν χοροῦ ςχήματι προθύμως, ἀφέλκει τε τοὺς λίθους ἀπὸ τοῦ ἄντρου, καὶ καθικετεύςας τὸν Ἑρμῆν ςυλλαβέςθαι ἐξάγει πρὸς τὸ φῶς τὴν Εἰρήνην. ἀςμένως δὲ τῆς θεοῦ πᾶςιν ὀφθείςης καὶ παρ' αὐτὴν εὐθέως Ὀπώρας τε καὶ Θεωρίας ἀναφανειςῶν, ςυμπαρὼν ὁ Ἑρμῆς ἀνιςτορούςης τι τῆς Εἰρήνης καὶ πυνθανομένης τι ⟨ταύτῃ⟩ τὰ παρὰ τοῦ Τρυγαίου διαςαφεῖ. ⟨εἶ⟩τα δέ, ὡ⟨ς⟩ πάλιν ἀποφαινομένης, πρὸς τοῦτο⟨ν⟩ μηνύει, προδιελθόντος αὐτοῦ καὶ περὶ τῆς ἀρχῆς τοῦ πολέμου καὶ δι' ἃς αἰτίας ςυνέςτη, Φειδίου τε καὶ Περικλέους μνηςθέντος. τὰ λοιπὰ τοῦ δράματος ἐπὶ τῆς γῆς ἤδη περαίνεται, καὶ ὁ μὲν χορὸς περὶ τῆς τοῦ ποιητοῦ τέχνης χἀτέρων τινῶν πρὸς τοὺς θεατὰς διαλέγεται, ὁ δὲ Τρυγαῖος, καθὰ ςυνέταξεν ὁ Ἑρμῆς, ⟨τὴν μὲν Θεωρίαν⟩ τῇ βουλῇ ςυνίςτηςιν, αὐτὸς δὲ τὴν Ὀπώραν γαμεῖν διαγνοὺς τὴν Εἰρήνην ἱδρύεται, καὶ θύςας ἐν τῷ προφανεῖ πρὸς εὐωχίαν τρέπεται. τοὐντεῦθεν οἵ τε τῶν εἰρηνικῶν ὅπλων δημιουργοὶ ⟨παραγίνονται⟩ χαίροντες καὶ οἱ τῶν πολεμικῶν τοὔμπαλιν κλάοντες. εἰςάγεται δὲ καὶ ἐπὶ τέλει τοῦ λόγου παιδία τινὰ τῶν κεκλημένων ἐπὶ τὸ δεῖπνον λέγοντα ῥήςεις γελωτοποιούς. τὸ δὲ δρᾶμα τῶν ἄγαν ἐπιτετευγμένων. τὸ δὲ κεφάλαιον τῆς κωμῳδίας ἐςτὶ τοῦτο· ςυμβουλεύει Ἀθηναίοις ςπείςαςθαι πρὸς Λακεδαιμονίους καὶ τοὺς ἄλλους

13 *γεωργοὺς καὶ* add. Olson, cf. Platnauer   *ἅμας καὶ* van Herwerden: *ἅμα* V   15 *ἀφέλκει* Dindorf: *ἀφέλκειν* V   19 *τι* Olson: *τε* V   *ταύτῃ* add. Olson   *εἶτα δέ, ὡς* van Leeuwen: *ταδέω* V   21 *ἀποφαινομένης*] *ἄλλο ἀνερομένης* van Leeuwen   22 *τοῦτον* Holwerda: *τοῦτο* V   27 suppl. Bekker   *ςυνίςτηςιν* Olson: *ςυνέςτηςεν* V   28 *θύςας* Meineke: *οὔςας* V   30 *δημιουργοὶ* Dindorf: *γεωργοὶ* V   suppl. van Leeuwen, sed nimis Attice (*-γίγν-*)   33 *ἐπιτετευγμένων*] *ἐπιτετηδευμένων* Dindorf

*Ἕλληνας. οὐ τοῦτο δὲ μόνον ὑπὲρ εἰρήνης Ἀριστοφάνης τὸ δρᾶμα τέθεικεν, ἀλλὰ καὶ τοὺς Ἀχαρνεῖς καὶ τοὺς Ἱππέας καὶ ⟨τὰς⟩ Ὁλκάδας, καὶ πανταχοῦ τοῦτο ἐσπούδακεν, τὸν δὲ Κλέωνα κωμῳδῶν τὸν ἀντιλέγοντα καὶ Λάμαχον τὸν φιλοπόλεμον ἀεὶ διαβάλλων. διὸ καὶ νῦν διὰ τούτου τοῦ δράματος εἰρήνης αὐτοὺς ἐπιθυμεῖν ποιεῖ, δεικνὺς ὁπόσα μὲν ὁ πόλεμος κακὰ ἐργάζεται, ὅσα δὲ ἀγαθὰ ἡ εἰρήνη ποιεῖ. οὐ μόνος δὲ περὶ τῆς εἰρήνης συνεβούλευσεν, ἀλλὰ καὶ ἄλλοι πολλοὶ ποιηταί. οὐδὲν γὰρ συμβούλων διέφερον, ὅθεν αὐτοὺς καὶ διδασκάλους ὠνόμαζον, ὅτι πάντα τὰ πρόσφορα διὰ δραμάτων αὐτοὺς ἐδίδασκον.*

*ἐνίκησε δὲ [τῷ δράματι ὁ ποιητὴς] ἐπὶ ἄρχοντος Ἀλκαίου ἐν ἄστει· πρῶτος Εὔπολις Κόλαξι, δεύτερος Ἀριστοφάνης Εἰρήνῃ, τρίτος Λεύκων Φράτορσι. τὸ δὲ δρᾶμα ὑπεκρίνατο Ἀπολλόδωρος †ἡνίκα Ἑρμῆν Λοιοκρότης†.*

## IV

*Τῷ Διὶ φράσαι σπεύδων τὰ κατ' ἀνθρώπους ⟨κακά⟩*
*Τρυγαῖος ⟨ἀναβῆναί τε⟩ θέλων ὡς τοὺς θεούς*
*ἐξέτρεφεν ὄρνιθ'· ὡς δ' ἀνέπτη, κατέλαβεν*
*⟨Ἑρ⟩μῆν μόνον ἄνω. κᾆτ' ἐπιδείκνυσιν φράσας*
*τὸν Πόλεμον †βρυθῆται ἀπηρτημένον*

37 *τέθεικεν*] *καθῆκεν* Dindorf: *συντέθεικεν* van Herwerden 38 suppl. van Leeuwen *δὲ*] *τε* van Leeuwen 43 *τῆς* del. Dindorf 44 *αὐτοὺς*] *αὑτοὺς* van Herwerden 45 *ὠνόμαζον* van Herwerden: *ὠνόμαζεν* V *ὅτι* Dindorf: *ὅθεν* V 46 *ἐδίδασκον* van Herwerden: *ἐδίδασκεν* V 47 *ἐνίκησε*] *ἐνίησε* Gröbl *τῷ δράματι ὁ ποιητὴς* del. Olson 48 *πρῶτος* Dindorf: *πρῶτον* V *δεύτερος Ἀριστοφάνης* Dindorf: *δεύτερον Ἀριστοφάνους* V 50 *ἡνίκα Ἑρμῆν Λοιοκρότης* V: *ἡνίκα Ἑρμῆν Καλλίστρατος* Ranke: *ἐνίκα Ἕρμων ὑποκριτής* Rose: alii alia: *Ἰσοκράτης? Λακράτης?*

IV Titulum *Ἀριστοφάνους γρ(αμματικοῦ) ὑπόθεσις* praefix. V 1 *σπεύδων* ⟨⏑ –⟩ Holwerda *κακά* add. Meineke 2 suppl. Olson: ⟨*ἀναπτέσθαι*⟩ Meineke: ⟨*ἀναβαίνειν*⟩ Holwerda 3 *ἐξέτρεφεν ὄρνιθ'* Dindorf: *ἐξέτρεφον ὄρνιθες* V 4 suppl. Bekker *ἐπιδείκνυσιν* Dindorf: *ἐπιδείκνυσι* V

*ἀέριος,† ἕτοιμόν τ' ὄντα πρὸς κακουχίαν*
*τὴν πρότερον, Εἰρήνην δὲ κατορωρυγμένην.*
*ἱκέτευσαν οἱ κατ' ἀγροὺς ἀνάπαλιν ⟨–⟩ ποεῖν.*
*†τὸ μέλ βαδ'†. ἐπένευσε, καὶ τότε*
*ἀπάγουσιν αὐτὴν ἐκ βερέθρου καὶ τἀγαθά.*

7 *κατορωρυγμένην* G: *-μένον* V 8–9 fort. ⟨*μὴ*⟩ *ποεῖν* | *τὸν πόλεμον* ⟨ – ×⟩· *κατεπένευσε* Olson: ⟨*σφιν*⟩ *ποεῖν* | *τόλμημα* ⟨– ×⟩ Holwerda 10 *αὐτὴν τὴν* V[ac]

## *ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟϹ ΠΡΟϹΩΠΑ*

*ΟΙΚΕΤΑΙ ΔΥΟ ΤΡΥΓΑΙΟΥ*
*ΤΡΥΓΑΙΟϹ*
*ΤΑ ΠΑΙΔΙΑ ΤΟΥ ΤΡΥΓΑΙΟΥ*
*ΕΡΜΗϹ*
*ΠΟΛΕΜΟϹ*
*ΚΥΔΟΙΜΟϹ*
*ΧΟΡΟϹ ΠΑΝΕΛΛΗΝΩΝ*

*ΙΕΡΟΚΛΗϹ ΜΑΝΤΙϹ*
*ΔΡΕΠΑΝΟΥΡΓΟϹ*
*ΟΠΛΩΝ ΚΑΠΗΛΟϹ*
*ΠΑΙΔΙΟΝ Α*
*ΠΑΙΔΙΟΝ Β*

*κωφὰ πρόϲωπα*

*ΕΙΡΗΝΗ*
*ΟΠΩΡΑ*
*ΘΕΩΡΙΑ*

# ΕΙΡΗΝΗ

ΟΙΚΕΤΗϹ Α′

αἶρ' αἶρε μᾶζαν ὡς τάχος τῷ κανθάρῳ.

ΟΙΚΕΤΗϹ Β′

ἰδού. δὸς αὐτῷ, τῷ κάκιστ' ἀπολουμένῳ·
καὶ μήποτ' αὐτῆς μᾶζαν ἡδίω φάγοι.
Οι.[a] δὸς μᾶζαν ἑτέραν, ἐξ ὀνίδων πεπλασμένην.
Οι.[β] ἰδοὺ μάλ' αὖθις. ποῦ γὰρ ἣν νῦν δὴ 'φερες;
ἦ κατέφαγεν;
Οι.[a] μὰ τὸν Δί', ἀλλ' ἐξαρπάσας
ὅλην ἐνέκαψε περικυλίσας τοῖν ποδοῖν.
ἀλλ' ὡς τάχιστα τρῖβε πολλὰς καὶ πυκνάς.
Οι.[β] ἄνδρες κοπρολόγοι, προσλάβεσθε πρὸς θεῶν,
εἰ μή με βούλεσθ' ἀποπνιγέντα περιιδεῖν.
Οι.[a] ἑτέραν ἑτέραν δός, παιδὸς ἡταιρηκότος·
τετριμμένης γάρ φησιν ἐπιθυμεῖν.
Οι.[β] ἰδού.
ἑνὸς μέν, ὦνδρες, ἀπολελύσθαι μοι δοκῶ·
οὐδεὶς γὰρ ἂν φαίη με μάττοντ' ἐσθίειν.
Οι.[a] αἰβοῖ, φέρ' ἄλλην χἀτέραν μοι χἀτέραν,
καὶ τρῖβ' ⟨ἔθ'⟩ ἑτέρας.
Οι.[β] μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ·
οὐ γὰρ ἔθ' οἷός τ' εἴμ' ὑπερέχειν τῆς ἀντλίας.
Οι.[a] αὐτὴν ἄρ' οἴσω συλλαβὼν τὴν ἀντλίαν.

1–19 personarum vices distinxit Dobree 1 τάχος τῷ Kiehl: τάχιστα codd., Su. α 110, αι 280, 299; quam lectionem si recipias, de poeta Cantharo agitur 2 αὐτῷ] αὐτὸς Richter 3 φάγοι] φάγοις Brunck 6 ἦ Bentley: οὐ codd., quod ante μὰ traiecit Bergk: μῶν Blaydes 7 περικυλίσας Bentley, cf. sch.: περικυκλίσας codd. 16 suppl. Dindorf: τρῖβέ ⟨γ'⟩ malit Sommerstein post ἑτέρας add. τε PC, γε L, αὖ Dobree 18 συλλαβὼν] προσλαβὼν pL

Οι.$^{\beta}$ νὴ τὸν Δί' ἐς κόρακάς γε, καὶ σαυτόν γε πρός.
ὑμῶν δέ γ' εἴ τις οἶδέ μοι κατειπάτω
πόθεν ἂν πριαίμην ῥῖνα μὴ τετρημένην.
οὐδὲν γὰρ ἔργον ἦν ἄρ' ἀθλιώτερον
ἢ κανθάρῳ μάττοντα παρέχειν ἐσθίειν.
ὗς μὲν γάρ, ὥσπερ ἂν χέσῃ τις, ἢ κύων
φαύλως ἐρείδει· τοῦτο δ' ὑπὸ φρονήματος
βρενθύεταί τε καὶ φαγεῖν οὐκ ἀξιοῖ,
ἢν μὴ παραθῶ τρίψας δι' ἡμέρας ὅλης
ὥσπερ γυναικὶ γογγύλην μεμαγμένην.
ἀλλ' εἰ πέπαυται τῆς ἐδωδῆς σκέψομαι
τῃδὶ παροίξας τῆς θύρας, ἵνα μή μ' ἴδῃ.
ἔρειδε, μὴ παύσαιο μηδέποτ' ἐσθίων
τέως ἕως σαυτὸν λάθῃς διαρραγείς.
οἷον δὲ κύψας ὁ κατάρατος ἐσθίει,
ὥσπερ παλαιστής, παραβαλὼν τοὺς γομφίους,
καὶ ταῦτα τὴν κεφαλήν τε καὶ τὼ χεῖρέ πως
ὡδὶ περιάγων, ὥσπερ οἱ τὰ σχοινία
τὰ παχέα συμβάλλοντες εἰς τὰς ὁλκάδας.
Οι.$^{\alpha}$ μιαρὸν τὸ χρῆμα καὶ κάκοσμον καὶ βορόν·
χὤτου ποτ' ἐστὶ δαιμόνων ἡ προσβολὴ
οὐκ οἶδ'. Ἀφροδίτης μὲν γὰρ οὔ μοι φαίνεται,
οὐ μὴν Χαρίτων γε.
Οι.$^{\beta}$ τοῦ γάρ ἐστ';
Οι.$^{\alpha}$ οὐκ ἔσθ' ὅπως
οὐκ ἔστι τὸ τέρας τοῦ Διὸς σκαταιβάτου.
Οι.$^{\beta}$ οὐκοῦν ἂν ἤδη τῶν θεατῶν τις λέγοι
νεανίας δοκησίσοφος, "τόδε πρᾶγμα τί;
ὁ κάνθαρος δὲ πρὸς τί;"
Οι.$^{\alpha}$ κᾆτ' αὐτῷ γ' ἀνὴρ

24 ὥσπερ] ὅσαπερ Richards 26 τε] γε B 28 γυναικὶ] γυναιξὶ Athenaeus 173A 31 μηδέποτ' RV: μήποτ' cett. 32 λάθῃς] λάθοις Reisig 38–49 personarum vices parum certae 42 οὐκ . . . τοῦ Bentley: τοῦτ' . . . τοῦ V: τοῦτ' . . . οὐ cett. σκαταιβάτου sch. R et fortasse R[ac], Meineke: καταιβάτου codd.

Ἰωνικός τίς φησι παρακαθήμενος·
"δοκέω μέν, ἐς Κλέωνα τοῦτ' αἰνίσσεται,
ὡς κεῖνος ἐν Ἀΐδεω σπατίλην ἐσθίει."
ἀλλ' εἰσιὼν τῷ κανθάρῳ δώσω πιεῖν.
Οι.[β] ἐγὼ δὲ τὸν λόγον γε τοῖσι παιδίοις
καὶ τοῖσιν ἀνδρίοισι καὶ τοῖς ἀνδράσι
καὶ τοῖς ὑπερτάτοισιν ἀνδράσιν φράσω
καὶ τοῖς ὑπερηνορέουσιν ἔτι τούτοις μάλα.
ὁ δεσπότης μου μαίνεται καινὸν τρόπον,
οὐχ ὅνπερ ὑμεῖς, ἀλλ' ἕτερον καινὸν πάνυ.
δι' ἡμέρας γὰρ εἰς τὸν οὐρανὸν βλέπων
ὡδὶ κεχηνὼς λοιδορεῖται τῷ Διὶ
καί φησιν, "ὦ Ζεῦ, τί ποτε βουλεύει ποιεῖν;
κατάθου τὸ κόρημα· μὴ 'κκόρει τὴν Ἑλλάδα."
ἔα ἔα·
σιγήσαθ', ὡς φωνῆς ἀκούειν μοι δοκῶ.

ΤΡΥΓΑΙΟΣ

ὦ Ζεῦ, τί δρασείεις ποθ' ἡμῶν τὸν λεών;
λήσεις σεαυτὸν τὰς πόλεις ἐκκοκκίσας.
Οι.[β] τοῦτ' ἐστὶ τουτὶ τὸ κακὸν αὖθ' οὑγὼ 'λεγον·
τὸ γὰρ παράδειγμα τῶν μανιῶν ἀκούετε·
ἃ δ' εἶπε πρῶτον ἡνίκ' ἤρχεθ' ἡ χολή,
πεύσεσθ'. ἔφασκε γὰρ πρὸς αὑτὸν ἐνθαδί·
"πῶς ἄν ποτ' ἀφικοίμην ἂν εὐθὺ τοῦ Διός;"
ἔπειτα λεπτὰ κλιμάκια ποιούμενος,
πρὸς ταῦτ' ἀνηρριχᾶτ' ἂν εἰς τὸν οὐρανόν,
ἕως ξυνετρίβη τῆς κεφαλῆς καταρρυείς.

47 αἰνίσσεται Dobree: αἰνίττεται codd., Su. αι 226 48 ἐν Ἀΐδεω van Leeuwen: ἀναιδέως τὴν RV: ἀναιδῶς τὴν cett. 52 ὑπερτάτοισιν B: ὑπὲρ τούτοισιν cett. 53 ἔτι post τούτοις transp. Blaydes 58 ποιεῖν] ποεῖν RV 59 'κκόρει RV: κόρει cett. 63 σεαυτὸν B: σεαυτοῦ cett. 64 τουτὶ RV: δῆτα cett. 67 ἐνθαδί] ἂν ταδί Lenting: τοιαδί van Herwerden 70 ἀνηρριχᾶτ' Photius α 1641: ἀνηριχᾶτ' Phrynichus: ἀνερριχᾶτ' fere codd., Su. α 2313: ἀναρριχᾶτ' lm. sch. R, Su. α 2049

ἐχθὲϲ δὲ μετὰ ταῦτ' ἐκφθαρεὶϲ οὐκ οἶδ' ὅποι
εἰϲήγαγ' Αἰτναῖον μέγιϲτον κάνθαρον,
κἄπειτα τοῦτον ἱπποκομεῖν μ' ἠνάγκαϲεν,
καὐτὸϲ καταψῶν αὐτὸν ὥϲπερ πωλίον,
"ὦ Πηγάϲιόν μοι," φηϲί, "γενναῖον πτερόν,
ὅπωϲ πετήϲει μ' εὐθὺ τοῦ Διὸϲ λαβών."
ἀλλ' ὅ τι ποιεῖ τῃδὶ διακύψαϲ ὄψομαι.
οἴμοι τάλαϲ· ἴτε δεῦρο δεῦρ', ὦ γείτονεϲ·
ὁ δεϲπότηϲ γάρ μου μετέωροϲ αἴρεται
ἱππηδὸν εἰϲ τὸν ἀέρ' ἐπὶ τοῦ κανθάρου.

Τρ. ἥϲυχοϲ ἥϲυχοϲ, ἠρέμα, κάνθων·
μή μοι ϲοβαρὸϲ χώρει λίαν
εὐθὺϲ ἀπ' ἀρχῆϲ ῥώμῃ πίϲυνοϲ,
πρὶν ἂν ἰδίῃϲ καὶ διαλύϲῃϲ
ἄρθρων ἶναϲ πτερύγων ῥύμῃ.
καὶ μὴ πνεῖ μοι κακόν, ἀντιβολῶ ϲ'·
εἰ δὲ ποιήϲειϲ τοῦτο, κατ' οἴκουϲ
αὐτοῦ μεῖνον τοὺϲ ἡμετέρουϲ.

Οι.$^{\beta}$ ὦ δέϲποτ' ἄναξ, ὡϲ παραπαίειϲ.

Τρ. ϲίγα ϲίγα.

Οι.$^{\beta}$ ποῖ δῆτ' ἄλλωϲ μετεωροκοπεῖϲ;

Τρ. ὑπὲρ Ἑλλήνων πάντων πέτομαι,
τόλμημα νέον παλαμηϲάμενοϲ.

Οι.$^{\beta}$ τί πέτει; τί μάτην οὐχ ὑγιαίνειϲ;

Τρ. εὐφημεῖν χρὴ καὶ μὴ φλαῦρον
μηδὲν γρύζειν ἀλλ' ὀλολύζειν·
τοῖϲ τ' ἀνθρώποιϲ φράζω ϲιγᾶν,
τούϲ τε κοπρῶναϲ καὶ τὰϲ λαύραϲ

76 *Πηγάϲιόν μοι*] *Πηγάϲειόν* Dindorf: *Πηγαϲίδιόν* Meineke *μοι, φηϲί* L: *φηϲί μοι* p: *φηϲί* RV 78 *ποιεῖ*] *ποῇ* (sic) R 83 *ϲοβαρὸϲ* lm. *Rhet. lex.* 161 Naoumides, Cobet: -*ρῶϲ* codd. 84 *ῥώμῃ*] *ῥύμῃ* Lobeck 85 *ἰδίῃϲ*] *ἰδίϲῃϲ* Porson, cf. sch. *ἱδρώϲῃϲ* 87 *πνεῖ*] *βδεῖ* Kock 98 *ἀνθρώποιϲ* RP: -*οιϲι* cett. *φράζω* Dobree, qui etiam *φράζειν* temptavit: *φράϲον* codd.

καιναῖϲ πλίνθοιϲιν ἀποικοδομεῖν
καὶ τοὺϲ πρωκτοὺϲ ἐπικλῄειν.

Οι.^β οὐκ ἔϲθ' ὅπωϲ ϲιγήϲομ', ἢν μή μοι φράϲῃϲ
ὅποι πέτεϲθαι διανοεῖ.

Τρ. τί δ' ἄλλο γ' ἢ
ὡϲ τὸν Δί' εἰϲ τὸν οὐρανόν;

Οι.^β τίνα νοῦν ἔχων;

Τρ. ἐρηϲόμενοϲ ἐκεῖνον Ἑλλήνων πέρι
ἁπαξαπάντων ὅ τι ποιεῖν βουλεύεται.

Οι.^β ἐὰν δὲ μή ϲοι καταγορεύϲῃ;

Τρ. γράψομαι
Μήδοιϲιν αὐτὸν προδιδόναι τὴν Ἑλλάδα.

Οι.^β μὰ τὸν Διόνυϲον οὐδέποτε ζῶντόϲ γ' ἐμοῦ.

Τρ. οὐκ ἔϲτι παρὰ ταῦτ' ἄλλ'.

Οι.^β ἰοὺ ἰοὺ ἰού·
ὦ παιδί', ὁ πατὴρ ἀπολιπὼν ἀπέρχεται
ὑμᾶϲ ἐρήμουϲ εἰϲ τὸν οὐρανὸν λάθρᾳ.
ἀλλ' ἀντιβολεῖτε τὸν πατέρ', ὦ κακοδαίμονα.

ΠΑΙΔΙΟΝ

ὦ πάτερ, ὦ πάτερ, ἆρ' ἔτυμόϲ γε
δώμαϲιν ἡμετέροιϲ φάτιϲ ἥκει,
ὡϲ ϲὺ μετ' ὀρνίθων προλιπὼν ἐμὲ
ἐϲ κόρακαϲ βαδιεῖ μεταμώνιοϲ;
ἔϲτι τι τῶνδ' ἐτύμωϲ; εἴπ', ὦ πάτερ, εἴ τι φιλεῖϲ με.

Τρ. δοξάϲαι ἔϲτι, κόραι· τὸ δ' ἐτήτυμον, ἄχθομαι ὑμῖν,
ἡνίκ' ἂν αἰτίζητ' ἄρτον πάππαν με καλοῦϲαι,
ἔνδον δ' ἀργυρίου μηδὲ ψακὰϲ ᾖ πάνυ πάμπαν.
ἢν δ' ἐγὼ εὖ πράξαϲ ἔλθω πάλιν, ἕξετ' ἐν ὥρᾳ
κολλύραν μεγάλην καὶ κόνδυλον ὄψον ἐπ' αὐτῇ.

Πα. καὶ τίϲ πόροϲ ϲοι τῆϲ ὁδοῦ γενήϲεται;

100 ἀποικοδομεῖν Fl. Christianus: ἀν- codd. 107 καταγορεύϲῃ] -εύῃ Cobet 110 ἰοὺ bis R, quater V 114 ἆρ'] ἦ ῥ' lm. sch. RV 118 an ante ἐτύμωϲ interpungendum (Blaydes)?

ναῦϲ μὲν γὰρ οὐκ ἄξει ϲε τήνδε τὴν ὁδόν.
Τρ. πτηνὸϲ πορεύϲει πῶλοϲ· οὐ ναυϲθλώϲομαι.
Πα. τίϲ δ' ἡ 'πίνοιά ϲοὔϲτιν ὥϲτε κάνθαρον
ζεύξαντ' ἐλαύνειν εἰϲ θεούϲ, ὦ παππία;
Τρ. ἐν τοῖϲιν Αἰϲώπου λόγοιϲ ἐξηυρέθη
μόνοϲ πετηνῶν εἰϲ θεοὺϲ ἀφιγμένοϲ.
Πα. ἄπιϲτον εἶπαϲ μῦθον, ὦ πάτερ πάτερ,
ὅπωϲ κάκοϲμον ζῷον ἦλθεν εἰϲ θεούϲ.
Τρ. ἦλθεν κατ' ἔχθραν αἰετοῦ πάλαι ποτέ,
ᾤ' ἐκκυλίνδων κἀντιτιμωρούμενοϲ.
Πα. οὔκουν ἐχρῆν ϲε Πηγάϲου ζεῦξαι πτερόν,
ὅπωϲ ἐφαίνου τοῖϲ θεοῖϲ τραγικώτεροϲ;
Τρ. ἀλλ', ὦ μέλ', ἄν μοι ϲιτίων διπλῶν ἔδει·
νῦν δ' ἅττ' ἂν αὐτὸϲ καταφάγω τὰ ϲιτία,
τούτοιϲι τοῖϲ αὐτοῖϲι τοῦτον χορτάϲω.
Πα. τί δ', ἢν ἐϲ ὑγρὸν πόντιον πέϲῃ βάθοϲ;
πῶϲ ἐξολιϲθεῖν πτηνὸϲ ὢν δυνήϲεται;
Τρ. ἐπίτηδεϲ εἶχον πηδάλιον, ᾧ χρήϲομαι·
τὸ δὲ πλοῖον ἔϲται Ναξιουργὴϲ κάνθαροϲ.
Πα. λιμὴν δὲ τίϲ ϲε δέξεται φορούμενον;
Τρ. ἐν Πειραιεῖ δήπου 'ϲτὶ Κανθάρου λιμήν.
Πα. ἐκεῖνο τήρει, μὴ ϲφαλεὶϲ καταρρυῇϲ
ἐντεῦθεν, εἶτα χωλὸϲ ὢν Εὐριπίδῃ
λόγον παράϲχῃϲ καὶ τραγῳδία γένῃ.
Τρ. ἐμοὶ μελήϲει ταῦτά γ'. ἀλλὰ χαίρετε.
ὑμεῖϲ δέ γ', ὑπὲρ ὧν τοὺϲ πόνουϲ ἐγὼ πονῶ,
μὴ βδεῖτε μηδὲ χέζεθ' ἡμερῶν τριῶν·
ὡϲ εἰ μετέωροϲ οὗτοϲ ὢν ὀϲφρήϲεται,
κατωκάρα ῥίψαϲ με βουκολήϲεται.

125 *τήνδε* Sharpley: *ταύτην* codd. 128 *παππία* B: *παπία* cett. 130 *πετηνῶν* R: *πετεινῶν* cett. 137 *μέλ', ἄν* Brunck: *μέλ' ἐάν* RV: *μέλε' ἄν* cett. 139 *τούτοιϲι . . . τοῦτον*] *τοῦτόν γε . . . τούτοιϲ* Richards 145 *Πειραιεῖ* B, Su. ν 28, sch. in Lucianum p. 71.19 Rabe: *Πειραεῖ* cett.

ἀλλ' ἄγε, Πήγαςε, χώρει χαίρων,
χρυςοχάλινον πάταγον ψαλίων
διακινήςας φαιδροῖς ὠςίν.
τί ποιεῖς, τί ποιεῖς; ποῖ παρακλίνεις
τοὺς μυκτῆρας; πρὸς τὰς λαύρας;
ἵει ςαυτὸν θαρρῶν ἀπὸ γῆς,
κᾆτα δρομαίαν πτέρυγ' ἐκτείνων
ὀρθὸς χώρει Διὸς εἰς αὐλάς,
ἀπὸ μὲν κάκκης τὴν ῥῖν' ἀπέχων,
ἀπό θ' ἡμερίων ςίτων πάντων.
ἄνθρωπε, τί δρᾷς, οὗτος ὁ χέζων
ἐν Πειραιεῖ παρὰ ταῖς πόρναις;
ἀπολεῖς μ', ἀπολεῖς. οὐ κατορύξεις
κἀπιφορήςεις τῆς γῆς πολλήν,
κἀπιφυτεύςεις ἕρπυλλον ἄνω
καὶ μύρον ἐπιχεῖς; ὡς ἤν τι πεςὼν
ἐνθένδε πάθω, τοὐμοῦ θανάτου
πέντε τάλανθ' ἡ πόλις ἡ Χίων
διὰ τὸν ςὸν πρωκτὸν ὀφλήςει.

οἴμ' ὡς δέδοικα, κοὐκέτι ςκώπτων λέγω.
ὦ μηχανοποιέ, πρόςεχε τὸν νοῦν, ὡς ἐμὲ
ἤδη ςτροβεῖ τι πνεῦμα περὶ τὸν ὀμφαλόν,
κεἰ μὴ φυλάξει, χορτάςω τὸν κάνθαρον.
ἀτὰρ ἐγγὺς εἶναι τῶν θεῶν ἐμοὶ δοκῶ·
καὶ δὴ καθορῶ τὴν οἰκίαν τὴν τοῦ Διός.
τίς ἐν Διὸς θύραιςιν; οὐκ ἀνοίξετε;

155 χρυςοχάλινον] -ίνων Fl. Christianus 156 φαιδροῖς] ςφοδροῖς B 158 post μυκτῆρας interpungendum esse vidit Reiske 161 ὀρθὸς V: ὀρθῶς cett.: ὀρθὴν van Herwerden 163 θ'] δ' V ἡμερίων Im. sch. R[ac] (-ιῶν[pc]): ἡμερινῶν codd., Su. η 303 ςίτων Brunck: ςιτίων codd., Su. 165 Πειραιεῖ B: -αεῖ cett. 166 μ' del. van Herwerden 169 καὶ ... ἐπιχεῖς] κᾆτ' ἐπιχεῖς μύρον van Herwerden 174 post νοῦν interpunxit Blaydes, post ἐμέ edd. priores 175 ςτροβεῖ van Herwerden: ςτροφεῖ codd.: ςτρέφει Cobet 176 φυλάξει Reiske: -εις codd. 179 θύραιςιν] θύρηςι V

ΕΡΜΗϹ

πόθεν βροτοῦ με προϲέβαλ'—; ὦναξ Ἡράκλειϲ,
τουτὶ τί ἐϲτι τὸ κακόν;

*Τρ.* ἱπποκάνθαροϲ.

*Ερ.* ὦ μιαρὲ καὶ τόλμηρε κἀναίϲχυντε ϲὺ
καὶ μιαρὲ καὶ παμμίαρε καὶ μιαρώτατε,
πῶϲ δεῦρ' ἀνῆλθεϲ, ὦ μιαρῶν μιαρώτατε;
τί ϲοί ποτ' ἔϲτ' ὄνομ'; οὐκ ἐρεῖϲ;

*Τρ.* μιαρώτατοϲ.

*Ερ.* πατὴρ δέ ϲοι τίϲ ἐϲτιν;

*Τρ.* ἐμοί; μιαρώτατοϲ.

*Ερ.* ποδαπὸϲ τὸ γένοϲ δ' εἶ; φράζε μοι.

*Τρ.* μιαρώτατοϲ.

*Ερ.* οὔτοι μὰ τὴν γῆν ἔϲθ' ὅπωϲ οὐκ ἀποθανεῖ,
εἰ μὴ κατερεῖϲ μοι τοὔνομ' ὅ τι ποτ' ἐϲτί ϲοι.

*Τρ.* Τρυγαῖοϲ Ἀθμονεύϲ, ἀμπελουργὸϲ δεξιόϲ,
οὐ ϲυκοφάντηϲ οὐδ' ἐραϲτὴϲ πραγμάτων.

*Ερ.* ἥκειϲ δὲ κατὰ τί;

*Τρ.* τὰ κρέα ταυτί ϲοι φέρων.

*Ερ.* ὦ δειλακρίων, πῶϲ ἦλθεϲ;

*Τρ.* ὦ γλίϲχρων, ὁρᾷϲ
ὡϲ οὐκέτ' εἶναί ϲοι δοκῶ μιαρώτατοϲ;
ἴθι νυν κάλεϲόν μοι τὸν Δί'.

*Ερ.* ἰηῦ ἰηῦ ἰηῦ,
ὅτ' οὐδὲ μέλλειϲ ἐγγὺϲ εἶναι τῶν θεῶν·
φροῦδοι γάρ· ἐχθὲϲ εἰϲιν ἐξῳκιϲμένοι.

180 με] μοι Blaydes προϲέβαλ'] προϲέβαλεν RV, Greg. Cor. *de dial.* pp. 35–6 et fortasse P67 182 μιαρὲ] βδελυρὲ Porson 185 ἔϲτ' B, Su. μ 1027: ἐϲτὶ (ν) cett. 186 δ' om. L, Su. 187 ante 186 transp. B. Millis: v. om. R, Su. ἐϲτιν] ἔϲτ' Bentley 193 πῶϲ ἦλθεϲ] ὡϲ ἡδέ' van Herwerden 195 ἰηῦ ter P67: ἰὴ ter codd. 197 post γάρ interpunxit van Leeuwen εἰϲιν ante ἐχθὲϲ transp. Lp

Τρ. ποῖ γῆς;
Ερ. ἰδοὺ γῆς.
Τρ. ἀλλὰ ποῖ;
Ερ. πόρρω πάνυ,
ὑπ' αὐτὸν ἀτεχνῶς τοὐρανοῦ τὸν κύτταρον.
Τρ. πῶς οὖν cὺ δῆτ' ἐνταῦθα κατελείφθης μόνος;
Ερ. τὰ λοιπὰ τηρῶ cκευάρια τὰ τῶν θεῶν,
χυτρίδια καὶ cανίδια κἀμφορείδια.
Τρ. ἐξῳκίcαντο δ' οἱ θεοὶ τίνος οὕνεκα;
Ερ. Ἕλληcιν ὀργιcθέντεc. εἶτ' ἐνταῦθα μέν,
ἵν' ἦcαν αὐτοί, τὸν Πόλεμον κατῴκιcαν,
ὑμᾶc παραδόντεc δρᾶν ἀτεχνῶc ὅ τι βούλεται·
αὐτοὶ δ' ἀνῳκίcανθ' ὅπωc ἀνωτάτω,
ἵνα μὴ βλέποιεν μαχομένουc ὑμᾶc ἔτι
μηδ' ἀντιβολούντων μηδὲν αἰcθανοίατο.
Τρ. τοῦ δ' οὕνεχ' ἡμᾶc ταῦτ' ἔδραcαν; εἰπέ μοι.
Ερ. ὁτιὴ πολεμεῖν ᾑρεῖcθ', ἐκείνων πολλάκιc
cπονδὰc ποιούντων· κεἰ μὲν οἱ Λακωνικοὶ
ὑπερβάλοιντο μικρόν, ἔλεγον ἂν ταδί·
"ναὶ τὼ cιὼ νῦν Ὠττικίων δωcεῖ δίκαν."
εἰ δ' αὖ τι πράξαιτ' ἀγαθόν, Ἀττικωνικοί,
κἄλθοιεν οἱ Λάκωνεc εἰρήνηc πέρι,
ἐλέγετ' ἂν ὑμεῖc εὐθύc· "ἐξαπατώμεθα
νὴ τὴν Ἀθηνᾶν".—"νὴ Δί', οὐχὶ πειcτέον.
ἥξουcι καὖθιc, ἢν ἔχωμεν τὴν Πύλον."
Τρ. ὁ γοῦν χαρακτὴρ ἡμεδαπὸc τῶν ῥημάτων.
Ερ. ὧν οὕνεκ' οὐκ οἶδ' εἴ ποτ' Εἰρήνην ἔτι

198 ante hunc v. suppl. Holwerda *τί φῄc*; extra metrum, sch. ad v. 173 fretus; cf. ad v. 236 202 *κἀμφορείδια* Su. α 1785: *-ρίδια* codd., Phot. α 1380 (ubi corr. Reitzenstein) 208 *βλέποιεν*] *'πιβλέποιεν* Richards 210 *οὕνεχ'* Brunck: *εἵνεχ'* codd. 211 *ὁτιὴ* Bentley: *ὅτι* codd. 214 *Ὠττικίων ... δίκαν* Hirschig: *Ἀττικίων ... δίκην* codd. *δωcεῖ* Cobet: *δώcει* codd. 215 *πράξαιτ'* Bekker: *πράξαιντ'* codd. *Ἀττικωνικοί*] *Ἀ-* Dobree: *Ὠ-* Holford-Strevens 219 *Πύλον*] *πόλιν* RV: utrumque noverunt scholiastae

τὸ λοιπὸν ὄψεϲθ’.
Τρ. ἀλλὰ ποῖ γὰρ οἴχεται;
Ερ. ὁ Πόλεμοϲ αὐτὴν ἐνέβαλ’ εἰϲ ἄντρον βαθύ.
Τρ. εἰϲ ποῖον;
Ερ. εἰϲ τουτὶ τὸ κάτω, κἄπειθ’ ὁρᾷϲ
ὅϲουϲ ἄνωθεν ἐπεφόρηϲε τῶν λίθων,
ἵνα μὴ λάβητε μηδέποτ’ αὐτήν.
Τρ. εἰπέ μοι,
ἡμᾶϲ δὲ δὴ τί δρᾶν παραϲκευάζεται;
Ερ. οὐκ οἶδα πλὴν ἕν, ὅτι θυείαν ἑϲπέραϲ
ὑπερφυᾶ τὸ μέγεθοϲ εἰϲηνέγκατο.
Τρ. τί δῆτα ταύτῃ τῇ θυείᾳ χρήϲεται;
Ερ. τρίβειν ἐν αὐτῇ τὰϲ πόλειϲ βουλεύεται.
ἀλλ’ εἶμι· καὶ γὰρ ἐξιέναι, γνώμην ἐμήν,
μέλλει· θορυβεῖ γοῦν ἔνδοθεν.
Τρ. οἴμοι δείλαιοϲ.
φέρ’ αὐτὸν ἀποδρῶ· καὶ γὰρ ὥϲπερ ᾐϲθόμην
καὐτὸϲ θυείαϲ φθέγμα πολεμιϲτηρίαϲ.

ΠΟΛΕΜΟϹ

ἰὼ βροτοὶ βροτοὶ βροτοὶ πολυτλήμονεϲ,
ὡϲ αὐτίκα μάλα τὰϲ γνάθουϲ ἀλγήϲετε.
Τρ. ὦναξ Ἄπολλον, τῆϲ θυείαϲ τοῦ πλάτουϲ—
ὅϲον κακόν—καὶ τοῦ Πολέμου τοῦ βλέμματοϲ.
ἆρ’ οὗτόϲ ἐϲτ’ ἐκεῖνοϲ ὃν καὶ φεύγομεν,
ὁ δεινόϲ, ὁ ταλαύρινοϲ, ὁ κατὰ τοῖν ϲκελοῖν;
Πο. ἰὼ Πραϲιαὶ τρὶϲ ἄθλιαι καὶ πεντάκιϲ
καὶ πολλοδεκάκιϲ, ὡϲ ἀπολεῖϲθε τήμερον.
Τρ. τουτὶ μέν, ἄνδρεϲ, οὐδὲν ἡμῖν πρᾶγμά πω·
τὸ γὰρ κακὸν τοῦτ’ ἐϲτὶ τῆϲ Λακωνικῆϲ.

224 ante hunc v. suppl. Zacher *τί φῄϲ;* e sch. 173 (ubi *τί φηϲι* praebet V) 233 *ἔνδον*] *ἔνδοθεν* R 236 ante hunc v. add. Holwerda *ἰὴ ἰή* e sch. 173 238–9 sic interpunxit Meineke 242 *τρὶϲ ἄθλιαι* ita divisim scripsit Dobree 243 *πολλοδεκάκιϲ*] malim *πολλα-*

Πο. ὦ Μέγαρα Μέγαρ', ὡς ἐπιτετρίψεcθ' αὐτίκα
ἁπαξάπαντα καταμεμυττωτευμένα.
Τρ. βαβαὶ βαβαιάξ, ὡς μεγάλα καὶ δριμέα
τοῖcιν Μεγαρεῦcιν ἐνέβαλεν τὰ κλαύματα.
Πο. ἰὼ Cικελία, καὶ cὺ δ' ὡς ἀπόλλυcαι.
Τρ. οἵα πόλις τάλαινα διακναιcθήcεται.
Πο. φέρ' ἐπιχέω καὶ τὸ μέλι τουτὶ τἀττικόν.
Τρ. οὗτος, παραινῶ coι μέλιτι χρῆcθαι 'τέρῳ.
τετρώβολον τοῦτ' ἐcτί· φείδου τἀττικοῦ.
Πο. παῖ παῖ Κυδοιμέ.

ΚΥΔΟΙΜΟC

τί με καλεῖc;
Πο. κλαύcει μακρά.
ἕcτηκας ἀργός; οὑτοςί coι κόνδυλος.
Τρ. ὡς δριμύς.
Κυ. οἴμοι μοι τάλας, ὦ δέcποτα.
Τρ. μῶν τῶν cκορόδων ἐνέβαλες εἰς τὸν κόνδυλον;
Πο. οἴcεις ἀλετρίβανον τρέχων;
Κυ. ἀλλ', ὦ μέλε,
οὐκ ἔcτιν ἡμῖν· ἐχθὲς εἰcῳκίcμεθα.
Πο. οὔκουν παρ' Ἀθηναίων μεταθρέξει ταχὺ ⟨πάνυ⟩;
Κυ. ἔγωγε νὴ Δί'· εἰ δὲ μή, κεκλαύcομαι.
Τρ. ἄγε δή, τί δρῶμεν, ὦ πόνηρ' ἀνθρώπια;
ὁρᾶτε τὸν κίνδυνον ἡμῖν ὡς μέγας·
εἴπερ γὰρ ἥξει τὸν ἀλετρίβανον φέρων,
τούτῳ ταράξει τὰc πόλεις καθήμενος.

246 ὦ RV: ἰὼ cett. ἐπιτετρίψεcθ' lm. sch. R, Elmsley: ἐπιτρίψεcθ' codd. ἰὼ Μέγαρ', ὡς ⟨ξυν⟩επιτετρίψεcθ' Sommerstein 249 τοῖcιν RV: τοῖcι cett. 253 χρῆcθαι 'τέρῳ Brunck: χρῆcθαι θατέρῳ codd.: χρῆcθἀτέρῳ Dindorf 257–8 personarum vices parum certae; 257 ὡς δριμύς et v. 258, ἐνέβαλες in ἐνέβαλεν mutato, Trygaeo tribuit Hermann 257 μοι L: om. cett. 261 suppl. Dobree 262 ante hunc v. suppl. von Bamberg ἰὴ ἰή e sch. 173 κεκλαύcομαι Raper: γε κλαύcομαι codd.: 'γὼ κλαύcομαι Meineke: κεκλαύcεται Richter 266 ταράξει] καταράξει van Herwerden

ἀλλ᾽, ὦ Διόνυς᾽, ἀπόλοιτο καὶ μὴ ᾽λθοι φέρων.
Κυ. οὗτος.
Πο. τί ἐστιν; οὐ φέρεις;
Κυ. τὸ δεῖνα γάρ,
ἀπόλωλ᾽ Ἀθηναίοισιν ἀλετρίβανος,
ὁ βυρσοπώλης, ὃς ἐκύκα τὴν Ἑλλάδα.
Τρ. εὖ γ᾽, ὦ πότνια δέσποιν᾽ Ἀθηναία, ποιῶν
ἀπόλωλ᾽ ἐκεῖνος κἀν δέοντι τῇ πόλει.
{ἦ πρίν γε τὸν μυττωτὸν ἡμῖν ἐγχέαι.}
Πο. οὔκουν ἕτερον δῆτ᾽ ἐκ Λακεδαίμονος μέτει
ἀνύσας τι;
Κυ. ταῦτ᾽, ὦ δέσποθ᾽.
Πο. ἧκέ νυν ταχύ.
Τρ. ὦνδρες, τι πεισόμεσθα; νῦν ἀγὼν μέγας.
ἀλλ᾽ εἴ τις ὑμῶν ἐν Cαμοθρᾴκῃ τυγχάνει
μεμυημένος, νῦν ἐστιν εὔξασθαι καλὸν
ἀποστραφῆναι τοῦ μετιόντος τὼ πόδε.
Κυ. οἴμοι τάλας, οἴμοι γε κἄτ᾽ οἴμοι μάλα.
Πο. τί ἐστι; μῶν οὐκ αὖ φέρεις;
Κυ. ἀπόλωλε γὰρ
καὶ τοῖς Λακεδαιμονίοισιν ἀλετρίβανος.
Πο. πῶς, ὦ πανοῦργ᾽;
Κυ. εἰς τἀπὶ Θρᾴκης χωρία
χρήσαντες ἑτέροις αὐτὸν εἶτ᾽ ἀπώλεσαν.
Τρ. εὖ γ᾽ εὖ γε ποιήσαντες, ὦ Διοσκόρω.
ἴσως ἂν εὖ γένοιτο· θαρρεῖτ᾽, ὦ βροτοί.
Πο. ἀπόφερε τὰ σκεύη λαβὼν ταυτὶ πάλιν·
ἐγὼ δὲ δοίδυκ᾽ εἰσιὼν ποιήσομαι.
Τρ. νῦν τοῦτ᾽ ἐκεῖν᾽· ἥκει τὸ Δάτιδος μέλος,

268 personarum vices distinxit Rogers 269 Ἀθηναίοισιν Porson: -οις codd. 271 πότνια post δέσποινα praebent codd. praeter B 273 v. del. Dindorf 274 δῆτ᾽] γ᾽ ἔτι R: γέ τιν᾽ Dindorf 276 ὦνδρες] ἄνδρες V ἀγὼν Rogers: ἀγὼν codd. 280 κἄτ᾽ Dobree: κᾆτ᾽ codd. 282 ἀλετρίβανος Porson: ἀ- codd. 286 ἂν ⟨ἔτ᾽⟩ εὖ van Herwerden 287 ἀπόφερε RV: ἀπόφυρε cett.

ὃ δεϕόμενός ποτ' ᾖδε τῆς μεσημβρίας,
"ὡς ἥδομαι καὶ χαίρομαι κεὐϕραίνομαι."
νῦν ἐστιν ὑμῖν, ὦνδρες Ἕλληνες, καλὸν
ἀπαλλαγεῖσι πραγμάτων τε καὶ μαχῶν
ἐξελκύσαι τὴν πᾶσιν Εἰρήνην ϕίλην,
πρὶν ἕτερον αὖ δοίδυκα κωλῦσαί τινα.
ἀλλ', ὦ γεωργοὶ κἄμποροι καὶ τέκτονες
καὶ δημιουργοὶ καὶ μέτοικοι καὶ ξένοι
καὶ νησιῶται, δεῦρ' ἴτ', ὦ πάντες λεῴ,
ὡς τάχιστ' ἅμας λαβόντες καὶ μοχλοὺς καὶ σχοινία·
νῦν γὰρ ἡμῖν αὖ σπάσαι πάρεστιν ἀγαθοῦ
δαίμονος.

ΧΟΡΟΣ

δεῦρο πᾶς χώρει προθύμως εὐθὺ τῆς σωτηρίας.
ὦ Πανέλληνες, βοηθήσωμεν, εἴπερ πώποτε,
τάξεων ἀπαλλαγέντες καὶ κακῶν ϕοινικίδων·
ἡμέρα γὰρ ἐξέλαμψεν ἥδε μισολάμαχος.
πρὸς τάδ' ἡμῖν, εἴ τι χρὴ δρᾶν, ϕράζε
κἀρχιτεκτόνει·
οὐ γὰρ ἔσθ' ὅπως ἀπειπεῖν ἂν δοκῶ μοι τήμερον,
πρὶν μοχλοῖς καὶ μηχαναῖσιν εἰς τὸ ϕῶς ἀνελκύσαι
τὴν θεῶν πασῶν μεγίστην καὶ ϕιλαμπελωτάτην.

Τρ. οὐ σιωπήσεσθ', ὅπως μὴ περιχαρεῖς τῷ πράγματι
τὸν Πόλεμον ἐκζωπυρήσετ' ἔνδοθεν κεκραγότες;

Χο. ἀλλ' ἀκούσαντες τοιούτου χαίρομεν κηρύγματος.
οὐ γὰρ ἦν ἔχοντας ἥκειν σιτί' ἡμερῶν τριῶν.

Τρ. εὐλαβεῖσθέ νυν ἐκεῖνον τὸν κάτωθεν Κέρβερον,
μὴ παϕλάζων καὶ κεκραγώς, ὥσπερ ἡνίκ' ἐνθάδ' ἦν,
ἐμποδὼν ἡμῖν γένηται τὴν θεὸν μὴ 'ξελκύσαι.

291 χαίρομαι κεὐϕραίνομαι] εὐϕραίνομαι καὶ χαίρομαι Su. ν 611: τέρπομαι καὶ χαίρομαι L 292 ὑμῖν] ἡμῖν L 300 αὖ σπάσαι van Herwerden: ἁρπάσαι codd.: alii alia 303 κακῶν] καλῶν Sommerstein ϕοινικίδων Meineke, cf. sch.: ϕοινικικῶν codd., Su. ϕ 791

Χο. οὔτι νῦν γ' ἔτ' ἔςτιν αὐτὴν ὅςτις ἐξαιρήςεται,
ἣν ἅπαξ εἰς χεῖρας ἔλθῃ τὰς ἐμάς. ἰοὶ ἰοί.
Τρ. ἐξολεῖτέ μ', ὦνδρες, εἰ μὴ τῆς βοῆς ἀνήςετε·
ἐκδραμὼν γὰρ πάντα ταυτὶ ςυνταράξει τοῖν ποδοῖν.
Χο. †ὡς κυκάτω καὶ πατείτω πάντα καὶ ταραττέτω,
οὐ γὰρ ἂν χαίροντες ἡμεῖς τήμερον παυςαίμεθ' ἄν.
Τρ. τί τὸ κακόν; τί πάςχετ', ὦνδρες; μηδαμῶς πρὸς τῶν θεῶν,
πρᾶγμα κάλλιςτον διαφθείρητε διὰ τὰ ςχήματα.
Χο. ἀλλ' ἔγωγ' οὐ ςχηματίζειν βούλομ', ἀλλ' ὑφ' ἡδονῆς
οὐκ ἐμοῦ κινοῦντος αὐτὼ τὼ ςκέλει χορεύετον.
Τρ. μή τί μοι νυνί γ' ἔτ', ἀλλὰ παῦε παῦ' ὀρχούμενος.
Χο. ἢν ἰδού· καὶ δὴ πέπαυμαι.
Τρ. φῄς γε, παύει δ' οὐδέπω.
Χο. ἓν μὲν οὖν τουτί μ' ἔαςον ἑλκύςαι, καὶ μηκέτι.
Τρ. τοῦτό νυν, καὶ μηκέτ' ἄλλο· μηδὲν ὀρχήςηςθ' ἔτι.
Χο. οὐκ ἂν ὀρχηςαίμεθ', εἴπερ ὠφελήςομέν τί ςε.
Τρ. ἀλλ', ὁρᾶτ', οὔπω πέπαυςθε.
Χο. τουτογὶ νὴ τὸν Δία
τὸ ςκέλος ῥίψαντες ἤδη λήγομεν τὸ δεξιόν.
Τρ. ἐπιδίδωμι τοῦτό γ' ὑμῖν, ὥςτε μὴ λυπεῖν ἔτι.
Χο. ἀλλὰ καὶ τἀριςτερόν τοί μ' ἔςτ' ἀναγκαίως ἔχον.
ἥδομαι γὰρ καὶ γέγηθα καὶ πέπορδα καὶ γελῶ
μᾶλλον ἢ τὸ γῆρας ἐκδὺς ἐκφυγὼν τὴν ἀςπίδα.
Τρ. μή τί μοι νυνί γε χαίρετ'· οὐ γὰρ ἴςτε πω ςαφῶς·
ἀλλ' ὅταν λάβωμεν αὐτήν, τηνικαῦτα χαίρετε
καὶ βοᾶτε καὶ γελᾶτ'· ἤ-
δη γὰρ ἐξέςται τόθ' ὑμῖν

316 *νῦν γ' ἔτ'* Dobree: *καὶ νῦν* codd.: *χαίρων* Meineke: alii alia 320 *ὡς κυκάτω* suspectum: *καὶ κυκάτω* Blaydes: malim *ςυγκυκάτω* 325 *ςκέλει* Hall & Geldart: *ςκέλη* codd. 326 *μοι* Blaydes: *καὶ* codd. 329 post *ἄλλο* interpunxit van Leeuwen *ὀρχήςηςθ'* Bekker: *ὀρχήςεςθ'* codd. *ἔτι*] *τι* Boissonade 330 *ὠφελήςομέν* Blaydes: *-ήςαιμέν* codd. 337 *μή τι*] *μηκέτ'* L *μοι* Blaydes: *καὶ* RVp: *οὖν* L

πλεῖν, μένειν, κινεῖν, καθεύδειν,
εἰς πανηγύρεις θεωρεῖν,
ἑστιᾶσθαι, κοτταβίζειν,
συβαριάζειν,
"ἰοὺ ἰοὺ" κεκραγέναι.

Χο. εἰ γὰρ ἐκγένοιτ' ἰδεῖν ταύτην μέ ποτε τὴν [στρ.
ἡμέραν.
πολλὰ γὰρ ἀνεσχόμην
πράγματά τε καὶ στιβάδας,
ἃς ἔλαχε Φορμίων·
κοὐκέτ' ἄν μ' εὕροις δικαστὴν δριμὺν οὐδὲ δύσκολον,
οὐδὲ τοὺς τρόπους γε δήπου σκληρὸν ὥσπερ καὶ
πρὸ τοῦ,
ἀλλ' ἁπαλὸν ἄν μ' ἴδοις
καὶ πολὺ νεώτερον ἀπ-
αλλαγέντα πραγμάτων.
καὶ γὰρ ἱκανὸν χρόνον ἀπ-
ολλύμεθα καὶ κατατε-
τρίμμεθα πλανώμενοι
εἰς Λύκειον κἀκ Λυκείου ξὺν δορὶ ξὺν ἀσπίδι.
ἀλλ' ὅ τι μάλιστα χαρι-
ούμεθα ποιοῦντες, ἄγε,
φράζε· σὲ γὰρ αὐτοκράτορ'
εἵλετ' ἀγαθή τις ἡμῖν τύχη.

Τρ. φέρε δὴ κατίδω· πῇ τοὺς λίθους ἀφέλξομεν;
Ερ. ὦ μιαρὲ καὶ τόλμηρε, τί ποιεῖν διανοεῖ;
Τρ. οὐδὲν πονηρόν, ἀλλ' ὅπερ καὶ Κιλλικῶν.

341 κινεῖν] βινεῖν Daubuz 344 συβαριάζειν Meineke: συβαρίζειν codd. 346 εἰ γὰρ] εἴθε μοι Bentley (recepto γένοιτ' et deleto με) ἐκγένοιτ' R: γένοιτ' Vp: μοι γένοιτ' L ποτε huc traiecit Dindorf, post ἡμέραν praebent codd.: del. Bergk 347 ἀνεσχόμην Brunck: ἠν- codd. 351 ἄν μ' R$^{pc}$: μ' ἂν R$^{ac}$Vp: γ' ἄν μ' L 353–4 ἀπολλύμεθα RV: ἀπω- cett. 356 ξὺν utrobique Porson: σὺν codd. 361 δὴ κατίδω] δῆτ' ἴδω Blaydes πῇ Boissonade: ποῖ codd.: πῶς Meineke

Ερ. ἀπόλωλας, ὦ κακόδαιμον.
Τρ. οὔκ, ἢν μὴ λάχω.
Ἑρμῆς γὰρ ὢν κλῆρον ποιήϲειϲ οἶδ' ὅτι.
Ερ. ἀπόλωλας, ἐξόλωλας.
Τρ. εἰϲ τίν' ἡμέραν;
Ερ. εἰϲ αὐτίκα μάλ'.
Τρ. ἀλλ' οὐδὲν ἠμπόληκά πω,
οὔτ' ἄλφιτ' οὔτε τυρόν, ὡϲ ἀπολούμενοϲ.
Ερ. καὶ μὴν ἐπιτέτριψαί γε.
Τρ. κᾆτα τῷ τρόπῳ
οὐκ ᾐϲθόμην ἀγαθὸν τοϲουτονὶ λαβών;
Ερ. ἆρ' οἶϲθα θάνατον ὅτι προεῖφ' ὁ Ζεὺϲ ὃϲ ἂν
ταύτην ἀνορύττων εὑρεθῇ;
Τρ. νῦν ἆρά με
ἅπαϲ' ἀνάγκη 'ϲτ' ἀποθανεῖν;
Ερ. εὖ ἴϲθ' ὅτι.
Τρ. εἰϲ χοιρίδιόν μοί νυν δάνειϲον τρεῖϲ δραχμάϲ·
δεῖ γὰρ μυηθῆναί με πρὶν τεθνηκέναι.
Ερ. ὦ Ζεῦ κεραυνοβρόντα—
Τρ. μή, πρὸϲ τῶν θεῶν,
ἡμῶν κατείπῃϲ, ἀντιβολῶ ϲε, δέϲποτα.
Ερ. οὐκ ἂν ϲιωπήϲαιμι.
Τρ. ναί, πρὸϲ τῶν κρεῶν,
ἁγὼ προθύμωϲ ϲοι φέρων ἀφικόμην.
Ερ. ἀλλ', ὦ μέλ', ὑπὸ τοῦ Διὸϲ ἀμαλδυνθήϲομαι,
εἰ μὴ τετορήϲω ταῦτα καὶ λακήϲομαι.
Τρ. μή νυν λακήϲῃϲ, λίϲϲομαί ϲ', Ὡρμήδιον.
εἰπέ μοι, τί πάϲχετ', ὦνδρεϲ; ἕϲτατ' ἐκπεπληγμένοι.
ὦ πόνηροι, μὴ ϲιωπᾶτ'· εἰ δὲ μή, λακήϲεται.

364 οὔκ, ἢν μὴ Dobree: οὐκοῦν, ἢν codd. 365 κλῆρον van Herwerden: κλήρῳ codd. v. del. van Leeuwen 373 'ϲτ'] γ' L 377 ϲ', ⟨ὦ⟩ Blaydes 382 Ὡρμήδιον Schwabe: ὡρμίδιον vel sim. codd. 384 post Ἑρμῆ add. μὴ RΓp μὴ om. RV

Χο. μηδαμῶς, ὦ δέσποθ' Ἑρμῆ, μηδαμῶς, μὴ [ἀντ. α'
μηδαμῶς,
εἴ τι κεχαρισμένον
χοιρίδιον οἶσθα παρ' ἐ-
μοῦ γε κατεδηδοκώς,
τοῦτο μὴ φαῦλον νόμιζ' ἐν τουτῳὶ τῷ πράγματι.
Τρ. οὐκ ἀκούεις οἷα θωπεύουσί σ', ὦναξ δέσποτα;
Χο. †μὴ γένῃ παλίγκοτος
ἀντιβολοῦσιν ἡμῖν,†
ὥστε τήνδε μὴ λαβεῖν·
ἀλλὰ χάρισ', ὦ φιλαν-
θρωπότατε καὶ μεγαλο-
δωρότατε δαιμόνων,
εἴ τι Πεισάνδρου βδελύττει τοὺς λόφους καὶ τὰς ὀφρῦς,
καί σε θυσίαισιν ἱε-
ραῖσι προσόδοις τε μεγά-
λαισι διὰ παντός, ὦ
δέσποτ', ἀγαλοῦμεν ἡμεῖς ἀεί.

Τρ. ἴθ', ἀντιβολῶ σ', ἐλέησον αὐτῶν τὴν ὄπα,
ἐπεί σε καὶ τιμῶσι μᾶλλον ἢ πρὸ τοῦ—
Ερ. κλέπται τὰ νῦν γὰρ μᾶλλόν εἰσιν ἢ πρὸ τοῦ.
Τρ. καί σοι φράσω τι πρᾶγμα δεινὸν καὶ μέγα,
ὃ τοῖς θεοῖς ἅπασιν ἐπιβουλεύεται.
Ερ. ἴθι δὴ κάτειπ'· ἴσως γὰρ ἂν πείσαις ἐμέ.
Τρ. ἡ γὰρ Σελήνη χὠ πανοῦργος Ἥλιος
ὑμῖν ἐπιβουλεύοντε πολὺν ἤδη χρόνον
τοῖς βαρβάροισι προδίδοτον τὴν Ἑλλάδα.

387b γε L: om. cett. 388 νόμιζ' Bentley: νομίζων codd. τουτῳὶ Dindorf: τῷδε codd., quo recepto τῷ ⟨νῦν⟩ Bentley 390–1 locus perdifficilis: μηδ' ἔχε παλιγκότως | ἀντιβολίαις ἐμαῖς Rogers 392 χάρισ' L: χάρισαι cett. 396 ἱεραῖσι προσόδοις L, Su. α 217: ἱεραῖς προσόδοισι cett. 402 τὰ νῦν γὰρ μᾶλλόν εἰσιν Meineke: τε γὰρ νῦν μᾶλλόν εἰσιν V: γὰρ νῦν μᾶλλόν εἰσιν R$^{pc}$: γὰρ νῦν εἰσι μᾶλλον p, lm. sch. Γ: γάρ εἰσι νῦν μᾶλλον Γ, unde γάρ εἰσι νῦν ⟨γε⟩ μᾶλλον L 407 ἐπιβουλεύοντε R: -ονται VΓp: -ουσι L

*Ερ.* ἵνα δὴ τί τοῦτο δρᾶτον;
*Τρ.* ὁτιὴ νὴ Δία
ἡμεῖϲ μὲν ὑμῖν θύομεν, τούτοιϲι δὲ
οἱ βάρβαροι θύουϲι. διὰ τοῦτ' εἰκότωϲ
βούλοιντ' ἂν ἡμᾶϲ πάνταϲ ἐξολωλέναι,
ἵνα τὰϲ τελετὰϲ λάβοιεν αὐτοὶ τῶν θεῶν.
*Ερ.* ταῦτ' ἄρα πάλαι τῶν ἡμερῶν παρεκλεπτέτην
καὶ τοῦ κύκλου παρέτρωγον ὑφ' ἁμαρτωλίαϲ.
*Τρ.* ναὶ μὰ Δία. πρὸϲ ταῦτ', ὦ φίλ' Ἑρμῆ, ξύλλαβε
ἡμῖν προθύμωϲ τήνδε τε ξυνέλκυϲον.
καὶ ϲοὶ τὰ μεγάλ' ἡμεῖϲ Παναθήναι' ἄξομεν
πάϲαϲ τε τὰϲ ἄλλαϲ τελετὰϲ τὰϲ τῶν θεῶν,
μυϲτήρι' Ἑρμῇ, Διπολίει', Ἀδώνια·
ἄλλαι τέ ϲοι πόλειϲ πεπαυμέναι κακῶν
ἀλεξικάκῳ θύϲουϲιν Ἑρμῇ πανταχοῦ.
χἄτερ' ἔτι πόλλ' ἕξειϲ ἀγαθά. πρῶτον δέ ϲοι
δῶρον δίδωμι τήνδ', ἵνα ϲπένδειν ἔχῃϲ.
*Ερ.* οἴμ', ὡϲ ἐλεήμων εἴμ' ἀεὶ τῶν χρυϲίδων.
*Τρ.* ὑμέτερον ἐντεῦθεν ἔργον, ὦνδρεϲ. ἀλλὰ ταῖϲ ἄμαιϲ
εἰϲιόντεϲ ὡϲ τάχιϲτα τοὺϲ λίθουϲ ἀφέλκετε.
*Χο.* ταῦτα δράϲομεν· ϲὺ δ' ἡμῖν, ὦ θεῶν ϲοφώτατε,
ἅττα χρὴ ποιεῖν ἐφεϲτὼϲ φράζε δημιουργικῶϲ·
τἄλλα δ' εὑρήϲειϲ ὑπουργεῖν ὄνταϲ ἡμᾶϲ οὐ κακούϲ.
*Τρ.* ἄγε δὴ ϲὺ ταχέωϲ ὕπεχε τὴν φιάλην, ὅπωϲ
ἔργῳ 'φιαλοῦμεν εὐξάμενοι τοῖϲιν θεοῖϲ.
*Ερ.* ϲπονδὴ ϲπονδή·

409 *δὴ τί* Bentley: *τί δὴ* RVΓp: *τί δὲ* L  *ὁτιὴ* RV: *ὅτι* cett.  *νὴ* ⟨*τὸν*⟩ L  412 *ἡμᾶϲ* RV: *ὑμᾶϲ* cett.  414 *παρεκλεπτέτην* Brunck: -*έπτετον* vel -*επτον* codd. (sed *παρα*- V)  415 *ἁμαρτωλίαϲ* Photius α 1141, Antiatticista 79.10, Bentley: *ἁρματωλίαϲ* codd., Su. α 3971, Hdn. et Phryn. ap. sch.  417 *τήνδε*] *τῇϲδε* Blaydes: *τῶνδε* (i.e. funium) Meineke  *τε* Meineke: *καὶ* codd.  *ξυνέλκυϲον*] *ξυνανέλκυϲον* Dobree: *κἀξανέλκυϲον* Agar  420 *Διπολίει'* Wackernagel: *Διιπόλει'* codd.  v. del. Meineke  421 *ἄλλαι* Meineke: *ἄλλαι* codd.  424 *ϲπένδειν*] *ϲπένδων* L  428 *δράϲομεν*] *δράϲωμεν* p  432 *'φιαλοῦμεν* Bentley ex Eustathio 1403.19–20: *φιαλοῦμεν* codd.

εὐφημεῖτε εὐφημεῖτε.
Τρ. cπένδοντες εὐχώμεςθα τὴν νῦν ἡμέραν
Ἕλληςιν ἄρξαι πᾶςι πολλῶν κἀγαθῶν,
χὤςτις προθύμως ξυλλάβοι τῶν cχοινίων,
τοῦτον τὸν ἄνδρα μὴ λαβεῖν ποτ' ἀςπίδα.
Χο. μὰ Δί', ἀλλ' ἐν εἰρήνῃ διαγαγεῖν τὸν βίον,
ἔχονθ' ἑταίραν καὶ cκαλεύοντ' ἄνθρακας.
Τρ. ὅςτις δὲ πόλεμον μᾶλλον εἶναι βούλεται—
Χο. μηδέποτε παύςαςθ' αὐτόν, ὦ Διόνυς' ἄναξ,
ἐκ τῶν ὀλεκράνων ἀκίδας ἐξαιρούμενον.
Τρ. κεἴ τις ἐπιθυμῶν ταξιαρχεῖν coὶ φθονεῖ
εἰς φῶς ἀνελθεῖν, ὦ πότνι', ἐν ταῖςιν μάχαις—
Χο. πάςχοι γε τοιαῦθ' οἷάπερ Κλεώνυμος.
Τρ. κεἴ τις δορυξὸς ἢ κάπηλος ἀςπίδων,
ἵν' ἐμπολᾷ βέλτιον, ἐπιθυμεῖ μαχῶν—
Χο. ληφθείς ⟨γ'⟩ ὑπὸ ληςτῶν ἐςθίοι κριθὰς μόνας.
Τρ. κεἴ τις cτρατηγεῖν βουλόμενος μὴ ξυλλάβῃ
ἢ δοῦλος αὐτομολεῖν παρεςκευαςμένος—
Χο. ἐπὶ τοῦ τροχοῦ γ' ἕλκοιτο μαςτιγούμενος.
Τρ. ἡμῖν δ' ἀγαθὰ γένοιτ'. ἰὴ παιών, ἰή.
Χο. ἄφελε τὸ παίειν, ἀλλ' "ἰὴ" μόνον λέγε.
Τρ. ἰὴ ἰὴ τοίνυν, ἰὴ μόνον λέγω.
Ἑρμῇ, Χάριςιν, Ὥραιςιν, Ἀφροδίτῃ, Πόθῳ—
Χο. Ἄρει δὲ μή.
Τρ. μή.
Χο. μηδ' Ἐνυαλίῳ γε.
Τρ. μή.

435 εὐχώμεςθα] εὐχόμεςθα Hamaker 437 χὤςτις RB: χὤτις cett. ξυλλάβοι RV: -βῃ cett. 439 διαγαγεῖν Lenting: διάγειν RVΓp: διάγειν με L: γε διάγειν Rogers: διαζῆν van Herwerden post v. 440 lacunam 7–9 vv. indicavit p 443 ἐκ τῶν ⟨γ'⟩ Neil 445 post πότνια add. γ' L ταῖςιν Bekker: ταῖς codd. 446 πάςχοι γε] πάςχοιτο V 447 κεἴ] εἴ RV 449 suppl. Neil 450 ξυλλάβῃ] ξυλλάβοι Richter 453 γένοιτ' B: γένοιθ' cett. 455 ἰὴ μόνον L: ἰὴ ἰὴ μόνον cett. 456 Ὥραιςιν L: Ὥραις cett.

Ερ. ὑπότεινε δὴ πᾶς καὶ κάταγε τοῖςιν κάλῳς.
Χο. ὦ εἶα [ςτρ.
— εἶα μάλα.
— ὦ εἶα.
— εἶα ἔτι μάλα.
— ὦ εἶα, ὦ εἶα.
— ἀλλ' οὐχ ἕλκους' ἅνδρες ὁμοίως.
οὐ ξυλλήψεςθ'; οἷ' ὀγκύλλεςθ'·
οἰμώξεςθ', οἱ Βοιωτοί.
Χο. εἶά νυν.
— εἶα ὤ.
— ἄγε νυν ξυνανέλκετε καὶ ςφώ.
Τρ. οὔκουν ἕλκω κἀξαρτῶμαι
κἀπεμπίπτω καὶ ςπουδάζω;
Χο. πῶς οὖν οὐ χωρεῖ τοὔργον;

Τρ. ὦ Λάμαχ', ἀδικεῖς ἐμποδὼν καθήμενος.
οὐδὲν δεόμεθ', ὤνθρωπε, τῆς ςῆς μορμόνος.
Ερ. οὐδ' οἵδε γ' εἷλκον οὐδὲν Ἁργεῖοι πάλαι
ἀλλ' ἢ κατεγέλων τῶν ταλαιπωρουμένων,
καὶ ταῦτα διχόθεν μιςθοφοροῦντες ἄλφιτα.
Τρ. ἀλλ' οἱ Λάκωνες, ὦγάθ', ἕλκους' ἀνδρικῶς.
Ερ. ἆρ' οἶςθ'; ὅςοι γ' αὐτῶν ἔχοντ' ἐν τῷ ξύλῳ,
μόνοι προθυμοῦντ'· ἀλλ' ὁ χαλκεὺς οὐκ ἐᾷ.
Τρ. οὐδ' οἱ Μεγαρῆς δρῶς' οὐδέν· ἕλκουςιν δ' ὅμως
γλιςχρότατα ςαρκάζοντες ὥςπερ κυνίδια—
Ερ. ὑπὸ τοῦ γε λιμοῦ νὴ Δί' ἐξολωλότες.

458–519 de personarum vicibus parum constat    459 κάλῳς L s.l.: κάλοις cett.    462 εἶα L, cf. sch. VΓ ad 459: om. cett.    464 ἅνδρες Dindorf: ἄνδρες codd.    469 ἄγε νυν Austin: ἄγετον codd.: ἄγε δὴ Zimmermann: ἀλλ' ἄγετε Hermann    ξυνανέλκετε Dobree: ξυνέλκετον codd. praeter V, qui ξυνάλκετον cum νε supra scripto praebet    475 οὐδ' R: εὖ δ' V: εὖ cett.    Ἁργεῖοι V, Dindorf: Ἀ- cett.    479 ἔχοντ' ἐν τῷ ξύλῳ van Leeuwen: ἔχονται τοῦ ξύλου codd.: ἐνέχονται τῷ ξύλῳ Richards    481 Μεγαρῆς ΓL: -ρεῖς cett.

Χο. οὐδὲν ποιοῦμεν, ὦνδρεϲ. ἀλλ' ὁμοθυμαδὸν
ἅπαϲιν ἡμῖν αὖθιϲ ἀντιληπτέον.
ὢ εἶα. [ἀντ.
— εἶα μάλα.
— ὢ εἶα.
— εἶα νὴ Δία.
— μικρόν γε κινοῦμεν.
Τρ. οὔκουν δεινὸν ⟨κἄτοπον, ὑμῶν⟩
τοὺϲ μὲν τείνειν τοὺϲ δ' ἀντιϲπᾶν;
πληγὰϲ λήψεϲθ', Ὠργεῖοι.
Χο. εἶά νυν.
— εἶα ὤ.
— κακόνοι τινέϲ εἰϲιν ἐν ἡμῖν.
Τρ. ὑμεῖϲ μέν νυν οἱ κιττῶντεϲ
τῆϲ εἰρήνηϲ ϲπᾶτ' ἀνδρείωϲ.
Χο. ἀλλ' εἴϲ' οἳ κωλύουϲιν.

Ερ. ἄνδρεϲ Μεγαρῆϲ, οὐκ ἐϲ κόρακαϲ ἐρρήϲετε;
μιϲεῖ γὰρ ὑμᾶϲ ἡ θεὸϲ μεμνημένη·
πρῶτοι γὰρ αὐτὴν τοῖϲ ϲκορόδοιϲ ἠλείψατε.
καὶ τοῖϲ Ἀθηναίοιϲι παύϲαϲθαι λέγω
ἐντεῦθεν ἐχομένοιϲ ὅθεν νῦν ἕλκετε·
οὐδὲν γὰρ ἄλλο δρᾶτε πλὴν δικάζετε.
ἀλλ' εἴπερ ἐπιθυμεῖτε τήνδ' ἐξελκύϲαι,
πρὸϲ τὴν θάλατταν ὀλίγον ὑποχωρήϲατε.
Τρ. ἄγ', ὦνδρεϲ, αὐτοὶ δὴ μόνοι λαβώμεθ' οἱ γεωργοί.
Ερ. χωρεῖ γέ τοι τὸ πρᾶγμα πολλῷ μᾶλλον, ὦνδρεϲ, ὑμῖν.

484 ὦνδρεϲ R: ἄνδρεϲ cett. 491 suppl. Merry: alii alia 496 ante κακόνοι praebent codd. ὡϲ: del. White κακόνοι τινέϲ R, Su. κ 163: κακοί τινεϲ V: κακὸν οἵτινεϲ p: κακόν, εἴ τινεϲ L ἡμῖν Su.: ὑμῖν codd. 497 νυν Lenting: οὖν codd.: γ' οὖν Bentley 498 ἀνδρείωϲ Bentley: ἀνδρικῶϲ codd. 499 εἴϲ' L: εἰϲὶν cett. 500 Μεγαρῆϲ RB: -ρεῖϲ cett. 508–11 personarum vices ita distinxit Landfester 508 ἄγ'] ἀλλ' P70 509 γέ τοι RV: γε p: τε δὴ L: γε δὴ B

Χο. χωρεῖν τὸ πρᾶγμά φηϲιν· ἀλλὰ πᾶϲ ἀνὴρ
προθυμοῦ.
Ερ. οἵ τοι γεωργοὶ τοὔργον ἐξέλκουϲι κἄλλοϲ οὐδείϲ.
Χο. ἄγε νυν, ἄγε πᾶϲ.
Ερ. καὶ μὴν ὁμοῦ 'ϲτιν ἤδη.
Χο. μή νυν ἀνῶμεν, ἀλλ' ἐπεντείνωμεν ἀνδρικώτερον.
Ερ. ἤδη 'ϲτὶ τοῦτ' ἐκεῖνο.
Χο. ὢ εἶα νυν, ὢ εἶα πᾶϲ.
ὢ εἶα εἶα εἶά ⟨νυν⟩.
ὢ εἶα εἶα εἶα πᾶϲ.
Τρ. ὦ πότνια βοτρυόδωρε, τί προϲείπω ϲ' ἔποϲ;
πόθεν ἂν λάβοιμι ῥῆμα μυριάμφορον
ὅτῳ προϲείπω ϲ'; οὐ γὰρ εἶχον οἴκοθεν.
ὦ χαῖρ' Ὀπώρα, καὶ ϲὺ δ', ὦ Θεωρία·
οἷον δ' ἔχειϲ τὸ πρόϲωπον, ὦ φίλη θεόϲ,
οἷον δὲ πνεῖϲ, ὡϲ ἡδὺ κατὰ τῆϲ καρδίαϲ,
γλυκύτατον, ὥϲπερ ἀϲτρατείαϲ καὶ μύρου.
Ερ. μῶν οὖν ὅμοιον καὶ γυλιοῦ ϲτρατιωτικοῦ;
Τρ. ἀπέπτυϲ' ἐχθροῦ φωτὸϲ ἔχθιϲτον πλέκοϲ.
τοῦ μὲν γὰρ ὄζει κρομμυοξυρεγμίαϲ,
ταύτηϲ δ' ὀπώραϲ, ὑποδοχῆϲ, Διονυϲίων,
αὐλῶν, τραγῳδῶν, Σοφοκλέουϲ μελῶν, κιχλῶν,
ἐπυλλίων Εὐριπίδου—
Ερ. κλαύϲἄρα ϲὺ
ταύτηϲ καταψευδόμενοϲ· οὐ γὰρ ἥδεται
αὕτη ποιητῇ ῥηματίων δικανικῶν.
Τρ. κιττοῦ, τρυγοίπου, προβατίων βληχωμένων,
κόλπου γυναικῶν διατρεχουϲῶν εἰϲ ἰπνόν,

511 ἐξέλκουϲι] ἐκτελοῦϲι van Herwerden 513 ἤδη] ἤδ' ἐγγύϲ L 518 εἶα bis vel pluries codd.: iambos ita restituit et ⟨νῦν⟩ supplevit Richter, cf. sch. R: trimetros maluit Olson 523 δ'] γ' Blaydes 524 ὦ φίλη θεόϲ Blaydes: ὦ Θεωρία codd.: Εἰρήνη φίλη Meineke 530 ταύτηϲ] τηϲδὶ Blaydes 531 τραγῳδῶν] τρυγῳδῶν Brunck 536 κόλπου] κτύπου Reiske: alii alia ἰπνόν (sic) v.l. ap. sch., lm. *Rhet. lex.* 186 Naoumides: ἀγρόν codd.

δούλης μεθυούσης, ἀνατετραμμένου χοῶς,
ἄλλων τε πολλῶν κἀγαθῶν—
*Ερ.* ἴθι νυν, ἄθρει
οἷον πρὸς ἀλλήλας λαλοῦσιν αἱ πόλεις
διαλλαγεῖσαι καὶ γελῶσιν ἄσμεναι—
*Τρ.* καὶ ταῦτα δαιμονίως ὑπωπιασμέναι
ἀπαξάπασαι καὶ κυάθους προσκείμεναι.
*Ερ.* καὶ τῶνδε τοίνυν τῶν θεωμένων σκόπει
τὰ πρόσωφ', ἵνα γνῷς τὰς τέχνας.
*Τρ.* αἰβοῖ τάλας.
*Ερ.* ἐκεινονὶ γοῦν τὸν λοφοποιὸν οὐχ ὁρᾷς
τίλλονθ' ἑαυτόν;
*Τρ.* ὁ δέ γε τὰς σμινύας ποιῶν
κατέπαρδεν ἄρτι τοῦ ξιφουργοῦ 'κεινουί.
*Ερ.* ὁ δὲ δρεπανουργὸς οὐχ ὁρᾷς ὡς ἥδεται—
*Τρ.* καὶ τὸν δορυξὸν οἷον ἐσκιμάλισεν;
ἴθι νυν ἄνειπε τοὺς γεωργοὺς ἀπιέναι.
*Ερ.* ἀκούετε λεῴ· τοὺς γεωργοὺς ἀπιέναι
τὰ γεωργικὰ σκεύη λαβόντας εἰς ἀγρὸν
ὡς τάχιστ' ἄνευ δορατίου καὶ ξίφους κἀκοντίου·
ὡς ἅπαντ' ἤδη 'στὶ μεστὰ τἀνθάδ' εἰρήνης σαπρᾶς.
ἀλλὰ πᾶς χώρει πρὸς ἔργον εἰς ἀγρὸν παιωνίσας.
*Χο.* ὦ ποθεινὴ τοῖς δικαίοις καὶ γεωργοῖς ἡμέρα,
ἄσμενός σ' ἰδὼν προσειπεῖν βούλομαι τὰς ἀμπέλους,
τάς τε συκᾶς, ἃς ἐγὼ 'φύτευον ὢν νεώτερος,
ἀσπάσασθαι θυμὸς ἡμῖν ἐστι πολλοστῷ χρόνῳ.
*Τρ.* νῦν μὲν οὖν, ὦνδρες, προσευξώμεσθα πρῶτον τῇ θεῷ,
ἥπερ ἡμῶν τοὺς λόφους ἀφεῖλε καὶ τὰς Γοργόνας·
εἶθ' ὅπως λιταργιοῦμεν οἴκαδ' εἰς τὰ χωρία,
ἐμπολήσαντές τι χρηστὸν εἰς ἀγρὸν ταρίχιον.
*Ερ.* ὦ Πόσειδον, ὡς καλὸν τὸ στῖφος αὐτῶν φαίνεται

538–55 personarum vices parum certae 542 κυάθους] κυάθοις L 545 γοῦν RV: γὰρ L: om. p 549 δορυξόν ⟨γ'⟩ Sommerstein, qui hunc v. Trygaeo tribuit 557 σ' B, Stobaeus 4.15.2: γ' L: om. cett. 561 ἡμῶν] ἡμῖν B

καὶ πυκνὸν καὶ γοργόν, ὥςπερ μᾶζα καὶ πανδαιcία.
Τρ. νὴ Δί' ἡ γοῦν cφῦρα λαμπρὸν ἦν ἄρ' ἐξωπλιcμένη,
αἵ τε θρίνακες διαcτίλβουcι πρὸς τὸν ἥλιον.
ἦ καλῶς αὐτῶν ἀπαλλάξειεν ἂν μετόρχιον.
ὥςτ' ἔγωγ' ἤδη 'πιθυμῶ καὐτὸς ἐλθεῖν εἰς ἀγρὸν
καὶ τριαινοῦν τῇ δικέλλῃ διὰ χρόνου τὸ γήδιον.
ἀλλ' ἀναμνηcθέντες, ὦνδρες,
τῆς διαίτης τῆς παλαιᾶς,
ἣν παρεῖχ' αὕτη ποθ' ἡμῖν,
τῶν τε παλαcίων ἐκείνων,
τῶν τε cύκων, τῶν τε μύρτων,
τῆς τρυγός τε τῆς γλυκείας,
τῆς ἰωνιᾶς τε τῆς πρὸς
τῷ φρέατι τῶν τ' ἐλαῶν
ὧν ποθοῦμεν,
ἀντὶ τούτων τήνδε νυνὶ
τὴν θεὸν προcείπατε.

Χο. χαῖρε, χαῖρ', ὡς ἀcμένοιcιν ἦλθες ἡμῖν, [ἀντ. β'
φιλτάτη·
cῷ γὰρ ἐδάμην πόθῳ,
δαιμόνια βουλόμενος
εἰς ἀγρὸν ἀνερπύcαι.
⟨– ∪ – × – ∪ – × – ∪ – × – ∪ –⟩
ἦcθα γὰρ μέγιcτον ἡμῖν κέρδος, ὦ ποθουμένη,
πᾶcιν ὁπόcοι γεωρ-
γὸν βίον ἐτρίβομεν·
καὶ γὰρ ὠφέλεις μόνη.
πολλὰ γὰρ ἐπάcχομεν
πρίν ποτ' ἐπὶ coῦ γλυκέα

566 γοῦν Sommerstein: γὰρ codd.: γε Blaydes ἄρ' RVΓ: ἂν L: om. p
582 ὡς ... φιλτάτη Enger: ὦ φίλταθ', ὡς ἀcμένοιcιν ἡμῖν ἦλθες codd.
583 ἐδάμην Bothe, cf. sch.: ἐδάμημεν codd. 584 δαιμόνια R: δαίμονα cett. βουλόμενος Dindorf, cf. sch.: βουλόμενοι codd.
586 lacunam statuit Bergk 588 γεωργὸν Bothe: γεωργικὸν codd.
590 καὶ ... μόνη Platnauer: μόνη γὰρ ἡμᾶς ὠφέλεις codd.

κἀδάπανα καὶ φίλα.
τοῖϲ ἀγροίκοιϲιν γὰρ ἦϲθα χῖδρα καὶ ϲωτηρία.
ὥϲτε ϲε τά τ' ἀμπέλια
καὶ τὰ νέα ϲυκίδια
τἄλλα θ' ὁπόϲ' ἐϲτὶ φυτὰ
προϲγελάϲεται λαβόντ' ἄϲμενα.

ἀλλὰ ποῦ ποτ' ἦν ἀφ' ἡμῶν τὸν πολὺν τοῦτον χρόνον
ἥδε; τοῦθ' ἡμᾶϲ δίδαξον, ὦ θεῶν εὐνούϲτατε.
*Ερ.* ὦ ϲοφώτατοι γεωργοί, τἀμὰ δὴ ξυνίετε
ῥήματ', εἰ βούλεϲθ' ἀκοῦϲαι τήνδ' ὅπωϲ ἀπώλετο.
πρῶτα μὲν γὰρ †αὐτῆϲ ἦρξε† Φειδίαϲ πράξαϲ κακῶϲ.
εἶτα Περικλέηϲ φοβηθεὶϲ μὴ μετάϲχοι τῆϲ τύχηϲ,
τὰϲ φύϲειϲ ὑμῶν δεδοικὼϲ καὶ τὸν αὐτοδὰξ τρόπον,
πρὶν παθεῖν τι δεινὸν αὐτόϲ, ἐξέφλεξε τὴν πόλιν,
ἐμβαλὼν ϲπινθῆρα μικρὸν Μεγαρικοῦ ψηφίϲματοϲ·
κἀξεφύϲηϲεν τοϲοῦτον πόλεμον ὥϲτε τῷ καπνῷ
πάνταϲ Ἕλληναϲ δακρῦϲαι, τούϲ τ' ἐκεῖ τούϲ τ' ἐνθάδε.
ὡϲ δ' ἅπαξ τὸ πρῶτον ἄκουϲ' ἐψόφηϲεν ἄμπελοϲ
καὶ πίθοϲ πληγεὶϲ ὑπ' ὀργῆϲ ἀντελάκτιϲεν πίθῳ,
οὐκέτ' ἦν οὐδεὶϲ ὁ παύϲων, ἥδε δ' ἠφανίζετο.
*Τρ.* ταῦτα τοίνυν μὰ τὸν Ἀπόλλω 'γὼ 'πεπύϲμην οὐδενόϲ,
οὐδ' ὅπωϲ αὐτῇ προϲήκοι Φειδίαϲ ἠκηκόη.
*Χο.* οὐδ' ἔγωγε, πλήν γε νυνί. ταῦτ' ἄρ' εὐπρόϲωποϲ ἦν,
οὖϲα ϲυγγενὴϲ ἐκείνου. πολλά γ' ἡμᾶϲ λανθάνει.
*Ερ.* κᾆτ' ἐπειδὴ 'γνωϲαν ὑμᾶϲ αἱ πόλειϲ ὧν ἤρχετε

595 *ἀγροίκοιϲι* L: *-οιϲ* cett. 598 *ὁπόϲ'* Bentley: *ὅϲ'* codd. 601 *τοῦτον* RV: om. *Γp*: *ἤδη* L 603 *ϲοφώτατοι*] *λιπερνῆτεϲ* Diod. Sic. 12.40.6: *περνῆτεϲ* Aristodemus *FGrH* 104F16 *δὴ ξυνίετε*] *τιϲ ξυνιέτω* Diod. Sic. 605 *αὐτῆϲ ἦρξε* codd. et Diod. Sic.: *ἦρξατ' αὐτῆϲ* Aristodemus: *ἥψατ' αὐτῆϲ* Herington: *ἦρξεν ἄτηϲ* Seidler: *ἦρξε ταραχῆϲ* Holford-Strevens: *εἶρξεν αὐτὴν* Blaydes, duce Reiske 606 *μετάϲχοι* RV: *-χῃ* cett., Diod. Sic. *τύχηϲ*] *δίκηϲ* L 610 *κἀξεφύϲηϲεν* Bentley: *ἐξ-* codd., Diod. Sic., Aristodemus 612 *ἄκουϲ'*] *ἤκουϲ'* L: *ἀφθεῖϲ'* Blaydes: an *αἴθουϲ'*? 613 *ἀντελάκτιϲεν*] *ἀντελάκηϲεν* Wilson, cf. *Nub.* 410 616 *ἠκηκόη* Brunck: *-όειν* P61, codd.

ἠγριωμένουϲ ἐπ' ἀλλήλοιϲι καὶ ϲεϲηρόταϲ,
πάντ' ἐμηχανῶντ' ἐφ' ὑμῖν τοὺϲ φόρουϲ φοβούμεναι,
κἀνέπειθον τῶν Λακώνων τοὺϲ μεγίϲτουϲ χρήμαϲιν.
οἱ δ' ἅτ' ὄντεϲ αἰϲχροκερδεῖϲ καὶ διειρωνόξενοι
τήνδ' ἀπορρίψαντεϲ αἰϲχρῶϲ τὸν πόλεμον ἀνήρπαϲαν·
κᾆτα τἀκείνων γε κέρδη τοῖϲ γεωργοῖϲ ἦν κακά·
αἱ γὰρ ἐνθένδ' αὖ τριήρειϲ ἀντιτιμωρούμεναι
οὐδὲν αἰτίων ἂν ἀνδρῶν τὰϲ κράδαϲ κατήϲθιον.

Τρ. ἐν δίκῃ μὲν οὖν, ἐπεί τοι τήν κορώνεών γέ μου
ἐξέκοψαν, ἣν ἐγὼ 'φύτευϲα κἀξεθρεψάμην.

Χο. νὴ Δί', ὦ μέλ', ἐν δίκῃ ⟨γε⟩ δῆτ', ἐπεὶ κἀμοῦ λίθον
ἐμβαλόντεϲ ἑξμέδιμνον κυψέλην ἀπώλεϲαν.

Ερ. κἀνθάδ' ὡϲ ἐκ τῶν ἀγρῶν ξυνῆλθεν οὑργάτηϲ λεώϲ,
τὸν τρόπον πωλούμενοϲ τὸν αὐτὸν οὐκ ἐμάνθανεν,
ἀλλ' ἅτ' ὢν ἄνευ γιγάρτων καὶ φιλῶν τὰϲ ἰϲχάδαϲ
ἔβλεπεν πρὸϲ τοὺϲ λέγονταϲ· οἱ δὲ γιγνώϲκοντεϲ εὖ
τοὺϲ πένηταϲ ἀϲθενοῦνταϲ κἀποροῦνταϲ ἀλφίτων,
τήνδε μὲν δικροῖϲ ἐώθουν τὴν θεὸν κεκράγμαϲιν,
πολλάκιϲ φανεῖϲαν αὐτὴν τῆϲδε τῆϲ χώραϲ πόθῳ,
τῶν δὲ ϲυμμάχων ἔϲειον τοὺϲ παχεῖϲ καὶ πλουϲίουϲ,
αἰτίαϲ ἂν προϲτιθέντεϲ ὡϲ "φρονοῖ τὰ Βραϲίδου".
εἶτ' ἂν ὑμεῖϲ τοῦτον ὥϲπερ κυνίδι' ἐϲπαράττετε·
ἡ πόλιϲ γὰρ ὠχριῶϲα κἀν φόβῳ καθημένη,
ἅττα διαβάλοι τιϲ αὐτῇ, ταῦτ' ἂν ἥδιϲτ' ἤϲθιεν.
οἱ δὲ τὰϲ πληγὰϲ ὁρῶντεϲ ἃϲ ἐτύπτονθ', οἱ ξένοι,
χρυϲίῳ τῶν ταῦτα ποιούντων ἐβύνουν τὸ ϲτόμα,
ὥϲτ' ἐκείνουϲ μὲν ποιῆϲαι πλουϲίουϲ, ἡ δ' Ἑλλὰϲ ἂν

627 ἂν ἀνδρῶν RV: ἀνδρῶν Γp: ἀνδρῶν γε L 629 'φύτευϲα κἀξεθρεψάμην Bentley: φυτεύϲαϲ ἐξεθρεψάμην codd. 630 μέλ' ed. Parisina a. 1528: μέλε' codd. ἐν δίκῃ Porson: ἐνδίκωϲ codd. suppl. Bentley (δῆτά γ' L) 632 κἀνθάδ' Dobree: κᾆτα δ' codd. 633 ἐμάνθανεν] ἐλάνθανεν Γ$^{ac}$L 635 ἔβλεπεν Brunck: -πε codd. γιγνώϲκοντεϲ V: γιν- cett. 640 φρονεῖ LH, Su. β 519: φρονοῖ cett. 643 ἅττα Fl. Christianus: ἅττ' ἂν codd. διαβάλοι] -βάλλοι VL ἤϲθιεν RL$^2$B: ἤϲθιον cett. 644 ἐτύπτονθ' RV: ἔτυπτον cett.: ἐτύπτεθ' Hirschig 646 ἂν] αὖ Blaydes

ἐξερημωθεῖς' ἂν ὑμᾶς ἔλαθε. ταῦτα δ' ἦν ὁ δρῶν
βυρσοπώλης.
Τρ. παῦε παῦ', ὦ δέσποθ' Ἑρμῆ, μὴ λέγε,
ἀλλ' ἔα τὸν ἄνδρ' ἐκεῖνον οὗπερ ἔστ' εἶναι κάτω·
οὐ γὰρ ἡμέτερος ἔτ' ἔστ' ἐκεῖνος ἀνὴρ ἀλλὰ σός.
ἅττ' ἂν οὖν λέγῃς ἐκεῖνον,
κεἰ πανοῦργος ἦν, ὅτ' ἔζη,
καὶ λάλος καὶ συκοφάντης
καὶ κύκηθρον καὶ τάρακτρον,
ταῦθ' ἁπαξάπαντα νυνὶ
τοὺς σεαυτοῦ λοιδορεῖς.
ἀλλ' ὅ τι σιωπᾷς, ὦ πότνια, κάτειπέ μοι.
Ερ. ἀλλ' οὐκ ἂν εἴποι πρός γε τοὺς θεωμένους·
ὀργὴν γὰρ αὐτοῖς ὧν ἔπαθε πολλὴν ἔχει.
Τρ. ἡ δ' ἀλλὰ πρὸς σὲ μικρὸν εἰπάτω μόνον.
Ερ. εἴφ' ὅ τι νοεῖς αὐτοῖσι πρὸς ἔμ', ὦ φιλτάτη.
ἴθ', ὦ γυναικῶν μισοπορπακιστάτη.
εἶέν, ἀκούω. ταῦτ' ἐπικαλεῖς; μανθάνω.
ἀκούσαθ' ὑμεῖς ὧν ἕνεκα μομφὴν ἔχει.
ἐλθοῦσά φησιν αὐτομάτη μετὰ τὰν Πύλῳ
σπονδῶν φέρουσα τῇ πόλει κίστην πλέαν
ἀποχειροτονηθῆναι τρὶς ἐν τἠκκλησίᾳ.
Τρ. ἡμάρτομεν ταῦτ'· ἀλλὰ συγγνώμην ἔχε·
ὁ νοῦς γὰρ ἡμῶν ἦν τότ' ἐν τοῖς σκύτεσιν.
Ερ. ἴθι νυν ἄκουσον οἷον ἄρτι μ' ἤρετο·
ὅστις κακόνους αὐτῇ μάλιστ' ἦν ἐνθάδε,
χὤστις φίλος κἄσπευδεν εἶναι μὴ μάχας.
Τρ. εὐνούστατος μὲν ἦν μακρῷ Κλεώνυμος.
Ερ. ποῖός τις οὖν εἶναι 'δόκει τὰ πολεμικὰ

648 ante βυρσοπώλης add. ὁ codd. praeter L 650 ἔτ' RV: om. ΓpB: τις L ἀνὴρ Bekker: ἀνὴρ codd. 656 σεαυτοῦ] σαυτοῦ RV 661 αὐτοῖσι L: αὐτοῖς cett. 663 εἶέν ⟨γ'⟩ L 664 ὑμεῖς] ἡμεῖς R: . . . ν P61: ἡμῖν Richter 674 'δόκει Richards: δοκεῖ codd.

ὁ Κλεώνυμοϲ;
Τρ. ψυχήν γ' ἄριϲτοϲ, πλήν γ' ὅτι
οὐκ ἦν ἄρ' οὗπέρ φηϲιν εἶναι τοῦ πατρόϲ.
εἰ γάρ ποτ' ἐξέλθοι ϲτρατιώτηϲ, εὐθέωϲ
ἀποβολιμαῖοϲ τῶν ὅπλων ἐγίγνετο.
Ερ. ἔτι νυν ἄκουϲον οἷον ἄρτι μ' ἤρετο,
ὅϲτιϲ κρατεῖ νῦν τοῦ λίθου τοῦ 'ν τῇ Πυκνί.
Τρ. Ὑπέρβολοϲ νῦν τοῦτ' ἔχει τὸ χωρίον.
αὕτη, τί ποιεῖϲ; τὴν κεφαλὴν ποῖ περιάγειϲ;
Ερ. ἀποϲτρέφεται τὸν δῆμον ἀχθεϲθεῖϲ', ὅτι
οὕτω πονηρὸν προϲτάτην ἐπεγράψατο.
Τρ. ἀλλ' οὐκέτ' αὐτῷ χρηϲόμεθ' οὐδέν, ἀλλὰ νῦν
ἀπορῶν ὁ δῆμοϲ ἐπιτρόπου καὶ γυμνὸϲ ὢν
τοῦτον τέωϲ τὸν ἄνδρα περιεζώϲατο.
Ερ. πῶϲ οὖν ξυνοίϲει ταῦτ' ἐρωτᾷ τῇ πόλει.
Τρ. εὐβουλότεροι γενηϲόμεθα.
Ερ. τρόπῳ τίνι;
Τρ. ὅτι τυγχάνει λυχνοποιὸϲ ὤν. πρὸ τοῦ μὲν οὖν
ἐψηλαφῶμεν ἐν ϲκότῳ τὰ πράγματα,
νυνὶ δ' ἅπαντα πρὸϲ λύχνον βουλεύϲομεν.
Ερ. ὢ ὤ,
οἷά μ' ἐκέλευϲεν ἀναπυθέϲθαι ϲου.
Τρ. τὰ τί;
Ερ. πάμπολλα, καὶ τἀρχαῖ' ἃ κατέλιπεν τότε·
πρῶτον δ' ὅ τι πράττει Ϲοφοκλέηϲ ἀνήρετο.
Τρ. εὐδαιμονεῖ, πάϲχει δὲ θαυμαϲτόν.
Ερ. τὸ τί;
Τρ. ἐκ τοῦ Ϲοφοκλέουϲ γίγνεται Ϲιμωνίδηϲ.

675 prius γ' RV: τ' ΓpL: om. B 676 οὗπερ Bentley: ὅπερ RVΓp: ὥϲπερ L 678 ἐγίγνετο Brunck: ἐγίνετο codd. post hunc v. lacunam statuit Bergk, ut mentio κακονοίαϲ (v. 671) fieret 680 κρατεῖ νῦν] κρατύνει lm. *Rhet. lex.* 249 Naoumides, cf. sch. R Πυκνί] Πνυκί L 682 ποῖ RV: om. Γp: ϲου L 684 οὕτω Cobet: αὐτῷ codd. 693 τὰ] τὸ Reiske 694 καὶ] δὴ Blaydes 697 γίγνεται Brunck: γίνεται codd.

Ερ. Cιμωνίδης; πῶς;
Τρ. ὅτι γέρων ὢν καὶ caπρὸc
κέρδους ἕκατι κἂν ἐπὶ ῥιπὸc πλέοι.
Ερ. τί δαὶ Κρατῖνος ὁ coφός; ἔcτιν;
Τρ. ἀπέθανεν,
ὅθ' οἱ Λάκωνες ἐνέβαλον.
Ερ. τί παθών;
Τρ. ὅ τι;
ὡρακιάcαc· οὐ γὰρ ἐξηνέcχετο
ἰδὼν πίθον καταγνύμενον οἴνου πλέων.
χἄτερα πόc' ἄττ' οἴει γεγενῆcθ' ἐν τῇ πόλει;
ὥcτ' οὐδέποτ, ὦ δέcποιν', ἀφηcόμεcθά cου.
Ερ. ἴθι νυν ἐπὶ τούτοιc τὴν Ὀπώραν λάμβανε
γυναῖκα cαυτῷ τήνδε· κᾆτ' ἐν τοῖc ἀγροῖc
ταύτῃ ξυνοικῶν ἐκποιοῦ cαυτῷ βότρυc.
Τρ. ὦ φιλτάτη, δεῦρ' ἐλθὲ καὶ δόc μοι κύcαι.
ἆρ' ἂν βλαβῆναι διὰ χρόνου τί coι δοκῶ,
ὦ δέcποθ' Ἑρμῆ, τῆc Ὀπώραc κατελάcαc;
Ερ. οὔκ, εἴ γε κυκεῶν' ἐπιπίοιc βληχωνίαν.
ἀλλ' ὡc τάχιcτα τήνδε τὴν Θεωρίαν
ἀπάγαγε τῇ βουλῇ λαβών, ἧcπέρ ποτ' ἦν.
Τρ. ὦ μακαρία βουλὴ cὺ τῆc Θεωρίαc,
ὅcον ῥοφήcει ζωμὸν ἡμερῶν τριῶν,
ὅcαc δὲ κατέδει χόλικαc ἐφθὰc καὶ κρέα.
ἀλλ', ὦ φίλ' Ἑρμῆ, χαῖρε πολλά.
Ερ. καὶ cύ γε,
ὤνθρωπε, χαίρων ἄπιθι καὶ μέμνηcό μου.
Τρ. ὦ κάνθαρ', οἴκαδ' οἴκαδ' ἀποπετώμεθα.
Ερ. οὐκ ἐνθάδ', ὦ τᾶν, ἐcτι.
Τρ. ποῖ γὰρ οἴχεται;
Ερ. ὑφ' ἅρματ' ἐλθὼν Ζηνὸc ἀcτραπηφορεῖ.

700 δαί Γρ: δέ cett. 705 ἀφηcόμεcθα Invernizi: -όμεθα R: ἀφεξόμεθα VH: ἀφεξόμεcθα cett. 714 ἀπάγαγε RV: ἄπαγε Γρ: ἄπαγε cὺ L 715 βουλὴ cὺ sch., Bentley: cὺ βουλὴ codd. 716 ῥοφήcει Elmsley: -cειc codd.

Τρ. πόθεν οὖν ὁ τλήμων ἐνθάδ' ἕξει ϲιτία;
Ερ. τὴν τοῦ Γανυμήδουϲ ἀμβροϲίαν ϲιτήϲεται.
Τρ. πῶϲ δῆτ' ἐγὼ καταβήϲομαι;
Ερ. θάρρει, καλῶϲ·
τῃδὶ παρ' αὐτὴν τὴν θεόν.
Τρ. δεῦρ', ὦ κόραι,
ἕπεϲθον ἅμ' ἐμοὶ θᾶττον, ὡϲ πολλοὶ πάνυ
ποθοῦντεϲ ὑμᾶϲ ἀναμένουϲ' ἐϲτυκότεϲ.

Χο. ἀλλ' ἴθι χαίρων· ἡμεῖϲ δὲ τέωϲ τάδε τὰ ϲκεύη παραδόντεϲ
τοῖϲ ἀκολούθοιϲ δῶμεν ϲῴζειν, ὡϲ εἰώθαϲι μάλιϲτα
περὶ τὰϲ ϲκηνὰϲ πλεῖϲτοι κλέπται κυπτάζειν καὶ κακοποιεῖν.
ἀλλὰ φυλάττετε ταῦτ' ἀνδρείωϲ· ἡμεῖϲ δ' αὖ τοῖϲι θεαταῖϲ
ἣν ἔχομεν ὁδὸν λόγων εἴπωμεν ὅϲα τε νοῦϲ ἔχει.
χρῆν μὲν τύπτειν τοὺϲ ῥαβδούχουϲ, εἴ τιϲ κωμῳδοποιητὴϲ
αὑτὸν ἐπῄνει πρὸϲ τὸ θέατρον παραβὰϲ ἐν τοῖϲ ἀναπαίϲτοιϲ·
εἰ δ' οὖν εἰκόϲ τινα τιμῆϲαι, θύγατερ Διόϲ, ὅϲτιϲ ἄριϲτοϲ
κωμῳδοδιδάϲκαλοϲ ἀνθρώπων καὶ κλεινότατοϲ γεγένηται,
ἄξιοϲ εἶναί φηϲ' εὐλογίαϲ μεγάληϲ ὁ διδάϲκαλοϲ ἡμῶν.
πρῶτον μὲν γὰρ τοὺϲ ἀντιπάλουϲ μόνοϲ ἀνθρώπων κατέπαυϲεν
εἰϲ τὰ ῥάκια ϲκώπτονταϲ ἀεὶ καὶ τοῖϲ φθειρϲὶν πολεμοῦνταϲ,

725 θάρρει P11, Brunck: θάρϲει codd. 726 κόραι] κόρα Meineke 729 παραδόντεϲ] παραβάντεϲ Richards 730 δῶμεν] φῶμεν Meineke 732 φυλάττετε V: φύλαττε RΓp: φύλαττε ϲὺ L 733 ἔχομεν RLP: ἔχωμεν VΓCH ὅϲα τε νοῦϲ] χὦϲά τε νοῦϲ αὐτὸϲ L νοῦϲ] νοῦν Schneider 740 φθειρϲὶν P11, B: -ϲὶ cett.

τούς θ' Ἡρακλέας τοὺς μάττοντας κἀεὶ πεινῶντας ἐκείνους
ἐξήλασ' ἀτιμώσας πρῶτος, καὶ τοὺς δούλους παρέλυσεν
τοὺς φεύγοντας κἀξαπατῶντας καὶ τυπτομένους, ἐπίτηδες
{οὓς ἐξῆγον κλάοντας ἀεί, καὶ τούτους οὕνεκα τουδί}
ἵν' ὁ σύνδουλος σκώψας αὐτοῦ τὰς πληγὰς εἶτ' ἀνέροιτο·
"ὦ κακόδαιμον, τί τὸ δέρμ' ἔπαθες; μῶν ὑστριχὶς εἰσέβαλέν σοι
εἰς τὰς πλευρὰς πολλῇ στρατιᾷ κἀδενδροτόμησε τὸ νῶτον;"
τοιαῦτ' ἀφελὼν κακὰ καὶ φόρτον καὶ βωμολοχεύματ' ἀγεννῆ
ἐποίησε τέχνην μεγάλην ὑμῖν κἀπύργωσ' οἰκοδομήσας
ἔπεσιν μεγάλοις καὶ διανοίαις καὶ σκώμμασιν οὐκ ἀγοραίοις,
οὐκ ἰδιώτας ἀνθρωπίσκους κωμῳδῶν οὐδὲ γυναῖκας,
ἀλλ' Ἡρακλέους ὀργήν τιν' ἔχων τοῖσι μεγίστοις ἐπεχείρει,
διαβὰς βυρσῶν ὀσμὰς δεινὰς κἀπειλὰς βορβοροθύμους.
καὶ πρῶτον μὲν μάχομαι πάντων αὐτῷ τῷ καρχαρόδοντι,
οὗ δεινόταται μὲν ἀπ' ὀφθαλμῶν Κύννης ἀκτῖνες ἔλαμπον,

741 κἀεὶ van Herwerden: καὶ τοὺς Π11, codd. 743 ante 742 transp. Bergk 743 παρέλυσεν RV: κατέλυσεν cett.: [Π11] 744 v. praebent Π11 (cum ἐξήγαγον pro ἐξῆγον), codd.: del. Hamaker, Bergk (qui aut 743 aut 744 delendum censuit) 745 εἶτ' ἀνέροιτο Bentley: ἐπανέροιτο Π11 ut videtur, codd., Su. ε 1468 747 τὸ νῶτον Π11, Su. υ 693 codd. plerique: τὰ νῶτα L: τὸν νῶτον cett. 749 ὑμῖν Blaydes: ἡμῖν codd. 752 τοῖσι] θηρσὶ Merry ἐπεχείρει] ἐπιχειρεῖ L 753 βορβοροθύμους] βαρβαρο- e sch. Bentley: βαρβαρομύθους Meineke 754 μὲν μάχομαι] δὴ 'μαχόμην Richter 755 οὗ] ᾧ Kiehl δεινόταται] δεινότεραι Kiehl Κύννης R, $\mathrm{V}^{ac}$?, L, Su. κ 2692: Κύνης $\mathrm{V}^{pc}$Γp: κυνὸς ὡς Eratosthenes ap. sch.

*ἑκατὸν δὲ κύκλῳ κεφαλαὶ κολάκων οἰμωξομένων ἐλιχμῶντο*
*περὶ τὴν κεφαλήν, φωνὴν δ' εἶχεν χαράδρας ὄλεθρον τετοκυίαϲ,*
*φώκηϲ δ' ὀϲμήν, Λαμίαϲ δ' ὄρχειϲ ἀπλύτουϲ, πρωκτὸν δὲ καμήλου.*
*τοιοῦτον ἰδὼν τέραϲ οὐ κατέδειϲ', ἀλλ' ὑπὲρ ὑμῶν πολεμίζων*
*ἀντεῖχον ἀεὶ καὶ τῶν ἄλλων νήϲων. ὧν οὕνεκα νυνὶ*
*ἀποδοῦναί μοι τὴν χάριν ὑμᾶϲ εἰκὸϲ καὶ μνήμοναϲ εἶναι.*
*καὶ γὰρ πρότερον πράξαϲ κατὰ νοῦν οὐχὶ παλαίϲτραϲ περινοϲτῶν*
*παῖδαϲ ἐπείρων, ἀλλ' ἀράμενοϲ τὴν ϲκευὴν εὐθὺϲ ἐχώρουν,*
*παῦρ' ἀνιάϲαϲ, πόλλ' εὐφράναϲ, πάντα παραϲχὼν τὰ δέοντα.*
*πρὸϲ ταῦτα χρεὼν εἶναι μετ' ἐμοῦ*
*καὶ τοὺϲ ἄνδραϲ καὶ τοὺϲ παῖδαϲ·*
*καὶ τοῖϲ φαλακροῖϲι παραινοῦμεν*
*ξυϲπουδάζειν περὶ τῆϲ νίκηϲ.*
*πᾶϲ γάρ τιϲ ἐρεῖ νικῶντοϲ ἐμοῦ*
*κἀπὶ τραπέζῃ καὶ ξυμποϲίοιϲ,*
*"φέρε τῷ φαλακρῷ, δὸϲ τῷ φαλακρῷ*
*τῶν τρωγαλίων, καὶ μὰ ἀφαίρει*
*γενναιοτάτου τῶν ποιητῶν*
*ἀνδρὸϲ τὸ μέτωπον ἔχοντοϲ."*

*Μοῦϲα, ϲὺ μὲν πολέμουϲ ἀπωϲαμένη μετ' ἐμοῦ* [*ϲτρ.*
*τοῦ φίλου χόρευϲον,*

756 *κεφαλαὶ*] *γλῶτται* Bentley  *ἐλιχμῶντο* RVB, Su.: *ἐλιχνῶντο* cett., sch., Hsch.  758 alterum *δ'* P11, Bentley: om. codd., Su. λ 85  *καμήλου* P11, L: *καμίνου* fere cett.  759 *τοιοῦτον* P11, L: *τοιοῦτ'* cett.  760 *οὕνεκα* Brunck: *εἵνεκα* P11, codd.  770 *καὶ*] *κἀν* Meineke

κλείουσα θεῶν τε γάμους
ἀνδρῶν τε δαῖτας καὶ θαλίας μακάρων·
σοὶ γὰρ τάδ' ἐξ ἀρχῆς μέλει.
ἢν δέ σε Καρκίνος ἐλθὼν
ἀντιβολῇ μετὰ τῶν παίδων χορεῦσαι,
μήθ' ὑπάκουε μήτ' ἔλ-
θῃς συνέριθος αὐτοῖς,
ἀλλὰ νόμιζε πάντας
ὄρτυγας οἰκογενεῖς, γυλιαύχενας ὀρχηστὰς
νανοφυεῖς, σφυράδων ἀποκνίσματα, μηχανοδίφας.
καὶ γὰρ ἔφασχ' ὁ πατὴρ ὃ παρ' ἐλπίδας
εἶχε τὸ δρᾶμα γαλῆν τῆς ἑσπέρας ἀπάγξαι.

τοιάδε χρὴ Χαρίτων δαμώματα καλλικόμων [ἀντ.
τὸν σοφὸν ποιητὴν
ὑμνεῖν, ὅταν ἠρινὰ μὲν
φωνῇ χελιδὼν ἡδομένη κελαδῇ,
χορὸν δὲ μὴ 'χῃ Μόρσιμος
μηδὲ Μελάνθιος, οὗ δὴ
πικροτάτην ὄπα γηρύσαντος ἤκουσ',
ἡνίκα τῶν τραγῳδῶν
τὸν χορὸν εἶχον ἀδελ-
φός τε καὶ αὐτός, ἄμφω
Γοργόνες ὀψοφάγοι, βατιδοσκόποι Ἅρπυιαι,
γραοσόβαι μιαροί, τραγομάσχαλοι ἰχθυολῦμαι·
ὧν καταχρεμψαμένη μέγα καὶ πλατύ,
Μοῦσα θεά, μετ' ἐμοῦ ξύμπαιζε τὴν ἑορτήν.

783 ἀντιβολῇ P11, Vs.l., B: -λεῖ cett. 785 ὑπάκουε Bentley: ὑπακούσῃς P11, codd. plerique: ὑπάσῃς L 786 συνέριθος codd.: ξυνεριθ[ P11 790 νανοφυεῖς P11: ναννο- codd., Su. κ 396, σ 1762 ἀποκνίσματα] ὑπο- R, Su. σ 1762 795 εἶχε τὸ δρᾶμα parum luculentum 800 ἡδομένη Meineke: ἑζομένη codd.: ἡδομένη Bergk: [P11] 807 εἶχον] εἶχεν R, sch. VΓ ἀδελφὸς Bekker: ἀ- codd. 810 ὀψοφάγοι] -φάγω *Rhet. lex.* 198 Naoumides 816 τὴν] τήνδ' van Herwerden

Τρ. ὡϲ χαλεπὸν ἐλθεῖν ἦν ἄρ' εὐθὺ τῶν θεῶν.
ἔγωγέ τοι πεπόνηκα κομιδῇ τὼ ϲκέλει.
μικροὶ δ' ὁρᾶν ἄνωθεν ἦϲτ'. ἔμοιγέ τοι
ἀπὸ τοὐρανοῦ 'φαίνεϲθε κακοήθειϲ πάνυ,
ἐντευθενὶ δὲ πολύ τι κακοηθέϲτεροι.
Οι. ὦ δέϲποθ', ἥκειϲ;
Τρ. ὡϲ ἐγὼ 'πυθόμην τινόϲ.
Οι. τί δ' ἔπαθεϲ;
Τρ. ἤλγουν τὼ ϲκέλει μακρὰν ὁδὸν
διεληλυθώϲ.
Οι. ἴθι νυν, κάτειπέ μοι—
Τρ. τὸ τί;
Οι. ἄλλον τιν' εἶδεϲ ἄνδρα κατὰ τὸν ἀέρα
πλανώμενον πλὴν ϲαυτόν;
Τρ. οὔκ, εἰ μή γέ που
ψυχὰϲ δύ' ἢ τρεῖϲ διθυραμβοδιδαϲκάλων.
Οι. τί δ' ἔδρων;
Τρ. ξυνελέγοντ' ἀναβολὰϲ ποτώμεναι
τὰϲ εὐδιαεριαυρινηχέτουϲ τινάϲ.
Οι. οὐκ ἦν ἄρ' οὐδ' ἃ λέγουϲι, κατὰ τὸν αἰθέρα
ὡϲ ἀϲτέρεϲ γιγνόμεθ', ὅταν τιϲ ἀποθάνῃ;
Τρ. μάλιϲτα.
Οι. καὶ τίϲ ἐϲτιν ἀϲτὴρ νῦν ἐκεῖ;
Τρ. Ἴων ὁ Χῖοϲ, ὅϲπερ ἐποίηϲεν πάλαι
ἐνθάδε τὸν Ἀοῖόν ποθ'· ὡϲ δ' ἦλθ', εὐθέωϲ

819 ἦν ante ἐλθεῖν transp. L θεῶν] νεῶν L 820 ἔγωγε] ἐγὼ δὲ Hdn. I 420.12, II 360.16, Choeroboscus II 137.21, 161.9 τὼ ϲκέλει Hall & Geldart: τὼ ϲκέλη P11, RV, Hdn., Choerob.: τὰ ϲκέλη Γp L: non amplius notatur 822 ἀπὸ τοὐρανοῦ] ἀπ' οὐρανοῦ L 'φαίνεϲθε Bentley (*apparebatis* Divus): φαίνεϲθαι (vel -θε) P11, codd. 824 ἐγὼ P11, L: ἔγωγ' cett.: γ' ἐγὼ Dindorf 825 ἤλγουν] ἀλγῶ Hamaker 830 ποτώμεναι] πωτώμεναι V, Hsch. 831 εὐδι- Bentley: ἐνδι- codd., Su. δ 1029, ε 1174 -αυρι- Dindorf: -αυερι- RV: -ανερι- cett.: -αιερι- Su. δ 1029: -αιθερι- Reisig 832 ἃ] ὃ Hamaker αἰθέρα Sommerstein: ἀέρα codd. 833 γιγνόμεθ' Brunck: γίνομεθ' codd. 836 ὡϲ δ' ἦλθ'] ὥϲτε γ' L

Ἀοῖον αὐτὸν πάντεϲ ἐκάλουν ἀϲτέρα.
Οι. τίνεϲ γάρ εἰϲ' οἱ διατρέχοντεϲ ἀϲτέρεϲ,
οἳ καόμενοι θέουϲιν;
Τρ. ἀπὸ δείπνου τινὲϲ
τῶν πλουϲίων οὗτοι βαδίζουϲ' ἀϲτέρων
ἰπνοὺϲ ἔχοντεϲ, ἐν δὲ τοῖϲ ἰπνοῖϲι πῦρ.
ἀλλ' εἴϲαγ' ὡϲ τάχιϲτα ταυτηνὶ λαβών,
καὶ τὴν πύελον κατάκλυζε καὶ θέρμαιν' ὕδωρ,
ϲτόρνυ τ' ἐμοὶ καὶ τῇδε κουρίδιον λέχοϲ.
καὶ ταῦτα δράϲαϲ ἧκε δεῦρ' αὖθιϲ πάλιν·
ἐγὼ δ' ἀποδώϲω τήνδε τῇ βουλῇ τέωϲ.
Οι. πόθεν δ' ἔλαβεϲ ταύταϲ ϲύ;
Τρ. πόθεν; ἐκ τοὐρανοῦ.
Οι. οὐκ ἂν ἔτι δοίην τῶν θεῶν τριώβολον,
εἰ πορνοβοϲκοῦϲ' ὥϲπερ ἡμεῖϲ οἱ βροτοί.
Τρ. οὔκ, ἀλλὰ κἀκεῖ ζῶϲιν ἀπὸ τούτων τινέϲ.
Οι. ἄγε νυν ἴωμεν. εἰπέ μοι, δῶ καταφαγεῖν
ταύτῃ τι;
Τρ. μηδέν· οὐ γὰρ ἐθελήϲει φαγεῖν
οὔτ' ἄρτον οὔτε μᾶζαν, εἰωθυῖ' ἀεὶ
παρὰ τοῖϲ θεοῖϲιν ἀμβροϲίαν λείχειν ἄνω.
Οι. λείχειν ἄρ' αὐτῇ κἀνθάδε ϲκευαϲτέον.

Χο. εὐδαιμονικῶϲ γ' ὁ πρε- [ϲτρ.
ϲβύτηϲ, ὅϲα γ' ὧδ' ἰδεῖν,
τὰ νῦν τάδε πράττει.
Τρ. τί δῆτ' ἐπειδὰν νυμφίον μ' ὁρᾶτε λαμπρὸν ὄντα;
Χο. ζηλωτὸϲ ἔϲει γέρων,
αὖθιϲ νέοϲ ὢν πάλιν,
μύρῳ κατάλειπτοϲ.

838 γὰρ] δ' ἄρ' van Herwerden 840 βαδίζουϲ' L: βαδίζουϲιν cett. 844 τ' ἐμοὶ Brunck: τέ μοι codd. 847 ταύταϲ RV: ταῦτα cett.: ταύτα Brunck τοὐρανοῦ RV: τῶν οὐρανῶν cett. 849 πορνοβοϲκοῦϲ' L: -οῦϲιν cett. 855 κἀνθάδε RV: κανᾶδε p: καὶ κανᾶ L 857 ὧδ'] ἔϲτ' Brunck 860 γέρων B: γέρον cett.

Τρ. οἶμαι. τί δῆθ' ὅταν ξυνὼν τῶν τιτθίων ἔχωμαι;
Χο. εὐδαιμονέϲτεροϲ φανεῖ τῶν Καρκίνου ϲτροβίλων.
Τρ. οὔκουν δικαίωϲ; ὅϲτιϲ εἰϲ ὄχημα κανθάρου 'πιβὰϲ
ἔϲωϲα τοὺϲ Ἕλληναϲ, ὥϲτ' ἐν τοῖϲ ἀγροῖϲιν αὐτοὺϲ
ἅπανταϲ ὄνταϲ ἀϲφαλῶϲ κινεῖν τε καὶ καθεύδειν.

Οι. ἡ παῖϲ λέλουται καὶ τὰ τῆϲ πυγῆϲ καλά·
ὁ πλακοῦϲ πέπεπται, ϲηϲαμῆ ξυμπλάττεται,
καὶ τἄλλ' ἁπαξάπαντα· τοῦ πέουϲ δὲ δεῖ.
Τρ. ἴθι νυν, ἀποδῶμεν τήνδε τὴν Θεωρίαν
ἀνύϲαντε τῇ βουλῇ.
Οι. τί; ταυτηνί; τί φῄϲ;
αὕτη Θεωρία 'ϲτίν, ἣν ἡμεῖϲ ποτε
ἐπαίομεν Βραυρωνάδ' ὑποπεπωκότεϲ;
Τρ. ϲάφ' ἴϲθι, κἀλήφθη γε μόλιϲ.
Οι. ὦ δέϲποτα,
ὅϲην ἔχει τὴν πρωκτοπεντετηρίδα.
Τρ. εἶέν· τίϲ ἐϲθ' ὑμῶν δίκαιοϲ; τίϲ ποτε;
τίϲ διαφυλάξει τήνδε τῇ βουλῇ λαβών;
οὗτοϲ, τί περιγράφειϲ;
Οι. τὸ δεῖν', εἰϲ Ἴϲθμια
ϲκηνὴν ἐμαυτοῦ τῷ πέει καταλαμβάνω.
Τρ. οὔπω λέγεθ' ὑμεῖϲ τίϲ ὁ φυλάξων. δεῦρο ϲύ·
καταθήϲομαι γὰρ αὐτὸϲ εἰϲ μέϲουϲ ἄγων.
Οι. ἐκεινοcὶ νεύει.
Τρ. τίϲ;
Οι. ὅϲτιϲ; Ἀριφράδηϲ,

863 *οἶμαι*] *οἴμοι* Lenting 864 *φανεῖ* RVB: *φανεῖϲ* cett. 865 *εἰϲ*] *εἴϲ* Nenci 866 *ἀγροῖϲιν αὐτοὺϲ* L: *ἀγροῖϲ* cett.: lacunam statuit Dindorf 867 *κινεῖν*] *βινεῖν* Fl. Christianus 872 prius *τί* p: *τι* V: om. R: *τίϲ* L *ταυτηνί* V: *ταυτηί* R: *ταύτην* p: *ἐϲθ' αὕτη* L: *τίϲ αὑτηί* Dobree 874 *ἐπαίομεν*] *ἐπέμπομεν* Kock *ὑποπεπωκότεϲ* B, cf. sch.: *ὑποπεπτ-* cett. post hunc v. lacunam statuit van Herwerden 879 *εἰϲ* RV: *ἐϲ* L: om. p 882 *αὐτὸϲ εἰϲ μέϲουϲ* Seidler: *αὐτοὺϲ ἐϲ μέϲουϲ* V: *εἰϲ μέϲουϲ αὐτοὺϲ* fere cett. ⟨ϲ'⟩ *ἄγων* Rogers

ἄγειν παρ' αὑτὸν ἀντιβολῶν.

Τρ. ἀλλ', ὦ μέλε,
τὸν ζωμὸν αὐτῆς προσπεσὼν ἐκλάψεται.
ἄγε δὴ cὺ κατάθου πρῶτα τὰ cκεύη χαμαί.
βουλή, πρυτάνεις, ὁρᾶτε τὴν Θεωρίαν.
cκέψαcθ' ὅc' ὑμῖν ἀγαθὰ παραδώcω φέρων,
ὥcτ' εὐθέωc ἄραντας ὑμᾶc τὼ cκέλει
ταύτηc μετεώρω κᾆτ' ἀγαγεῖν Ἀνάρρυcιν.
τουτὶ δ' ὁρᾶτε τοὐπτάνιον.

Οι. οἴμ' ὡc καλόν.
διὰ ταῦτα καὶ κεκάπνικεν ἆρ'· ἐνταῦθα γὰρ
πρὸ τοῦ πολέμου τὰ λάcανα τῇ βουλῇ ποτ' ἦν.

Τρ. ἔπειτ' ἀγῶνά γ' εὐθὺc ἐξέcται ποιεῖν
ταύτην ἔχουcιν αὔριον καλὸν πάνυ,
ἐπὶ γῆc παλαίειν, τετραποδηδὸν ἱcτάναι,
{πλαγίαν καταβάλλειν, εἰc γόνατα κύβδ' ἑcτάναι,}
καὶ παγκράτιόν γ' ὑπαλειψαμένοιc νεανικῶc
παίειν, ὀρύττειν, πὺξ ὁμοῦ καὶ τῷ πέει·
τρίτῃ δὲ μετὰ ταῦθ' ἱπποδρομίαν ἄξετε,
ἵνα δὴ κέληc κέλητα παρακελητιεῖ,
ἅρματα δ' ἐπ' ἀλλήλοιcιν ἀνατετραμμένα
φυcῶντα καὶ πνέοντα προcκινήcεται·
ἕτεροι δὲ κείcονταί γ' ἀπεψωλημένοι
περὶ ταῖcι καμπαῖc ἡνίοχοι πεπτωκότεc.
ἀλλ', ὦ πρυτάνειc, δέχεcθε τὴν Θεωρίαν.
θέαc' ὡc προθύμωc ὁ πρύτανιc παρεδέξατο.
ἀλλ' οὐκ ἄν, εἴ τι προῖκα προcαγαγεῖν c' ἔδει,

886 τὰ cκεύη] τὴν cκευὴν Meineke  890 μετεώρω Blaydes: μετέωρα codd. κᾆτ' ἀγαγεῖν van Herwerden: καταγαγεῖν codd. 891 ὁρᾶτε τοὐπτάνιον] ὁρᾶτ', ὀπτάνιον Bentley  οἴμ' Zacher: ἡμῖν RV (sed post καλὸν transp. V): ὑμῖν cett.  892 κεκάπνικεν Brunck: κεκάπνικ' codd.  894 ἔπειτ'] κἄπειτ' van Herwerden  896 ἱcτάναι Bothe: ἑcτάναι codd. v. del. Willems  896a v. praebet R solus: del. Rogers  900 ἵνα δὴ RV: ἡνίκα δὴ Γρ: ἡνίκα δὲ L  906 θέαc'] ἴθ' L  907 προῖκ' ἂν RVΓ

ἀλλ' ηὗρον ἄν ϲ' ὑπέχοντα τὴν ἐκεχειρίαν.

Χο. ἦ χρηϲτὸϲ ἀνὴρ πολί- [ἀντ.
ταιϲ ἐϲτὶν ἅπαϲιν ὅϲ-
τιϲ ἐϲτὶ τοιοῦτοϲ.
Τρ. ὅταν τρυγᾶτ', εἴϲεϲθε πολλῷ μᾶλλον οἷόϲ εἰμι.
Χο. καὶ νῦν ϲύ γε δῆλοϲ εἶ·
ϲωτὴρ γὰρ ἅπαϲιν ἀν-
θρώποιϲ γεγένηϲαι.
Τρ. φήϲειϲ ⟨γ'⟩, ἐπειδὰν ἐκπίῃϲ οἴνου νέου λεπαϲτήν.
Χο. καὶ πλήν γε τῶν θεῶν ἀεί ϲ' ἡγηϲόμεϲθα πρῶτον.
Τρ. πολλῶν γὰρ ὑμῖν ἄξιοϲ Τρυγαῖοϲ Ἀθμονεὺϲ ἐγώ,
δεινῶν ἀπαλλάξαϲ πόνων τὸν δημότην ὅμιλον
καὶ τὸν γεωργικὸν λεών, Ὑπέρβολόν τε παύϲαϲ.

Οι. ἄγε δή, τί νῷν ἐντευθενὶ ποιητέον;
Τρ. τί δ' ἄλλο γ' ἢ ταύτην χύτραιϲ ἱδρυτέον;
Χο. χύτραιϲιν, ὥϲπερ μεμφόμενον Ἑρμήδιον;
Τρ. τῷ δαὶ δοκεῖ; βούλεϲθε λαρινῷ βοΐ;
Χο. βοΐ; μηδαμῶϲ, ἵνα μὴ βοηθεῖν ποι δέῃ.
Τρ. ἀλλ' ὑῒ παχείᾳ καὶ μεγάλῃ;
Χο. μὴ μή.
Τρ. τιή;
Χο. ἵνα μὴ γένηται Θεογένουϲ ὑηνία.
Τρ. τῷ δαὶ δοκεῖ ϲοι δῆτα τῶν λοιπῶν;
Χο. οΐ.
Τρ. οΐ;
Χο. ναὶ μὰ Δί'.
Τρ. ἀλλὰ τοῦτό γ' ἔϲτ' Ἰωνικὸν

908 ηὗρον Meineke: εὗρον codd. 910 πολίταιϲ Hermann: πολίτηϲ codd. 912 post ὅϲτιϲ add. γ' L 916 φήϲειϲ γ' Dindorf: φήϲειϲ RVΓp, Su. λ 285: φήϲειϲ τί δῆτ' LB (omisso νέου): τί δῆται (sic) Athenaeus 485 A, unde τί δῆτ' Biset 919 Ἀθμονεὺϲ Dawes: Ἀ- codd. 920 ὅμιλον del. Dindorf 924 Ἑρμήδιον Schwabe: Ἑρμίδιον codd. 925 τῷ Blaydes: τί codd. δαὶ] δὲ RV 926 δέῃ Dindorf: δέοι codd. 928 Θεογένουϲ Dindorf: Θεα- codd., Su. υ 79 929 τῷ R: τί cett. δαὶ Dawes: δὴ codd.

τὸ ῥῆμ'.

Χο. ἐπίτηδές γ', ἵν' ⟨ὅταν⟩ ἐν τἠκκληcίᾳ
ὡς χρὴ πολεμεῖν λέγῃ τις, οἱ καθήμενοι
ὑπὸ τοῦ δέους λέγωc' Ἰωνικῶς "ὀϊ"—

Τρ. εὖ τοι λέγεις.

Χο. —καὶ τἄλλα γ' ὦcιν ἤπιοι.
ὥςτ' ἐcόμεθ' ἀλλήλοιcιν ἀμνοὶ τοὺς τρόπους
καὶ τοῖcι cυμμάχοιcι πρᾳότεροι πολύ.

Τρ. ἴθι νυν, ἄγ' ὡς τάχιcτα τὸ πρόβατον λαβών·
ἐγὼ δὲποριῶ βωμὸν ἐφ' ὅτου θύcομεν.

Χο. ὡς πάνθ' ὅc' ἂν θεὸς θέλῃ χὴ τύχῃ κατορθοῖ [cτρ.
χωρεῖ κατὰ νοῦν, ἕτερον δ' ἑτέρῳ
τούτων κατὰ καιρὸν ἀπαντᾷ.

Τρ. ὡς ταῦτα δῆλά γ' ἔcθ'· ὁ γὰρ βωμὸς θύραcι καὶ δή.

Χο. ⟨ἄγ'⟩ ἐπείγετέ νυν ἐν ὅcῳ cοβαρὰ
θεόθεν κατέχει πολέμου μετάτροπος
αὔρα· νῦν γὰρ δαίμων φανερῶς
εἰς ἀγαθὰ μεταβιβάζει.

Τρ. τὸ κανοῦν πάρεcτ' ὀλὰς ἔχον καὶ cτέμμα καὶ μάχαιραν,
καὶ πῦρ γε τουτί, κοὐδὲν ἴcχει πλὴν τὸ πρόβατον ἡμᾶς.

Χο. οὔκουν ἁμιλλήcεcθον; ὡς
ὁ Χαῖρις ἢν ὑμᾶς ἴδῃ,
πρόcειcιν αὐλήcων ἄκλη-
τος, κᾆτα τοῦδ' εὖ οἶδ' ὅτι
φυcῶντι καὶ πονουμένῳ
προcδώcετε δήπου.

931 post ῥῆμα add. γ' L suppl. Meineke 932 λέγῃ V: λέγει cett. 939 θεὸς θέλῃ] θεὸς θέλῃ γε B et fortasse V$^{ac}$: θέλῃ γε L ἢ τύχῃ del. Bothe, κατορθοῦν pro κατορθοῖ reposito: χὴ τύχῃ κατορθοῖ del. Bergk 942 θύραcι RV, Su. β 492, θ 600: θύραιcι(ν) cett. 943 suppl. Dindorf: ⟨κατ⟩επείγετε Bothe: ⟨φέρ'⟩ ἐπείγετε van Herwerden 947 εἰς] ἐς Bothe: ἐπ' Bachmann 948–9 servo tribuit M. G. Bonanno 951–3~1034–6 de numeris vide Parker, *Songs*, 286 951 ὁ Χαῖρις ἢν Bentley: ἢν Χαῖρις codd. 953 τοῦδ' Olson: τοῦθ' codd.: τοῦτ' ed. Iuntina (1525)

Τρ. ἄγε δή, τὸ κανοῦν λαβὼν ϲὺ καὶ τὴν χέρνιβα
περίιθι τὸν βωμὸν ταχέωϲ ἐπιδέξια.
Οι. ἰδού· λέγοιϲ ἂν ἄλλο· περιελήλυθα.
Τρ. φέρε δή, τὸ δαλίον τόδ' ἐμβάψω λαβών.
ϲείου ϲὺ ταχέωϲ· ϲὺ δὲ πρότεινε τῶν ὀλῶν,
καὐτόϲ γε χερνίπτου παραδοὺϲ ταύτην ἐμοί,
καὶ τοῖϲ θεαταῖϲ ῥῖπτε τῶν κριθῶν.
Οι. ἰδού.
Τρ. ἔδωκαϲ ἤδη;
Οι. νὴ τὸν Ἑρμῆν, ὥϲτε γε
τούτων ὅϲοιπέρ εἰϲι τῶν θεωμένων
οὐκ ἔϲτιν οὐδεὶϲ ὅϲτιϲ οὐ κριθὴν ἔχει.
Τρ. οὐχ αἱ γυναῖκέϲ γ' ἔλαβον.
Οι. ἀλλ' εἰϲ ἑϲπέραν
δώϲουϲιν αὐταῖϲ ἄνδρεϲ.
Τρ. ἀλλ' εὐχώμεθα.
τίϲ τῇδε; ποῦ ποτ' εἰϲὶ πολλοὶ κἀγαθοί;
Οι. τοιϲδὶ φέρε δῶ· πολλοὶ γάρ εἰϲι κἀγαθοί.
Τρ. τούτουϲ ἀγαθοὺϲ ἐνόμιϲαϲ;
Οι. οὐ γάρ, οἵτινεϲ
ἡμῶν καταχεόντων ὕδωρ τοϲουτονὶ
εἰϲ ταὐτὸ τοῦθ' ἑϲτᾶϲ' ἰόντεϲ χωρίον;
Τρ. ἀλλ' ὡϲ τάχιϲτ' εὐχώμεθ'.
Οι. εὐχώμεϲθα δή.
Τρ. ὦ ϲεμνοτάτη βαϲίλεια θεά,
πότνι' Εἰρήνη,
δέϲποινα χορῶν, δέϲποινα γάμων,
δέξαι θυϲίαν τὴν ἡμετέραν.

959 δαλίον sch. et v.l. ap. Su. δ 31, cf. Hsch.: δᾳδίον codd. 961 γε Enger: τε codd. 962 τοῖϲ Dindorf: τοῖϲιν R: τοῖϲι V 964 ὅϲοιπέρ εἰϲι] ὅϲοι πάρειϲι Bergk 967 ἄνδρεϲ Dindorf, duce Brunck: ἄ- codd. 968 εἰϲί] ἐϲτέ Tyrwhitt 972 τοῦθ' Reiske: τοῦτ' codd. ἑϲτᾶϲ' ἰόντεϲ] ἑϲτᾶϲιν ὄντεϲ Hense 973 εὐχώμεϲθα δή choro tribuit Bergk, servo Bentley

Χο. δέξαι δῆτ', ὦ πολυτιμήτη,
νὴ Δία, καὶ μὴ ποίει γ' ἅπερ αἱ
μοιχευόμεναι δρῶϲι γυναῖκεϲ.
καὶ γὰρ ἐκεῖναι παρακλίναϲαι
τῆϲ αὐλείαϲ παρακύπτουϲιν,
κἄν τιϲ προϲέχῃ τὸν νοῦν αὐταῖϲ
ἀναχωροῦϲιν,
κᾆτ' ἢν ἀπίῃ παρακύπτουϲ' αὖ.
τούτων ϲὺ ποίει μηδὲν ἔθ' ἡμᾶϲ.
Τρ. μὰ Δί', ἀλλ' ἀπόφηνον ὅλην ϲαυτὴν
γενναιοπρεπῶϲ τοῖϲιν ἐραϲταῖϲ
ἡμῖν, οἵ ϲου τρυχόμεθ' ἤδη
τρία καὶ δέκ' ἔτη,
λῦϲον δὲ μάχαϲ καὶ κορκορυγάϲ,
ἵνα Λυϲιμάχην ϲε καλῶμεν·
παῦϲον δ' ἡμῶν ταϲ ὑπονοίαϲ
τὰϲ περικόμψουϲ,
αἷϲ ϲτωμυλλόμεθ' εἰϲ ἀλλήλουϲ·
μεῖξον δ' ἡμᾶϲ τοὺϲ Ἕλληναϲ
πάλιν ἐξ ἀρχῆϲ
φιλίαϲ χυλῷ, καὶ ϲυγγνώμῃ
τινὶ πρᾳοτέρᾳ κέραϲον τὸν νοῦν·
καὶ τὴν ἀγορὰν ἡμῖν ἀγαθῶν
ἐμπληϲθῆναι 'κ Μεγάρων ϲκορόδων,
ϲικύων πρῴων, μήλων, ῥοιῶν,
δούλοιϲι χλανιϲκιδίων μικρῶν·
κὰκ Βοιωτῶν γε φέρονταϲ ἰδεῖν
χῆναϲ, νήτταϲ, φάτταϲ, τροχίλουϲ·

978 sqq. choro tribuit Brunck, servo plerique 982 παρακύπτουϲιν Brunck: -ουϲι codd., Su. π 366 984 ἀναχωροῦϲιν Brunck: -ουϲι codd., Su. π 366 985 παρακύπτουϲ' αὖ Hirschig: παρακύπτουϲι(ν) codd., Su. π 366 986 ἡμᾶϲ R, Victorius: ἡμῖν V 989 ἡμῖν, οἵ ϲου] οἵ ϲου χωρὶϲ van Leeuwen 992 ⟨δή⟩ ϲε Kock 995 αἷϲ] ἃϲ Blaydes 996 μεῖξον van Herwerden: μῖξον codd. 1000 'κ Μεγάρων Hamaker e sch.: μεγάλων codd.

καὶ Κωπᾴδων ἐλθεῖν ϲπυρίδαϲ,
καὶ περὶ ταύταϲ ἡμᾶϲ ἀθρόουϲ
ὀψωνοῦνταϲ τυρβάζεϲθαι
Μορύχῳ, Τελέᾳ, Γλαυκέτῃ, ἄλλοιϲ
τένθαιϲ πολλοῖϲ· κᾆτα Μελάνθιον
ἥκειν ὕϲτερον εἰϲ τὴν ἀγοράν,
τὰϲ δὲ πεπρᾶϲθαι, τὸν δ' ὀτοτύζειν,
εἶτα μονῳδεῖν ἐκ Μηδείαϲ,
"ὀλόμαν, ὀλόμαν ἀποχηρωθεὶϲ
τᾶϲ ἐν τεύτλοιϲι λοχευομέναϲ·"
τοὺϲ δ' ἀνθρώπουϲ ἐπιχαίρειν.
ταῦτ', ὦ πολυτίμητ', εὐχομένοιϲ ἡμῖν δίδου.
λαβὲ τὴν μάχαιραν· εἶθ' ὅπωϲ μαγειρικῶϲ
ϲφάξειϲ τὸν οἶν.
Οι. ἀλλ' οὐ θέμιϲ.
Τρ. τιὴ τί δή;
Οι. οὐχ ἥδεται δήπουθεν Εἰρήνη ϲφαγαῖϲ,
οὐδ' αἱματοῦται βωμόϲ.
Τρ. ἀλλ' εἴϲω φέρων
θύϲαϲ τὰ μηρί' ἐξελὼν δεῦρ' ἔκφερε,
χοὔτω τὸ πρόβατον τῷ χορηγῷ ϲῴζεται.

Χο. ϲέ τοι θύραϲι χρὴ μένοντα †τοίνυν† [ἀντ.
ϲχίζαϲ δευρὶ τιθέναι ταχέωϲ
τά τε πρόϲφορα πάντ' ἐπὶ τούτοιϲ.
Τρ. οὔκουν δοκῶ ϲοι μαντικῶϲ τὸ φρύγανον τίθεϲθαι;
Χο. πῶϲ δ' οὐχί; τί γάρ ϲε πέφευγ' ὅϲα χρὴ

1005 *Κωπᾴδων* Elmsley: *Κωπαΐδων* codd. 1006 *ἀθρόουϲ* Meineke: *ἁ-* codd. 1013 *ἀποχηρωθεὶϲ* V: *ἀποχειρ-* cett., Su. *μ* 1243 1014 *τᾶϲ* Fl. Christianus: *τὰϲ* codd., Su. 1017–20 personarum vices parum certae 1023 *τοι* RV, sch. ad 939: *δὴ* cett., v.l. ap. sch. *θύραϲι* sch.: *θύραιϲι* codd.: *θύραϲι⟨ν ἐνθαδὶ⟩* Enger *χρὴ μένοντα τοίνυν* codd.: *χρὴ μένειν ὄντα τινάϲ* sch.: locus perdifficilis: displicet *τοίνυν* in hac sede, pro quo *ἐνθαδὶ μεθ' ἡμῶν* Rogers, *ὦ Τρυγαῖε, πῦρ καὶ* Blaydes 1025 *πρόϲφορα πάντ'* R: *πρόϲφορ' ἅπαντ'* cett.

σοφὸν ἄνδρα; τί δ᾽ οὐ σὺ φρονεῖς ὁπόσα χρε-
ὼν ἐστιν τόν γε σοφῇ δόκιμον
φρενὶ πορίμῳ τε τόλμῃ;
Τρ. ἡ σχίζα γοῦν ἐνημμένη τὸν Στιλβίδην πιέζει.
καὶ τὴν τράπεζαν οἴσομαι, καὶ παιδὸς οὐ δεήσει.
Χο. τίς οὖν ἂν οὐκ ἐπαινέσει-
εν ἄνδρα τοιοῦτον, ὅσ-
τις πόλλ᾽ ἀνατλὰς ἔσω-
σε τὴν ἱερὰν πόλιν;
ὥστ᾽ οὐχὶ μὴ παύσει ποτ᾽ ὢν
ζηλωτὸς ἅπασιν.

Οι. ταυτὶ δέδραται. τίθεσο τὼ μηρὼ λαβών.
ἐγὼ δ᾽ ἐπὶ σπλάγχν᾽ εἶμι καὶ θυλήματα.
Τρ. ἐμοὶ μελήσει ταῦτά γ᾽· ἀλλ᾽ ἥκειν ἐχρῆν.
Οι. ἰδού, πάρειμι. μῶν ἐπισχεῖν σοι δοκῶ;
Τρ. ὄπτα καλῶς νυν αὐτά· καὶ γὰρ οὑτοσὶ
προσέρχεται δάφνῃ τις ἐστεφανωμένος.
Οι. τίς ἄρα πότ᾽ ἐστιν;
Τρ. ὡς ἀλαζὼν φαίνεται·
Οι. μάντις τίς ἐστιν;
Τρ. οὐ μὰ Δί᾽, ἀλλ᾽ Ἱεροκλέης
οὗτός γέ τοὔσθ᾽, ὁ χρησμολόγος οὑξ Ὠρεοῦ.
Οι. τί ποτ᾽ ἄρα λέξει;
Τρ. δῆλός ἐσθ᾽ οὗτός γ᾽ ὅτι
ἐναντιώσεταί τι ταῖς διαλλαγαῖς.

1029 ὁπόσα] ὁπόσ᾽ ἂν RV χρεὼν post ἐστι transp. L 1030 ἐστιν Hermann: ἐστι codd., Su. τ 557 γε L: om. cett. πορίμῳ τε] καὶ πορίμῳ τῇ L 1031 ἐνημμένη] fortasse ἀνημμένη: νενημένη Verrall πιέζει] πιέζοι Blaydes 1032 οὐ] οὐδὲν V s.l., Γp 1033 οὖν ἂν οὐκ Dindorf: ἂν οὖν οὐκ RV: ἂν οὐκ Γp: οὐκ ἂν L 1034–6 vix respondent numeri in vv. 951–3 1037 οὐχὶ L: οὐ cett. παύσει] παύσῃ Elmsley: πεπαύσει L ὢν RV$^{ac}$: ἂν cett. 1041 ⟨σ᾽⟩ ἐχρῆν Blaydes 1043 αὐτά RV: ταῦτα cett. γὰρ] μὴν Dobree 1045–6 personarum vices parum certae; ita distinxit van Leeuwen 1047 οὗτός R: αὐτός cett. τοὔσθ᾽ Bergk: πού ᾽σθ᾽ codd.

*Οι.* οὔκ, ἀλλὰ κατὰ τὴν κνῖϲαν εἰϲελήλυθεν.
*Τρ.* μή νυν ὁρᾶν δοκῶμεν αὐτόν.
*Οι.* εὖ λέγειϲ.

*ΙΕΡΟΚΛΗϹ*

τίϲ ἡ θυϲία ποθ' αὑτηὶ καὶ τῷ θεῶν;
*Τρ.* ὄπτα ϲὺ ϲιγῇ κἄπαγ' ἀπὸ τῆϲ ὀϲφύοϲ.
*Ιε.* ὅτῳ δὲ θύετ' οὐ φράϲεθ';
*Τρ.* ἡ κέρκοϲ ποιεῖ
καλῶϲ.
*Οι.* καλῶϲ δῆτ', ὦ πότνι' Εἰρήνη φίλη.
*Ιε.* ἄγε νυν ἀπάρχου κᾆτα δὸϲ τἀπάργματα.
*Τρ.* ὀπτᾶν ἄμεινον πρῶτον.
*Ιε.* ἀλλὰ ταυταγὶ
ἤδη 'ϲτὶν ὀπτά.
*Τρ.* πολλὰ πράττειϲ, ὅϲτιϲ εἶ.
κατάτεμνε.
*Ιε.* ποῦ τράπεζα;
*Τρ.* τὴν ϲπονδὴν φέρε.
*Ιε.* ἡ γλῶττα χωρὶϲ τέμνεται.
*Τρ.* μεμνήμεθα.
ἀλλ' οἶϲθ' ὃ δρᾶϲον;
*Ιε.* ἢν φράϲῃϲ.
*Τρ.* μὴ διαλέγου
νῷν μηδέν· Εἰρήνῃ γὰρ ἱερὰ θύομεν.
*Ιε.* ὦ μέλεοι θνητοὶ καὶ νήπιοι—
*Τρ.* εἰϲ κεφαλὴν ϲοί.
*Ιε.* οἵτινεϲ ἀφραδίῃϲι θεῶν νόον οὐκ ἀίοντεϲ
ϲυνθήκαϲ πεποίηϲθ' ἄνδρεϲ χαροποῖϲι πιθήκοιϲ—

1053 *κἄπαγ'*] *κἄπεχε* Bachmann: *κἀπέχου* Blaydes, deleto *ἀπὸ* 1054 *φράϲεθ'* Kuster: *φράϲετ'* R: *φράζεθ'* vel *φράζετε* cett. 1059 v. ita divisit Boissonade

Τρ. αἰβοιβοῖ.
Ιε. τί γελᾷϲ;
Τρ. ἥϲθην χαροποῖϲι πιθήκοιϲ.
Ιε. καὶ κέπφοι τρήρωνεϲ ἀλωπεκιδεῦϲι πέπειϲθε,
ὧν δόλιαι ψυχαί, δόλιαι φρένεϲ.
Τρ. εἴθε ϲου εἶναι
ὤφελεν, ὦλαζών, οὑτωϲὶ θερμὸϲ ὁ πλεύμων.
Ιε. εἰ γὰρ μὴ νύμφαι γε θεαὶ Βάκιν ἐξαπάταϲκον,
μηδὲ Βάκιϲ θνητούϲ, μηδ' αὖ νύμφαι Βάκιν αὐτὸν—
Τρ. ἐξώληϲ ἀπόλοι', εἰ μὴ παύϲαιο βακίζων.
Ιε. οὔπω θέϲφατον ἦν Εἰρήνηϲ δέϲμ' ἀναλῦϲαι,
ἀλλὰ τό γε πρότερον—
Τρ. τοῖϲ ἁλϲί γε παϲτέα ταυτί.
Ιε. οὐ γάρ πω τοῦτ' ἐϲτὶ φίλον μακάρεϲϲι θεοῖϲιν,
φυλόπιδοϲ λῆξαι, πρίν κεν λύκοϲ οἶν ὑμεναιοῖ.
Τρ. καὶ πῶϲ, ὦ κατάρατε, λύκοϲ ποτ' ἂν οἶν
ὑμεναιοῖ;
Ιε. ἕωϲ ἡ ϲφονδύλη φεύγουϲα πονηρότατον βδεῖ,
χἠ κώδων Ἀκαλανθὶϲ ἐπειγομένη τυφλὰ τίκτει,
τουτάκιϲ οὔπω χρῆν τὴν εἰρήνην πεποιῆϲθαι.
Τρ. ἀλλὰ τί χρῆν ἡμᾶϲ; οὐ παύϲαϲθαι πολεμοῦνταϲ;
ἢ διακαυνιάϲαι πότεροι κλαυϲούμεθα μεῖζον,
ἐξὸν ϲπειϲαμένοιϲ κοινῇ τῆϲ Ἑλλάδοϲ ἄρχειν;
Ιε. οὔποτε ποιήϲειϲ τὸν καρκίνον ὀρθὰ βαδίζειν.
Τρ. οὔποτε δειπνήϲειϲ ἔτι τοῦ λοιποῦ 'ν πρυτανείῳ,
οὐδ' ἐπὶ τῷ πραχθέντι ποιήϲειϲ ὕϲτερον οὐδέν.
Ιε. οὐδέποτ' ἂν θείηϲ λεῖον τὸν τρηχὺν ἐχῖνον.

1066 verba τί γελᾷϲ servo tribuit Olson, Hierocli plerique 1069 οὑτωϲὶ RL: οὑτοϲὶ cett. 1071 μηδὲ . . . μηδ'] μήτε . . . μήτ' Richards νύμφαι] Φοῖβοϲ van Herwerden: θνητοὶ Holford-Strevens 1074 τό γε R: τότε V, δε supra τε addito: τότε cett.: τόδε Dobree: cf. 1107 τοῖϲ ΓpL: τοῖϲδ' RV 1076a v. praebent RV: om. cett. 1077 ἕωϲ Brunck: ὡϲ codd. 1078 χἠ κώδων] κωδίνων Agar, Borthwick (κωδίνουϲ' iam Blaydes post van Lennep) 1081 μεῖζον RV: μείζω cett. 1084 ἔτι τοῦ λοιποῦ 'ν] τοῦ λοιποῦ γ' ἐν L 1086 τρηχὺν RV: τραχὺν cett.

Τρ. ἆρα φενακίζων ποτ' Ἀθηναίους ἔτι παύσει;
Ιε. ποῖον γὰρ κατὰ χρησμὸν ἐκαύσατε μῆρα θεοῖσιν;
Τρ. ὅνπερ κάλλιστον δήπου πεποίηκεν Ὅμηρος·
"ὣς οἱ μὲν νέφος ἐχθρὸν ἀπωσάμενοι πολέμοιο
Εἰρήνην εἵλοντο καὶ ἱδρύσανθ' ἱερείῳ.
αὐτὰρ ἐπεὶ κατὰ μῆρ' ἐκάη καὶ σπλάγχν' ἐπάσαντο,
ἔσπενδον δεπάεσσιν, ἐγὼ δ' ὁδὸν ἡγεμόνευον·"
χρησμολόγῳ δ' οὐδεὶς ἐδίδου κώθωνα φαεινόν.
Ιε. οὐ μετέχω τούτων· οὐ γὰρ ταῦτ' εἶπε Σίβυλλα.
Τρ. ἀλλ' ὁ σοφός τοι νὴ Δί' Ὅμηρος δεξιὸν εἶπεν·
"ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος,
ὃς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος."
Ιε. φράζεο δὴ μή πώς σε δόλῳ φρένας ἐξαπατήσας
ἰκτῖνος μάρψῃ—
Τρ. τουτὶ μέντοι σὺ φυλάττου,
ὡς οὗτος φοβερὸς τοῖς σπλάγχνοις ἐστὶν ὁ χρησμός.
ἔγχει δὴ σπονδὴν καὶ τῶν σπλάγχνων φέρε δευρί.
Ιε. ἀλλ' εἰ ταῦτα δοκεῖ, κἀγὼ 'μαυτῷ βαλανεύσω.
Τρ. σπονδὴ σπονδή.
Ιε. ἔγχει δὴ κἀμοὶ καὶ σπλάγχνων μοῖραν ὄρεξον.
Τρ. ἀλλ' οὔπω τοῦτ' ἐστὶ φίλον μακάρεσσι θεοῖσιν·
ἀλλὰ τό γε πρότερον, σπένδειν ἡμᾶς, σὲ δ' ἀπελθεῖν.
ὦ πότνι' Εἰρήνη, παράμεινον τὸν βίον ἡμῖν.
Ιε. πρόσφερε τὴν γλῶτταν.
Τρ. σὺ δὲ τὴν σαυτοῦ γ' ἀπένεγκε.
σπονδή.
Οι. καὶ ταυτὶ μετὰ τῆς σπονδῆς λαβὲ θᾶττον.
Ιε. οὐδεὶς προσδώσει μοι σπλάγχνων;
Τρ. οὐ γὰρ οἷόν τε

1089 ὅνπερ] ὥσπερ L 1099 post δὴ add. νῦν RV 1100 φυλάττου] φυλάσσου Richter 1107 τό γε Sharpley: τόδε codd. 1109 γλῶτταν] γλῶσσαν Richter ἀπένεγκε] ἀπένεγκον R 1110 personarum vices ita distinxit Olson 1111 προσδώσει V: προδώσει RΓp: δώσει L τῶν Blaydes: μοι τῶν codd.: μοι Bekker

ἡμῖν προcδιδόναι, πρίν κεν λύκοc οἶν ὑμεναιοῖ.
Ιε. ναί, πρὸc τῶν γονάτων.
Τρ. ἄλλωc, ὦ τᾶν, ἱκετεύειc·
οὐ γὰρ ποιήcειc λεῖον τὸν τρηχὺν ἐχῖνον.
ἄγε δή, θεαταί, δεῦρο cυcπλαγχνεύετε
μετὰ νῷν.
Ιε. τί δαὶ 'γώ;
Τρ. τὴν Cίβυλλαν ἔcθιε.
Ιε. οὔτοι μὰ τὴν Γῆν ταῦτα κατέδεcθον μόνω,
ἀλλ' ἁρπάcομαι cφῷν αὐτά· κεῖται δ' ἐν μέcῳ.
Τρ. ὦ παῖε παῖε τὸν Βάκιν.
Ιε. μαρτύρομαι.
Τρ. κἄγωγ', ὅτι τένθηc εἶ cὺ κἀλαζὼν ἀνήρ.
παῖ' αὐτὸν ἐπέχων τῷ ξύλῳ, τὸν ἀλαζόνα.
Οι. cὺ μὲν οὖν· ἐγὼ δὲ τουτονὶ τῶν κῳδίων,
ἁλάμβαν' αὐτὸc ἐξαπατῶν, ἐκβολβιῶ.
οὐ καταβαλεῖc τὰ κῴδι', ὦ θυηπόλε;
Τρ. ἤκουcαc; ὁ κόραξ οἷοc ἦλθ' ἐξ Ὠρεοῦ.
οὐκ ἀποπετήcει θᾶττον εἰc Ἐλύμνιον;

Χο. ἥδομαί γ' ἥδομαι [cτρ.
κράνουc ἀπηλλαγμένοc
τυροῦ τε καὶ κρομμύων.
οὐ γὰρ φιληδῶ μάχαιc,
ἀλλὰ πρὸc πῦρ διέλκων μετ' ἀνδρῶν ἑταίρων φίλων,
ἐκκέαc τῶν ξύλων ἅττ' ἂν ᾖ δανότατα τοῦ θέρουc
ἐκπεπρεμνιcμένα,
κἀνθρακίζων τοὐρεβίνθου τήν τε φηγὸν ἐμπυρεύων,
χἄμα τὴν Θρᾷτταν κυνῶν

1112 προcδιδόναι V[pc]: προδιδόναι RV[ac]Γp: πρὶν διδόναι L κεν PC, lm. sch.: κε V: καὶ RΓL 1114 τρηχὺν Bothe: τραχὺν codd. 1116 δαὶ Blaydes: δὴ RV: δ' ΓpL 1119 ὦ RV: om. cett. 1125–6 hos vv. Trygaeo tribuit Dobree 1128 κράνουc ⟨τ'⟩ van Leeuwen 1133 ἐκκέαc RV: οὐκ ἐᾷc pL τοῦ θέρουc] τῷ θέρει lm. sch. V: τῶν θέρουc cum 1135 ἐκπεπρεμνιcμένων Blaydes 1135 ἐκπεπρεμνιcμένα Bergk (-μένων iam Bothe): ἐκπεπριcμένα RV: ἐκπεπιεcμένα L: om. p

τῆϲ γυναικὸϲ λουμένηϲ.
οὐ γὰρ ἔϲθ' ἥδιον ἢ τυχεῖν μὲν ἤδη 'ϲπαρμένα,
τὸν θεὸν δ' ἐπιψακάζειν, καί τιν' εἰπεῖν γείτονα,
"εἰπέ μοι, τί τήμερον δὴ δρῶμεν, ὦ Κωμαρχίδη;" —
"ἐμπιεῖν ἔμοιγ' ἀρέϲκει τοῦ θεοῦ δρῶντοϲ καλῶϲ.
ἀλλ' ἄφευε τῶν φαϲήλων, ὦ γύναι, τρεῖϲ χοίνικαϲ,
τῶν τε πυρῶν μεῖξον αὐτοῖϲ, τῶν τε ϲύκων ἔξελε,
τόν τε Μανῆν ἡ Ϲύρα βωϲτρηϲάτω 'κ τοῦ χωρίου.
οὐ γὰρ οἷόν τ' ἐϲτὶ πάντωϲ οἰναρίζειν τήμερον
οὐδὲ τυντλάζειν, ἐπειδὴ παρδακὸν τὸ χωρίον."
"κἀξ ἐμοῦ δ' ἐνεγκάτω τιϲ τὴν κίχλην καὶ τὼ ϲπίνω·
ἦν δὲ καὶ πυόϲ τιϲ ἔνδον καὶ λαγῷα τέτταρα,
εἴ τι μὴ 'ξήνεγκεν αὐτῶν ἡ γαλῆ τῆϲ ἑϲπέραϲ·
ἐψόφει γοῦν ἔνδον οὐκ οἶδ' ἅττα κἀκυδοιδόπα·
ὧν ἔνεγκ', ὦ παῖ, τρί' ἡμῖν, ἓν δὲ δοῦναι τῷ πατρί·
μυρρίναϲ τ' αἴτηϲον ἒξ παρ' Αἰϲχίνου τῶν καρπίμων·
χἄμα τῆϲ αὐτῆϲ ὁδοῦ Χαρινάδην τιϲ βωϲάτω,
ὡϲ ἂν ἐμπίῃ μεθ' ἡμῶν,
εὖ ποιοῦντοϲ κὠφελοῦντοϲ
τοῦ θεοῦ τἀρώματα."

ἡνίκ' ἂν δ' ἀχέταϲ [ἀντ.
ᾄδῃ τὸν ἡδὺν νόμον,
διαϲκοπῶν ἥδομαι
τὰϲ Λημνίαϲ ἀμπέλουϲ,
εἰ πεπαίνουϲιν ἤδη (τὸ γὰρ φῖτυ πρῷον φύϲει),

1142 *τήμερον δὴ* Blaydes: *τηνικάδε* RVp: *δ' ἂν τηνικάδε* L: *τηνικαῦτα* Bentley 1143 *ἐμπιεῖν*] *ἐκπιεῖν* $V^{pc}$p 1144 *ἄφευε* R, Su. α 4593, φ 121, sch.: *ἄφαυε* vel sim. cett.: *ἄφαυϲε* et *ἄφαυϲον* vv. ll. ap. sch.: *φαῦζε* Paley: *φῶζε* Blaydes 1146 *'κ* RV: om. pL 1147 *οἰναρίζειν*] *ἀμπελουργεῖν* v.l. ap. sch. *τήμερον* RV: *ϲήμερον* pL 1147–8 post 1142 transp. Hamaker 1152 *κἀκυδοιδόπα* $L^2$, Musurus: *καὶ κυδοιδόπα* RV: *καὶ κυδοιδότα* L 1154 *ἒξ παρ' Αἰϲχίνου* van Leeuwen: *ἐξ Αἰϲχινάδου* codd.: alii alia 1159 *ἡνίκ' ἂν δ'* Hermann: *ἡνίκα δ' ἂν* RVp: *ἡνίκ' ἂν* L *ἀχέταϲ* Lenting: *ἀ-* codd. 1164 *φύϲει* RV: *φύει* pL

τόν τε φήληχ' ὁρῶν οἰδάνοντ'· εἶθ' ὁπόταν ᾖ πέπων,
ἐϲθίω κἀπέχω
χἄμα φήμ', "Ὧραι φίλαι·" καὶ τοῦ θύμου τρίβων
κυκῶμαι·
κᾆτα γίγνομαι παχὺϲ
τηνικαῦτα τοῦ θέρουϲ,
μᾶλλον ἢ θεοῖϲιν ἐχθρὸν ταξίαρχον προϲβλέπων
τρεῖϲ λόφουϲ ἔχοντα καὶ φοινικίδ' ὀξεῖαν πάνυ,
ἣν ἐκεῖνόϲ φηϲιν εἶναι βάμμα Cαρδιανικόν·
ἢν δέ που δέῃ μάχεϲθ' ἔχοντα τὴν φοινικίδα,
τηνικαῦτ' αὐτὸϲ βέβαπται βάμμα Κυζικηνικόν·
κᾆτα φεύγει πρῶτοϲ ὥϲπερ ξουθὸϲ ἱππαλεκτρυὼν
τοὺϲ λόφουϲ ϲείων· ἐγὼ δ' ἕϲτηκα λινοπτώμενοϲ.
ἡνίκ' ἂν δ' οἴκοι γένωνται, δρῶϲιν οὐκ ἀναϲχετά,
τοὺϲ μὲν ἐγγράφοντεϲ ἡμῶν, τοὺϲ δ' ἄνω τε καὶ
κάτω
ἐξαλείφοντεϲ δὶϲ ἢ τρίϲ. αὔριον δ' ἔϲθ' ἥξοδοϲ.
τῷ δὲ ϲιτί' οὐκ ἐώνητ'· οὐ γὰρ ᾔδειν ἐξιών·
εἶτα προϲϲτὰϲ πρὸϲ τὸν ἀνδριάντα τὸν Πανδίονοϲ
εἶδεν αὑτόν, κἀπορῶν θεῖ τῷ κακῷ βλέπων ὀπόν.
ταῦτα δ' ἡμᾶϲ τοὺϲ ἀγροίκουϲ δρῶϲι, τοὺϲ δ' ἐξ ἄϲτεωϲ
ἧττον, οἱ θεοῖϲιν οὗτοι κἀνδράϲι ῥιψάϲπιδεϲ.
ὧν ἔτ' εὐθύναϲ ἐμοὶ δώϲουϲιν, ἢν θεὸϲ θέλῃ.
πολλὰ γὰρ δή μ' ἠδίκηϲαν,
ὄντεϲ οἴκοι μὲν λέοντεϲ,
ἐν μάχῃ δ' ἀλώπεκεϲ.

1165 *οἰδάνοντ'* Bentley: *οἰδαίνοντ'* codd. 1170 *γίγνομαι* Brunck: *γίνομαι* codd. 1176 *αὐτὸϲ*] *εὐθὺϲ* Blaydes *Κυζικηνικόν*] *χεζικηνικόν* Markland 1178 *λινοπτώμενοϲ*] *ἀνεπτερωμένοϲ* Naber: *δὴ πνέων μένοϲ* van Herwerden: *θωραχθεὶϲ λίνῳ* Olson 1179 *ἂν δ'* RV: *δ' ἂν* pL 1181 *δ'* RV: om. p: *γ'* L 1183 *προϲϲτὰϲ* Lenting (*astans ad* Divus): *προϲτὰϲ* codd. 1184 *θεῖ τῷ κακῷ* RV: *θεῖ τὸ κακὸν* p: *ἔθει τὸ κακὸν* L 1185 *ταῦτα δ'*] *ταῦταϲ* R$^{ac}$: *ταῦτ' ἄρ'* Meineke *ἄϲτεωϲ* R: *ἄϲτεοϲ* cett. 1186 *οὗτοι*] *ἐχθροὶ* van Leeuwen *κἀνδράϲι* Vp: *-ϲιν* RL 1187 *ἔτ'*] *ἐντεῦθεν* R

Τρ. ἰοὺ ἰού.
ὅϲον τὸ χρῆμ' ἐπὶ δεῖπνον ἦλθ' εἰϲ τοὺϲ γάμουϲ.
ἔχ', ἀποκάθαιρε τὰϲ τραπέζαϲ ταυτηί·
πάντωϲ γὰρ οὐδὲν ὄφελόϲ ἐϲτ' αὐτῆϲ ἔτι.
ἔπειτ' ἐπιφόρει τοὺϲ ἀμύλουϲ καὶ τὰϲ κίχλαϲ
καὶ τῶν λαγῴων πολλὰ καὶ τοὺϲ κολλάβουϲ.

ΔΡΕΠΑΝΟΥΡΓΟϹ

ποῦ ποῦ Τρυγαῖόϲ ἐϲτιν;
Τρ. ἀναβράττω κίχλαϲ.
Δρ. ὦ φίλτατ', ὦ Τρυγαῖ', ὅϲ' ἡμᾶϲ τἀγαθὰ
δέδρακαϲ εἰρήνην ποιήϲαϲ· ὡϲ πρὸ τοῦ
οὐδεὶϲ ἐπρίατ' ἂν δρέπανον οὐδὲ κολλύβου,
νυνὶ δὲ πεντήκοντα δραχμῶν ἐμπολῶ·
ὁδὶ δὲ τριδράχμουϲ τοὺϲ κάδουϲ εἰϲ τοὺϲ ἀγρούϲ.
ἀλλ', ὦ Τρυγαῖε, τῶν δρεπάνων τε λάμβανε
καὶ τῶνδ' ὅ τι βούλει προῖκα· καὶ ταυτὶ δέχου·
ἀφ' ὧν γὰρ ἀπεδόμεϲθα κἀκερδάναμεν
τὰ δῶρα ταυτί ϲοι φέρομεν εἰϲ τοὺϲ γάμουϲ.
Τρ. ἴθι νυν, καταθέμενοι παρ' ἐμοὶ ταῦτ' εἴϲιτε
ἐπὶ δεῖπνον ὡϲ τάχιϲτα· καὶ γὰρ οὑτοϲὶ
ὅπλων κάπηλοϲ ἀχθόμενοϲ προϲέρχεται.

ΟΠΛΩΝ ΚΑΠΗΛΟϹ

οἴμ' ὡϲ προθέλυμνόν μ', ὦ Τρυγαῖ', ἀπώλεϲαϲ.
Τρ. τί δ' ἐϲτίν, ὦ κακόδαιμον; οὔτι που λοφᾷϲ;
Ο. κ. ἀπώλεϲάϲ μου τὴν τέχνην καὶ τὸν βίον,

1195 ἐπιφόρει Dobree: ἐπιϲφόρει R: ἐπειϲφόρει VΓp: ἐπείϲφερε L: ἐπίφερε Blaydes 1198 ὅϲ' RVΓ: ὅϲ pL 1201 πεντήκοντα] πέντε γ' αὐτὰ Meineke δραχμῶν] δραχμαῖϲ γρ in V: δραχμῶν ⟨ἐν⟩ Holford-Strevens 1204 καὶ τῶνδ'] κάδων θ' Fl. Christianus ταυτὶ] ταῦτα RV 1205 κἀκερδάναμεν RV: κἀκερδαίνομεν cett. 1210–55 uni armorum institori partes tribuunt Bergk Meineke alii, quas quinque personis dant codices οἴμ' ὡϲ] οἴμοι RV 1211 δ' del. van Herwerden

καὶ τουτουὶ καὶ τοῦ δορυξοῦ ’κεινουί.
Τρ. τί δῆτα τουτοινὶ καταθῶ coι τοῖν λόφοιν;
Ο. κ. αὐτὸc cὺ τί δίδωc;
Τρ. ὅ τι δίδωμ’; αἰcχύνομαι.
ὅμωc δ’ ὅτι τὸ cφήκωμ’ ἔχει πόνον πολύν,
δοίην ἂν αὐτοῖν ἰcχάδων τρεῖc χοίνικαc,
ἵν’ ἀποκαθαίρω τὴν τράπεζαν τουτῳί.
Ο. κ. ἔνεγκε τοίνυν εἰcιὼν τὰc ἰcχάδαc·
κρεῖττον γάρ, ὦ τᾶν, ἐcτιν ἢ μηδὲν λαβεῖν.
Τρ. ἀπόφερ’, ἀπόφερ’ ἐc κόρακαc ἀπὸ τῆc οἰκίαc.
τριχορρυεῖτον, οὐδέν ἐcτον τὼ λόφω.
οὐκ ἂν πριαίμην οὐδ’ ἂν ἰcχάδοc μιᾶc.
Ο. κ. τί δαὶ δεκάμνῳ τῷδε θώρακοc κύτει
ἐνημμένῳ κάλλιcτα χρήcομαι τάλαc;
Τρ. οὗτοc μὲν οὐ μή coι ποιήcῃ ζημίαν.
ἀλλ’ αἶρέ μοι τοῦτόν γε τῆc ἰcωνίαc·
ἐναποπατεῖν γάρ ἐcτ’ ἐπιτήδειοc πάνυ—
Ο. κ. παῦcαί μ’ ὑβρίζων τοῖc ἐμοῖcι χρήμαcιν.
Τρ. ὡδὶ παραθέντι τρεῖc λίθουc. οὐ δεξιῶc;
Ο. κ. ποίᾳ δ’ ἀποψήcει ποτ’, ὦμαθέcτατε;
Τρ. τῃδὶ διεὶc τὴν χεῖρα διὰ τῆc θαλαμιᾶc
καὶ τῇδ’.
Ο. κ. ἅμ’ ἀμφοῖν δῆτ’;
Τρ. ἔγωγε νὴ Δία,
ἵνα μή γ’ ἀλῶ τρύπημα κλέπτων τῆc νεώc.
Ο. κ. ἔπειτ’ ἐπὶ δεκάμνῳ χεcεῖ καθήμενοc;
Τρ. ἔγωγε νὴ Δί’, ὦπίτριπτ’. οἴει γὰρ ἂν
τὸν πρωκτὸν ἀποδόcθαι με χιλίων δραχμῶν;

1217 αὐτοῖν B: αὐτῶν RV: αὐτὸν ΓpL 1218 v. del. Hamaker 1220 μηδὲν] μηδένα RV 1221 ἀπὸ RV: ἐκ cett. 1224 δαὶ] an δ’ αὖ vel δή? θώρακοc V s.l., pL: θόρακοc Γ: θώρηκοc RV 1225 ἐνημμένῳ] -ωc R: cυνημμένῳ Meineke 1226 ποήcῃ V: -cω R: -cει cett. 1229 μ’ ὑβρίζων codd.: ’φυβρίζων Meineke: ’νυβρίζων Elmsley

Ο. κ. ἴθι δή, ᾿ξένεγκε τἀργύριον.
Τρ. ἀλλ', ὦγαθέ,
θλίβει τὸν ὄρρον. ἀπόφερ', οὐκ ὠνήϲομαι.
Ο. κ. τί δ' ἆρα τῇ ϲάλπιγγι τῇδε χρήϲομαι,
ἣν ἐπριάμην δραχμῶν ποθ' ἑξήκοντ' ἐγώ;
Τρ. μόλυβδον εἰϲ τουτὶ τὸ κοῖλον ἐγχέαϲ
ἔπειτ' ἄνωθεν ῥάβδον ἐνθεὶϲ ὑπόμακρον,
γενήϲεταί ϲοι τῶν κατακτῶν κοττάβων.
Ο. κ. οἴμοι, καταγελᾷϲ.
Τρ. ἀλλ' ἕτερον παραινέϲω.
τὸν μὲν μόλυβδον, ὥϲπερ εἶπον, ἔγχεον,
ἐντευθενὶ δὲ ϲπαρτίοιϲ ἠρτημένην
πλάϲτιγγα πρόϲθεϲ, καὐτό ϲοι γενήϲεται
τὰ ϲῦκ' ἐν ἀγρῷ τοῖϲ οἰκέταιϲιν ἱϲτάναι.
Ο. κ. ὦ δυϲκάθαρτε δαῖμον, ὥϲ μ' ἀπώλεϲαϲ,
ὅτ' ἀντέδωκα κἀντὶ τῶνδε μνᾶν ποτέ·
καὶ νῦν τί δράϲω; τίϲ γὰρ αὔτ' ὠνήϲεται;
Τρ. πώλει βαδίζων αὐτὰ τοῖϲ Αἰγυπτίοιϲ·
ἔϲτιν γὰρ ἐπιτήδεια ϲυρμαίαν μετρεῖν.
Ο. κ. οἴμ', ὦ κρανοποἰ', ὡϲ ἀθλίωϲ πεπράγαμεν.
Τρ. οὗτοϲ μὲν οὐ πέπονθεν οὐδέν.
Ο. κ. ἀλλὰ τί
ἔτ' ἐϲτὶ τοῖϲι κράνεϲιν ὅ τι τιϲ χρήϲεται;
Τρ. ἐὰν τοιαυταϲὶ μάθῃ λαβὰϲ ποιεῖν,
ἄμεινον ἢ νῦν αὔτ' ἀποδώϲεται πολύ.
Ο. κ. ἀπίωμεν, ὦ δορυξέ.
Τρ. μηδαμῶϲ γ', ἐπεὶ
τούτῳ γ' ἐγὼ τὰ δόρατα ταῦτ' ὠνήϲομαι.

1238 δή] νυν P77 1240 δ' P77, codd.: del. Elmsley ἆρα] ἀλλ[ο P77 1244 κοττάβων] κότταβοϲ Dobree 1248 καὐτό RVB: καὐτόϲ cett.: κᾆτα Fl. Christianus 1249 ἱϲτάναι] ἑϲτάναι R, V in linea 1250 ὥϲ RV: ὅϲ cett. 1251 κἀντὶ Enger, cf. sch.: ἀντὶ RV: γ' ἀντὶ cett. 1257 ἔτ' ἐϲτὶ ΓpB: ἔνεϲτι RV τοῖϲι ΓpB: τοῖϲ RV 1258 μάθῃ ΓpB: μάθῃϲ RV 1260 γ' RV: om. cett. 1261 γ' om. R

Ο. κ. πόϲον δίδωϲ δῆτ'; 
Τρ. εἰ διαπριϲθεῖεν δίχα,
λάβοιμ' ἂν αὔτ' εἰϲ χάρακαϲ, ἑκατὸν τῆϲ δραχμῆϲ.
Ο. κ. ὑβριζόμεθα. χωρῶμεν, ὦ τᾶν, ἐκποδών.
Τρ. νὴ τὸν Δί', ὡϲ τὰ παιδί' ἤδη 'ξέρχεται
οὐρηϲόμενα τὰ τῶν ἐπικλήτων δεῦρ', ἵνα
ἅττ' ᾄϲεται προαναβάληταί, μοι δοκεῖ.
ἀλλ' ὅ τι περ ᾄδειν ἐπινοεῖϲ, ὦ παιδίον,
αὐτοῦ παρ' ἐμὲ ϲτὰν πρότερον ἀναβαλοῦ 'νθαδί.

ΠΑΙΔΙΟΝ Α'
"νῦν αὖθ' ὁπλοτέρων ἀνδρῶν ἀρχώμεθα—"
Τρ. παῦϲαι
ὁπλοτέρουϲ ᾆδον, καὶ ταῦτ', ὦ τριϲκακόδαιμον,
εἰρήνηϲ οὔϲηϲ· ἀμαθέϲ γ' εἶ καὶ κατάρατον.
Π. α' "οἱ δ' ὅτε δὴ ϲχεδὸν ἦϲαν ἐπ' ἀλλήλοιϲιν ἰόντεϲ,
ϲύν ῥ' ἔβαλον ῥινούϲ τε καὶ ἀϲπίδαϲ ὀμφαλοέϲϲαϲ."
Τρ. ἀϲπίδαϲ; οὐ παύϲει μεμνημένοϲ ἀϲπίδοϲ ἡμῖν;
Π. α' "ἔνθα δ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν."
Τρ. ἀνδρῶν οἰμωγή; κλαύϲει, νὴ τὸν Διόνυϲον,
οἰμωγὰϲ ᾄδων, καὶ ταύταϲ ὀμφαλοέϲϲαϲ.
Π. α' ἀλλὰ τί δῆτ' ᾄδω; ϲὺ γὰρ εἰπέ μοι οἷϲτιϲι χαίρειϲ.
Τρ. "ὣϲ οἱ μὲν δαίνυντο βοῶν κρέα," καὶ τὰ τοιαυτί·
"ἄριϲτον προτίθεντο καὶ ἅτθ' ἥδιϲτα πάϲαϲθαι."
Π. α' "ὣϲ οἱ μὲν δαίνυντο βοῶν κρέα, καὐχέναϲ ἵππων
ἔκλυον ἱδρώονταϲ, ἐπεὶ πολέμου ἐκόρεϲθεν."
Τρ. εἶέν· ἐκόρεϲθεν τοῦ πολέμου, κᾆτ' ἤϲθιον.
ταῦτ' ᾆδε, ταῦθ', ὡϲ ἤϲθιον κεκορημένοι.

1262 διαπριϲθεῖεν] -θείη Meineke 1263 τῆϲ δραχμῆϲ] τρεῖϲ δραχμάϲ R 1265 παιδί' RV: παιδία γ' cett. 1267 προαναβάληταί, μοι] -άλητ', ἐμοὶ Bothe, duce Kuster 1271 ᾆδον] ᾄδων R[ac]V[ac] 1272 post εἰρήνηϲ add. γὰρ V s.l., γ' cett. praeter R 1275 μεμνημένοϲ] -νον Dindorf ἀϲπίδοϲ RV: -αϲ cett. 1278 ᾄδων RV[ac]: ᾆδον cett. 1281 ἅτθ' V[pc]: ἅττ' cett.: ἅϲϲ' van Herwerden: ὅϲϲ' Blaydes πάϲαϲθαι RB: μαϲᾶϲθαι V: μάϲαϲθαι cett.

*Π. α′* “θωρῄccοντ’ ἄρ’ ἔπειτα πεπαυμένοι—”
*Τρ.* ἄcμενοι, οἶμαι.
*Π. α′* “πύργων δ’ ἐξεχέοντο, βοὴ δ’ ἄcβεcτοc ὀρώρει.”
*Τρ.* κάκιcτ’ ἀπόλοιο, παιδάριον, αὐταῖc μάχαιc·
οὐδὲν γὰρ ᾄδειc πλὴν πολέμουc. τοῦ καί ποτ’ εἶ;
*Π. α′* ἐγώ;
*Τρ.* cὺ μέντοι νὴ Δί’.
*Π. α′* υἱὸc Λαμάχου.
*Τρ.* αἰβοῖ.
ἦ γὰρ ἐγὼ θαύμαζον ἀκούων, εἰ cὺ μὴ εἴηc
ἀνδρὸc βουλομάχου καὶ κλαυcιμάχου τινὸc υἱόc.
ἄπερρε καὶ τοῖc λογχοφόροιcιν ᾆδ’ ἰών.
ποῦ μοι τὸ τοῦ Κλεωνύμου ’cτὶ παιδίον;
ᾆcον πρὶν εἰcιέναι τι· cὺ γὰρ εὖ οἶδ’ ὅτι
οὐ πράγματ’ ᾄcει· cώφρονοc γὰρ εἶ πατρόc.

*ΠΑΙΔΙΟΝ Β′*

“ἀcπίδι μὲν Cαΐων τιc ἀγάλλεται, ἣν παρὰ θάμνῳ
ἔντοc ἀμώμητον κάλλιπον οὐκ ἐθέλων.”
*Τρ.* εἰπέ μοι, ὦ πόcθων, εἰc τὸν cαυτοῦ πατέρ’ ᾄδειc;
*Π. β′* “ψυχὴν δ’ ἐξεcάωcα—”
*Τρ.* κατῄcχυναc δὲ τοκῆαc.
ἀλλ’ εἰcίωμεν. εὖ γὰρ οἶδ’ ἐγὼ cαφῶc
ὅτι ταῦθ’ ὅc’ ᾖcαc ἄρτι περὶ τῆc ἀcπίδοc
οὐ μὴ ’πιλάθῃ ποτ’, ὢν ἐκείνου τοῦ πατρόc.
ὑμῶν τὸ λοιπὸν ἔργον ἤδη ’νταῦθα τῶν μενόντων
φλᾶν ταῦτα πάντα καὶ cποδεῖν, καὶ μὴ κενὰc παρέλκειν.
ἀλλ’ ἀνδρικῶc ἐμβάλλετε

1286 *πεπαυμένοι*] *πεπαcμένοι* Fl. Christianus *οἶμαι*] *οὕτωc* Fl. Christianus: *ὄντεc* ‘alii’ ap. ed. a. 1670 1292 *εἴηc* V$^{pc}$: *ειc* (sic) R: *ᾖc* Γp: *ᾖcθα* B 1294 *ἰών* V: *ἰόν* RΓB: *υἱόν* p 1295 *’cτὶ*] *’cτὶν* RV 1297 *ᾄcει* Dawes: *ᾄcειc* codd. *εἶ* post *γὰρ* transp. RV 1301 *κατῄcχυναc*] *καταιcχύναc* Lenting *δὲ* RV: *τε* PC: *γε* V s.l., C s.l., H, probat Lenting 1308 *ἐμβάλλετε* Biset: *-ετον* codd., Su. *α* 2171, *c* 746: *-ετ’ ὦ* Bergk: *-ετ’ εὖ* Blaydes

καὶ cμώχετ᾽ ἀμφοῖν τοῖν γνάθοιν· οὐδὲν γάρ, ὦ πόνηροι,
λευκῶν ὀδόντων ἔργον ἔcτ᾽, ἢν μή τι καὶ μαcῶνται.

Χο. ἡμῖν μελήcει ταῦτά γ᾽· εὖ ποιεῖc δὲ καὶ cὺ φράζων.
ἀλλ᾽, ὦ πρὸ τοῦ πεινῶντεc, ἐμβάλλεcθε τῶν λαγῴων·
ὡc οὐχὶ πᾶcαν ἡμέραν
πλακοῦcιν ἔcτιν ἐντυχεῖν πλανωμένοιc ἐρήμοιc.
πρὸc ταῦτα βρύκετ᾽ ἢ τάχ᾽ ὑμῖν φημι μεταμελήcειν.

Τρ. εὐφημεῖν χρὴ καὶ τὴν νύμφην ἔξω τινὰ δεῦρο κομίζειν
δᾷδάc τε φέρειν, καὶ πάντα λεὼν cυγχαίρειν κἀπικελεύειν.
καὶ τὰ cκεύη πάλιν εἰc τὸν ἀγρὸν νυνὶ χρὴ πάντα κομίζειν
ὀρχηcαμένουc καὶ cπείcανταc καὶ Ὑπέρβολον ἐξελάcανταc,
κἀπευξαμένουc τοῖcι θεοῖcιν
διδόναι πλοῦτον τοῖc Ἕλληcιν,
κριθάc τε ποιεῖν ἡμᾶc πολλὰc
πάνταc ὁμοίωc οἶνόν τε πολύν,
cῦκά τε τρώγειν,
τάc τε γυναῖκαc τίκτειν ἡμῖν,
καὶ τἀγαθὰ πάνθ᾽ ὅc᾽ ἀπωλέcαμεν
cυλλέξαcθαι πάλιν ἐξ ἀρχῆc,
λῆξαί τ᾽ αἴθωνα cίδηρον.
δεῦρ᾽, ὦ γύναι, εἰc ἀγρόν,
χὤπωc μετ᾽ ἐμοῦ καλὴ
καλῶc κατακείcει.

1309 ταῖν p: τοῖν RV 1310 ἔcτ᾽ Bentley: ἐcτίν codd., Su. 1317 κἀπικελεύειν] κἀπιχορεύειν V[pc] 1318 νυνὶ Kuster: νῦν Rp: om. V 1320 κἀπευξαμένουc RV: κἄπειτ᾽ εὐξαμένουc v.l. ap. sch. V: κἄπειτ᾽ ἐπευξαμένουc p: κᾆτ᾽ εὐξαμένουc Bentley θεοῖcιν Porson: θεοῖcι V: θεοῖc cett. 1321 Ἕλληcιν Brunck: -cι codd. 1328 τ᾽ RV: τ᾽ vel γ᾽ P20: δ᾽ p 1329–59 de numeris parum constat; lacunas alii alias statuerunt

Χο. Ὑμὴν Ὑμέναι' ὦ.
— Ὑμὴν Ὑμέναι' ὦ.
ὦ τρὶς μάκαρ ὡς δικαί-
ως τἀγαθὰ νῦν ἔχεις.
— Ὑμὴν Ὑμέναι' ὦ.
— Ὑμὴν Ὑμέναι' ὦ.
— τί δράσομεν αὐτήν;
— τί δράσομεν αὐτήν;
— τρυγήσομεν αὐτήν,
— τρυγήσομεν αὐτήν.
— ἀλλ' ἀράμενοι φέρω-
μεν οἱ προτεταγμένοι
τὸν νυμφίον, ὦνδρες.
— Ὑμὴν Ὑμέναι' ὦ.
— Ὑμὴν Ὑμέναι' ὦ.
— οἰκήσετε γοῦν καλῶς
οὐ πράγματ' ἔχοντες, ἀλ-
λὰ συκολογοῦντες.
— Ὑμὴν Ὑμέναι' ὦ.
— Ὑμὴν Ὑμέναι' ὦ.
— τοῦ μὲν μέγα καὶ παχύ—
— τῆς δ' ἡδὺ τὸ σῦκον.
Τρ. φήσεις γ' ὅταν ἐσθίῃς
οἶνόν τε πίῃς πολύν.
Χο. Ὑμὴν Ὑμέναι' ὦ.
— Ὑμὴν Ὑμέναι' ὦ.
Τρ. ὦ χαίρετε χαίρετ' ἄν-
δρες, κἂν ξυνέπησθέ μοι,
πλακοῦντας ἔδεσθε.

1332 hunc v. iteratum praebent p, sch., semel P20, RV 1337–40 hos vv. non exstare in quibusdam exemplaribus testatur sch. V 1342 προτεταγμένοι Bentley: προστ- codd. 1345 post hunc v. lacunam circa sex vv. indicat p 1353 γ' RV: γοῦν p 1359 post hunc v. suppl. Schrader ⟨Ὑμὴν Ὑμέναι' ὦ, Ὑμὴν Ὑμέναι' ὦ⟩

# *ΟΡΝΙΘΕϹ*

# PAPYRI

| | |
|---|---|
| P. Berol. 13231 + 21201, saec. VI (vv. 819–29, 859–64) | (P19) |
| P. Louvre Arsinoitica, saec. VI (vv. 1057–85, 1101–27) | (P12) |
| P. Oxy. 1401, saec. V (vv. 382–4, 460–1) | (P48) |
| P. Oxy. 4515, saec. V–VI (vv. 1324–8, 1357–61) | (P78) |
| P. Oxy. 4516, saec. II (vv. 1661–76) | (P69) |

# CODICES

| | |
|---|---|
| R | Ravennas 429 |
| V | Marcianus gr. 474 |
| Laur. | Laurentianus 60.9, saec. X–XI (v. 1393–1454) |
| E | Estensis gr. 127 (α. U. 5. 10) (desunt vv. 222–601) |
| M | Ambrosianus L 39 sup. (desunt vv. 1642–1765) |
| A | Parisinus gr. 2712 |
| *Γ* | Laurentianus 31.15 (vv. 1–1419) + Leidensis Vossianus gr. F. 52 (vv. 1492–1765) |
| U | Vaticanus Urbinas gr. 141 |
| M9 | Ambrosianus L 41 sup., saec. XV (citatur in vv. 222–601, ubi E deest) |
| L | Holkhamensis gr. 88 |

*Rarius citantur*

| | |
|---|---|
| G | Marcianus gr. 475 |
| B | Parisinus gr. 2715 |
| P | Vaticanus Palatinus gr. 67 |
| C | Parisinus gr. 2717 |
| H | Hauniensis 1980 |
| p | consensus codicum PCH |

Vv17 Vaticanus gr. 2181
Δ Laurentianus 31.16

# *ΥΠΟΘΕϹΕΙϹ*

## I

*Δύο εἰϲὶν Ἀθήνηθεν ἐκκεχωρηκότεϲ πρεϲβῦται διὰ τὰϲ δίκαϲ. πορεύονται δὲ πρὸϲ τὸν Τηρέα ἔποπα γενόμενον, πευϲόμενοι παρ' αὐτοῦ ποία ἐϲτὶ πόλιϲ εἰϲ κατοικιϲμὸν βελτίϲτη. χρῶνται δὲ τῆϲ ὁδοῦ καθηγεμόϲιν ὀρνέοιϲ ὁ μὲν κορώνῃ ὁ δὲ κολοιῷ. ὀνομάζονται δὲ ὁ μὲν Πειϲέταιροϲ, ὁ δὲ Εὐελπίδηϲ, ὃϲ καὶ πρότεροϲ ἄρχεται. ἡ ϲκηνὴ ἐν Ἀθήναιϲ. τὸ δρᾶμα τοῦτο τῶν ἄγαν δυνατῶϲ πεποιημένων.*

*ἐδιδάχθη ἐπὶ Χαρίου ἄρχοντοϲ διὰ Καλλιϲτράτου ἐν ἄϲτει, ὃϲ ἦν δεύτεροϲ τοῖϲ Ὄρνιϲι· πρῶτοϲ Ἀμειψίαϲ Κωμαϲταῖϲ, τρίτοϲ Φρύνιχοϲ Μονοτρόπῳ. ἔϲτι δὲ λε´. φοβερὰ δὲ τότε τοῖϲ Ἀθηναίοιϲ τὰ πράγματα. τό τε γὰρ ναυτικὸν ἀπώλετο περὶ Ϲικελίαν, Λάμαχοϲ οὐκ ἔτι ἦν, Νικίαϲ ἐτεθνήκει, Δεκέλειαν ἦϲαν τειχίϲαντεϲ Λακεδαιμόνιοι, Ἆγιϲ ὁ Λακεδαιμονίων ϲτρατηγὸϲ περιεκάθητο τὴν Ἀττικήν, Ἀλκιβιάδηϲ τὰ Λακεδαιμονίων ἐφρόνει καὶ ἐκκληϲιάζων ϲυνεβούλευε τὰ χρηϲτὰ Λακεδαιμονίοιϲ. ταῦτα αἱ Ἀθηναίων ϲυμφοραί, διὰ ταῦτα αἱ Ἀθηναίων φυγαί. καὶ ὅμωϲ οὐκ ἀπείχοντο τοῦ κακοπραγμονεῖν καὶ ϲυκοφαντεῖν.*

## II

*Τοῖϲ τῶν Ἀθηνῶν πολίταιϲ τὸ μέγιϲτον ἦν κλέοϲ αὐτόχθοϲι γενέϲθαι, καὶ αὕτη φιλοτιμία πρώτη τὸ μηδέπω μηδεμιᾶϲ*

I 5 *Πειϲέταιροϲ* Dobree: *Πειϲθέταιροϲ* vel sim. codd.: non amplius notatur 6 *Ἀθήναιϲ*] *πέτραιϲ* van Leeuwen, cf. III 15 8 *Χαρίου* Koumanoudis: *Χαβρίου* codd. *ἄρχοντοϲ* om. R$\Gamma^{ac}$ *διὰ . . . ἄϲτει* RΓ: *εἰϲ ἄϲτυ διὰ Καλλιϲτράτου* cett. 10 *ἔϲτι δὲ λε´* VML: om. RE: verba varie temptata 15 *ϲυνεβούλευε* R: *-εύϲατο* VE

II 1 *τοῖϲ . . . πολίταιϲ* Vitelli: *τῆϲ τῶν Ἀθηναίων πολιτείαϲ* codd.

πόλεως φανείϲης αὐτὴν πρῶτον ἀναβλαϲτῆϲαι. ἀλλὰ τῷ χρόνῳ ὑπὸ προεϲτώτων πονηρῶν καὶ πολιτῶν δυϲχερῶν ἀνετέτραπτο, καὶ διωρθοῦτο πάλιν. ἐπὶ οὖν τοῦ Δεκελεικοῦ πολέμου, πονηρῶν τινων τὰ πράγματα ἐγχειριϲθέντων, ἐπιϲφαλὴϲ γέγονεν ἡ παρ' αὐτοῖϲ κατάϲταϲιϲ. καὶ ἐν μὲν ἄλλοιϲ δράμαϲι διὰ τῆϲ κωμῳδικῆϲ ἀδείαϲ ἤλεγχεν Ἀριϲτοφάνηϲ τοὺϲ κακῶϲ πολιτευομένουϲ ⟨φανερῶϲ⟩. ἐν δὲ τοῖϲ Ὄρνιϲι καὶ μέγα τι διανενόηται· φανερῶϲ μὲν οὐδαμῶϲ (οὐ γὰρ ἐπὶ τούτου ἦν ἐκκληϲία), λεληθότωϲ δέ, ὅϲον ἀνῆκεν ἀπὸ κωμῳδίαϲ προϲκρούειν. ὡϲ γὰρ ἀδιόρθωτον ἤδη νόϲον τῆϲ πολιτείαϲ νοϲούϲηϲ καὶ διεφθαρμένηϲ ὑπὸ τῶν προεϲτώτων, ἄλλην τινὰ πολιτείαν αἰνίττεται καὶ προεϲτῶταϲ ἑτέρουϲ, ὡϲανεὶ τῶν ὄντων κακῶν καθεϲτώτων· οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ τὸ ϲχῆμα ὅλον καὶ τὴν φύϲιν, εἰ δέοι, ϲυμβουλεύει μετατίθεϲθαι πρὸϲ τὸ ἠρεμαίωϲ βιοῦν. καὶ ἡ μὲν ἀπόταϲιϲ αὕτη. τὰ δὲ κατὰ θεῶν βλάϲφημα ἐπιτηδείωϲ ᾠκονόμηται. καινῶν γάρ φηϲι τὴν πόλιν προϲδεῖϲθαι θεῶν, ἀφροντιϲτούντων τῆϲ κακίαϲ Ἀθηνῶν τῶν ὄντων καὶ παντελῶϲ ἠλλοτριωκότων αὐτοὺϲ τῆϲ χώραϲ. ἀλλ' ὁ μὲν καθόλου ϲτόχοϲ τοιοῦτοϲ. ἕκαϲτον δὲ τῶν κατὰ μέροϲ οὐκ εἰκῆ, ἀλλ' ἄντικρυϲ Ἀθηναίων καὶ τῶν παρ' αὐτοῖϲ ἐγχειριζομένων τὰ κοινὰ ἐλέγχει τὴν φαύλην διάθεϲιν, ἐπιθυμίαν ἐγκαταϲπείρων τοῖϲ ἀκούουϲιν ἀπαλλαγῆναι τῆϲ ἐνεϲτώϲηϲ μοχθηρᾶϲ πολιτείαϲ. ὑποτίθεται γὰρ περὶ τὸν ἀέρα πόλιν, τῆϲ γῆϲ ἀπαλλάϲϲων, ἅμα καὶ βουλὰϲ καὶ ϲυνόδουϲ ὀρνίθων, ταῖϲ Ἀθηναίων δυϲχεραίνων. ἀλλὰ καὶ ὅϲα παίζει, ἐπίϲκοπον ἢ ψηφιϲματογράφον ἢ τοὺϲ λοιποὺϲ εἰϲάγων, οὐχ ἁπλῶϲ, ἀλλὰ γυμνοῖ τὰϲ πάντων προαιρέϲειϲ, ὡϲ αἰϲχροκερ-

7 αὐτοῖϲ Γ²: αὐτῶν RAΓ: αὐτῆϲ U    9 suppl. Koechly, qui etiam φανερῶϲ . . . προϲκρούειν traiecit, post πολιτευομένουϲ in codd. tradita    10–11 ἐπὶ τούτου ἦν ἐκκληϲία] ἔτι τούτου ἦν ἐξουϲία Koechly    13–15 ἄλλην . . . καθεϲτώτων om. R    14 καὶ προεϲτῶταϲ ἑτέρουϲ om. AΓ    19 κακίαϲ Koechly: κατοικίαϲ codd.    Ἀθηνῶν V^ac: Ἀθηναίων cett.    21 ϲτόχοϲ Dobree: ϲτίχοϲ codd.: ϲκοπὸϲ Boissonade    ἕκαϲτον R: ἕκαϲτοϲ cett.

*δείαϲ ἕνεκεν χρηματίζονται. εἶθ' ὕϲτερον καὶ τὸ θεῖον εἰϲ ἀπρονοηϲίαν κωμῳδεῖ.*

*τὰ δὲ ὀνόματα τῶν γερόντων πεποίηται, ὡϲ εἰ πεποιθοίη ἕτεροϲ τῷ ἑτέρῳ καὶ ἐλπίζοι ἔϲεϲθαι ἐν βελτίοϲι. τινὲϲ δέ φαϲι τὸν ποιητὴν τὰϲ ἐν ταῖϲ τραγῳδίαιϲ τερατολογίαϲ ἐν μὲν ἄλλοιϲ διελέγχειν, ἐν δὲ τοῖϲ νῦν τὴν τῆϲ Γιγαντομαχίαϲ ϲυμπλοκὴν ἕωλον ἀποφαίνων, ὄρνιϲιν ἔδωκε διαφέρεϲθαι πρὸϲ θεοὺϲ περὶ τῆϲ ἀρχῆϲ.*

*ἐπὶ Χαρίου τὸ δρᾶμα καθῆκεν εἰϲ ἄϲτυ διὰ Καλλιϲτράτου· εἰϲ δὲ Λήναια τὸν Ἀμφιάραον ἐδίδαξε διὰ Φιλωνίδου. λάβοι δ' ἄν τιϲ τοὺϲ χρόνουϲ ἐκ τῶν πέρυϲι γενομένων ἐπὶ Ἀριμνήϲτου τοῦ πρὸ Χαρίου. Ἀθηναῖοι γὰρ πέμπουϲι τὴν Ϲαλαμινίαν, τὸν Ἀλκιβιάδην μεταϲτελλόμενοι ἐπὶ κρίϲει τῆϲ τῶν μυϲτηρίων ἐκμιμήϲεωϲ. ὁ δὲ ἄχρι μὲν Θουρίου εἵπετο τοῖϲ μεθήκουϲιν, ἐκεῖθεν δὲ δραϲμὸν ποιηϲάμενοϲ εἰϲ Πελοπόννηϲον ἐπεραιώθη. τῆϲ δὲ μετακλήϲεωϲ μέμνηται καὶ Ἀριϲτοφάνηϲ, ἀποκρύπτων μὲν τὸ ὄνομα, τὸ δὲ πρᾶγμα δηλῶν ἐν οἷϲ γέ φηϲι,*

*μηδαμῶϲ*
*ἡμῖν ⟨γε⟩ παρὰ θάλατταν, ἵν' ἀνακύψεται*
*κλητῆρ' ἄγουϲ' ἕωθεν ἡ Ϲαλαμινία.*

## III

*Δύο πρεϲβῦται Ἀθηναίων Πειϲέταιροϲ καὶ Εὐελπίδηϲ τὴν ϲυκοφαντίαν φεύγοντεϲ τὴν Ἀθήνηϲι μετανίϲταϲθαι δοκιμάζουϲι, καὶ κολοιὸν καὶ κορώνην πριάμενοι παραγίνονται πρὸϲ ὄρνιθαϲ τῆϲ παρ' αὐτοῖϲ ἐπιθυμοῦντεϲ διαγωγῆϲ. οἱ δὲ ὄρνιθεϲ τὸ μὲν πρῶτον ἀρνεῖϲθαί φαϲιν, εἰ μετὰ ἀνθρώπων*

30 *χρηματίζονται* $\Gamma^{pc}$: *-ονταϲ* cett. *τὸ θεῖον* RΑΓ: *τοὺϲ θεοὺϲ* VE: *τοὺϲ θεοὺϲ τῶν Ἀθηναίων* U 32 *τῶν*] *τὰ τῶν* R 33 *ἑτέρῳ καὶ*] *ἑταίρῳ καὶ ⟨ὃϲ⟩* Meineke 34 *τὰϲ ... τερατολογίαϲ*] *τὰ ... τερατολογούμενα* ΑΓ 34–5 *ἐν μὲν ἄλλοιϲ*] *εἰ μὲν* R: om. VEU 37 *θεοὺϲ*] *τοὺϲ θεοὺϲ* ΑΓL 38, 41 *Χαρίου* Koumanoudis: *Χαβρίου* codd. 38 *Καλλιϲτράτου* Kuster: *Καλλίου* codd. 48 suppl. e v. 146 edd.

πολεμίων ὄντων οἰκήϲουϲι· μαθόντεϲ δὲ ὕϲτερον ἃ ὠφεληθήϲονται, ϲυγχωροῦϲι μένειν αὐτούϲ· οἱ δὲ πόλιν κτίϲαντεϲ ἐν τῷ ἀέρι Νεφελοκοκκυγίαν ὠνόμαϲαν· ἀλλ' οὐδὲ ταύτην ἀνενόχλητον ἐῶϲιν οἱ Ἀθηναῖοι. μάντειϲ γὰρ καὶ χρηϲμολόγοι φοιτῶϲι λαβεῖν τι βουλόμενοι, ἐν οἷϲ καὶ Μέτων. οὗτοι δὲ πάντεϲ ἀποπέμπονται ἄπρακτοι. τελευταῖον δὲ καὶ θεοί, διὰ τὸ μὴ ἐᾶϲθαι τὸν καπνὸν τῶν ἱερείων ἀνιέναι λιμῷ φθειρόμενοι, πρεϲβεύονται πρὸϲ τοὺϲ ὄρνιθαϲ. ὁ δὲ ϲκοπὸϲ τοῦ δράματοϲ διαϲῦραι πάλιν τοὺϲ Ἀθηναίουϲ ὡϲ φιλοδίκουϲ. ἡ δὲ ϲκηνὴ ἐν πέτραιϲ καὶ ὀρνέοιϲ. ἐγράφη δὲ μετὰ τὸ Ἀλκιβιάδην ὑπὸ τῆϲ Ϲαλαμινίαϲ νεὼϲ μεταπεμφθῆναι διὰ τὴν περικοπὴν τῶν Ἑρμῶν καὶ φυγεῖν εἰϲ Λακεδαίμονα.

## IV

## ΑΡΙϹΤΟΦΑΝΟΥϹ ΓΡΑΜΜΑΤΙΚΟΥ

Διὰ τὰϲ δίκαϲ φεύγουϲιν Ἀθήναϲ δύο τινέϲ,
οἳ πρὸϲ τὸν ἔποπα τὸν λεγόμενον Τηρέα
ἐλθόντεϲ ἠρώτων ἀπραγμόνων πόλιν.
εἷϲ δ' ὄρνιϲ ἔποπι ϲυμπαρὼν μετὰ πλειόνων
πτηνῶν διδάϲκει τί δύνατ' ὀρνίθων γένοϲ,
καὶ πῶϲ ἐάνπερ κατὰ μέϲον τὸν ἀέρα
πόλιν κτίϲωϲι, τῶν θεῶν τὰ πράγματα
αὐτοὶ παραλήψοντ'. ἐκ δὲ τοῦδε φαρμάκῳ
πτέρυγάϲ ἐποιοῦντ'· ἠξίωϲαν δ' οἱ θεοί,
ἐπίθεϲιν οὐ μικρὰν ὁρῶντεϲ γενομένην.

IV 4 εἷϲ δ' ὄρνιϲ VEM: εἷϲ ὄρνιϲ RΓ: οὓϲ ὄρνιϲ L: εἷϲ πρέϲβυϲ Brunck 5 πτηνῶν RV[pc]L: τινῶν V[ac]EΓ: πτηνὸν Rutherford 8 φαρμάκῳ Rutherford: φάρμακον R: τοῦ φαρμάκου cett. 9 πτέρυγαϲ MΓ: πτέρυγάϲ τ' RVEL ἐποιοῦντ' Bothe: ἐποίουν codd.

## *ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟϹΩΠΑ*

*ΕΥΕΛΠΙΔΗϹ*
*ΠΕΙϹΕΤΑΙΡΟϹ*
*ΘΕΡΑΠΩΝ*
*ΕΠΟΨ*
*ΧΟΡΟϹ ΟΡΝΙΘΩΝ*
*ΙΕΡΕΥϹ*
*ΠΟΙΗΤΗϹ*
*ΧΡΗϹΜΟΛΟΓΟϹ*
*ΜΕΤΩΝ ΓΕΩΜΕΤΡΗϹ*
*ΕΠΙϹΚΟΠΟϹ*
*ΨΗΦΙϹΜΑΤΟΠΩΛΗϹ*
*ΑΓΓΕΛΟϹ Α′*
*ΑΓΓΕΛΟϹ Β′*
*ΙΡΙϹ*
*ΚΗΡΥΞ*
*ΠΑΤΡΑΛΟΙΑϹ*
*ΚΙΝΗϹΙΑϹ ΔΙΘΥΡΑΜΒΟΠΟΙΟϹ*
*ΟΥΚΟΦΑΝΤΗϹ*
*ΠΡΟΜΗΘΕΥϹ*
*ΠΟϹΕΙΔΩΝ*
*ΗΡΑΚΛΗϹ*

*κωφὰ πρόϲωπα*

*ΞΑΝΘΙΑϹ οἰκέτηϲ*
*ΜΑΝΟΔΩΡΟϹ οἰκέτηϲ*
*ΦΟΙΝΙΚΟΠΤΕΡΟϹ*
*ΜΗΔΟϹ ὄρνιϲ*
*ΕΠΟΨ Β′*
*ΚΑΤΩΦΑΓΑϹ ὄρνιϲ*
*ΠΡΟΚΝΗ ἀηδών (αὐλητήϲ)*
*ΚΟΡΑΞ (αὐλητήϲ)*
*ΒΑϹΙΛΕΙΑ*

# *ΟΡΝΙΘΕϹ*

*ΕΥΕΛΠΙΔΗϹ*

Ὀρθὴν κελεύειϲ, ᾗ τὸ δένδρον φαίνεται;

*ΠΕΙϹΕΤΑΙΡΟϹ*

διαρραγείηϲ· ἥδε δ' αὖ κρώζει "πάλιν".
Εὐ. τί, ὦ πόνηρ', ἄνω κάτω πλανύττομεν;
ἀπολούμεθ' ἄλλωϲ τὴν ὁδὸν προφορουμένω.
τὸ δ' ἐμὲ κορώνῃ πειθόμενον τὸν ἄθλιον
ὁδοῦ περιελθεῖν ϲτάδια πλεῖν ἢ χίλια.
Πε. τὸ δ' ἐμὲ κολοιῷ πειθόμενον τὸν δύϲμορον
ἀποϲποδῆϲαι τοὺϲ ὄνυχαϲ τῶν δακτύλων.
Εὐ. ἀλλ' οὐδὲ ποῦ γῆϲ ἐϲμὲν οἶδ' ἔγωγ' ἔτι.
ἐντευθενὶ τὴν πατρίδ' ἂν ἐξεύροιϲ ϲύ που;
Πε. οὐδ' ἂν μὰ Δία γ' ἐντεῦθεν Ἐξηκεϲτίδηϲ.
Εὐ. οἴμοι.
Πε. ϲὺ μέν, ὦ τᾶν, τὴν ὁδὸν ταύτην ἴθι.
ἦ δεινὰ νὼ δέδρακεν οὑκ τῶν ὀρνέων,
ὁ πινακοπώληϲ Φιλοκράτηϲ μελαγχολῶν,
ὃϲ τώδ' ἔφαϲκε νῷν φράϲειν τὸν Τηρέα,
{τὸν ἔποφ' ὃϲ ὄρνιϲ ἐγένετ' ἐκ τῶν ὀρνέων·}
κἀπέδοτο τὸν μὲν Θαρραλείδου τουτονὶ
κολοιὸν ὀβολοῦ, τηνδεδὶ τριωβόλου.
τὼ δ' οὐκ ἄρ' ᾔϲτην οὐδὲν ἄλλο πλὴν δάκνειν.
καὶ νῦν τί κέχηναϲ; ἔϲθ' ὅποι κατὰ τῶν πετρῶν
ἡμᾶϲ ἔτ' ἄξειϲ; οὐ γάρ ἐϲτ' ἐνταῦθά τιϲ

1 sqq. de personarum vicibus parum constat 9 ποῦ C: ποῖ fere cett.: πῇ B: ὅποι Bothe 11 Δία γ'] Δί' ἔτ' Dindorf γ' ἐντεῦθεν] ἐντεῦθέν γ' ⟨ἂν⟩ Porson 16 ut e vv. 13 et 47 conflatum v. del. Cobet: pro ἐκ τῶν ὀρνέων temptavit ἄνθρωπόϲ ποτ' ὢν Koechly: alii alia 19 ᾔϲτην Porson ex *Et. Magn.*, cf. sch.: ἤϲτην codd.

ὁδόϲ.
Ευ. οὐδὲ μὰ Δί' ἐνταῦθά γ' ἀτραπὸϲ οὐδαμοῦ.
Πε. τί δ'; ἡ κορώνη τῆϲ ὁδοῦ τι λέγει πέρι;
Ευ. οὐ ταὐτὰ κρώζει μὰ Δία νῦν τε καὶ τότε.
Πε. τί δὴ λέγει περὶ τῆϲ ὁδοῦ;
Ευ. τί δ' ἄλλο γ' ἢ
βρύκουϲ' ἀπέδεϲθαί φηϲί μου τοὺϲ δακτύλουϲ;
Πε. οὐ δεινὸν οὖν δῆτ' ἐϲτὶν ἡμᾶϲ δεομένουϲ
ἐϲ κόρακαϲ ἐλθεῖν καὶ παρεϲκευαϲμένουϲ
ἔπειτα μὴ 'ξευρεῖν δύναϲθαι τὴν ὁδόν;
ἡμεῖϲ γάρ, ὦνδρεϲ οἱ παρόντεϲ ἐν λόγῳ,
νόϲον νοϲοῦμεν τὴν ἐναντίαν Ϲάκᾳ·
ὁ μὲν γὰρ ὢν οὐκ ἀϲτὸϲ εἰϲβιάζεται,
ἡμεῖϲ δὲ φυλῇ καὶ γένει τιμώμενοι,
ἀϲτοὶ μετ' ἀϲτῶν, οὐ ϲοβοῦντοϲ οὐδενὸϲ
ἀνεπτόμεϲθ' ἐκ τῆϲ πατρίδοϲ ἀμφοῖν ποδοῖν,
αὐτὴν μὲν οὐ μιϲοῦντ' ἐκείνην τὴν πόλιν
τὸ μὴ οὐ μεγάλην εἶναι φύϲει κεὐδαίμονα
καὶ πᾶϲι κοινὴν ἐναποτεῖϲαι χρήματα.
οἱ μὲν γὰρ οὖν τέττιγεϲ ἕνα μῆν' ἢ δύο
ἐπὶ τῶν κραδῶν ᾄδουϲ', Ἀθηναῖοι δ' ἀεὶ
ἐπὶ τῶν δικῶν ᾄδουϲι πάντα τὸν βίον.
διὰ ταῦτα τόνδε τὸν βάδον βαδίζομεν,
κανοῦν δ' ἔχοντε καὶ χύτραν καὶ μυρρίναϲ
πλανώμεθα ζητοῦντε τόπον ἀπράγμονα,
ὅποι καθιδρυθέντε διαγενοίμεθ' ἄν.
ὁ δὲ ϲτόλοϲ νῷν ἐϲτι παρὰ τὸν Τηρέα,
τὸν ἔποπα, παρ' ἐκείνου πυθέϲθαι δεομένω,
εἴ που τοιαύτην εἶδε πόλιν ᾗ 'πέπτατο.

23 τί δ' Dindorf: ἦδ' MAΓU: ἤδ' R: οὐδ' VEL, v.l. ap. sch. τι Bergk (*neque . . . quid* Divus): τί codd. 35 ἀνεπτόμεϲθ'] -μεθ' U, Su. ε 33 codd. AFV, sch. post ἀμφοῖν add. τοῖν M, sch. 40 ᾄδουϲ' Bentley: ᾄδουϲιν codd. 41 δικῶν] κάδων Blass 45 καθιδρυθέντε] -υνθέντε RV 48 'πέπτατο Γ: πέπτατο fere cett.: πέπταται AL

Ευ. οὗτοϲ.
Πε. τί ἐϲτιν;
Ευ. ἡ κορώνη μοι πάλαι
ἄνω τι φράζει.
Πε. χὠ κολοιὸϲ οὑτοσὶ
ἄνω κέχηνεν ὡϲπερεὶ δεικνύϲ τί μοι,
κοὐκ ἔϲθ' ὅπωϲ οὐκ ἔϲτιν ἐνταῦθ' ὄρνεα.
εἰϲόμεθα δ' αὐτίκ', ἢν ποιήϲωμεν ψόφον.
Ευ. ἀλλ' οἶϲθ' ὃ δρᾶϲον; τῷ ϲκέλει θένε τὴν πέτραν.
Πε. ϲὺ δὲ τῇ κεφαλῇ γ', ἵν' ᾖ διπλάϲιοϲ ὁ ψόφοϲ.
Ευ. ϲὺ δ' οὖν λίθῳ κόψον λαβών.
Πε. πάνυ γ', εἰ δοκεῖ.
παῖ παῖ.
Ευ. τί λέγειϲ, οὗτοϲ; τὸν ἔποπα παῖ καλεῖϲ;
οὐκ ἀντὶ τοῦ παιδόϲ ⟨ϲ'⟩ ἐχρῆν ἐποποῖ καλεῖν;
Πε. ἐποποῖ. ποιήϲειϲ τοί με κόπτειν αὖθιϲ αὖ.
ἐποποῖ.

ΘΕΡΑΠΩΝ ΕΠΟΠΟϹ

τίνεϲ οὗτοι; τίϲ ὁ βοῶν τὸν δεϲπότην;
Πε. Ἄπολλον ἀποτρόπαιε, τοῦ χαϲμήματοϲ.
Θε. οἴμοι τάλαϲ, ὀρνιθοθήρα τουτωί.
Πε. †οὕτωϲ τι δεινὸν οὐδὲ κάλλιον λέγειν.†
Θε. ἀπολεῖϲθον.
Πε. ἀλλ' οὐκ ἐϲμὲν ἀνθρώπω.
Θε. τί δαί;
Πε. Ὑποδεδιὼϲ ἔγωγε, Λιβυκὸν ὄρνεον.
Θε. οὐδὲν λέγειϲ.
Πε. καὶ μὴν ἐροῦ τὰ πρὸϲ ποδῶν.
Θε. ὁδὶ δὲ δὴ τίϲ ἐϲτιν ὄρνιϲ; οὐκ ἐρεῖϲ;
Ευ. Ἐπικεχοδὼϲ ἔγωγε Φαϲιανικόϲ.

53 ἢν Dindorf: ἂν codd. 55 ὁ RΓUB: om. VEMAL 56 λαβών] an βαλών? 58 suppl. Beck: ⟨γ'⟩ L 59 v. om. R τοι VM$^{pc}$A: ἔτι B: τί cett. 63 v. saepius temptatum delere malit Austin; an versus superior pessumivit (Holford-Strevens)? 64 δαί] δέ ΕΓU

Πε. ἀτὰρ cὺ τί θηρίον ποτ' εἶ, πρὸς τῶν θεῶν;
Θε. ὄρνις ἔγωγε δοῦλος.
Ευ. ἡττήθης τινὸς
ἀλεκτρυόνος;
Θε. οὔκ, ἀλλ' ὅτε περ ὁ δεςπότης
ἔποψ ἐγένετο, τότε γενέςθαι μ' ηὔξατο
ὄρνιν, ἵν' ἀκόλουθον διάκονόν τ' ἔχῃ.
Πε. δεῖται γὰρ ὄρνις καὶ διακόνου τινός;
Θε. οὗτός γ', ἅτ', οἶμαι, πρότερον ἄνθρωπός ποτ' ὤν,
τοτὲ μὲν ἐρᾷ φαγεῖν ἀφύας Φαληρικάς·
τρέχω 'π' ἀφύας λαβὼν ἐγὼ τὸ τρύβλιον·
ἔτνους δ' ἐπιθυμεῖ, δεῖ τορύνης καὶ χύτρας·
τρέχω 'πὶ τορύνην.
Πε. τροχίλος ὄρνις οὑτοςί.
οἶςθ' οὖν ὃ δρᾶςον, ὦ τροχίλε; τὸν δεςπότην
ἡμῖν κάλεςον.
Θε. ἀλλ' ἀρτίως νὴ τὸν Δία
εὕδει καταφαγὼν μύρτα καὶ ςέρφους τινάς.
Πε. ὅμως ἐπέγειρον αὐτόν.
Θε. οἶδα μὲν ςαφῶς
ὅτι ἀχθέςεται, ςφῷν δ' αὐτὸν οὕνεκ' ἐπεγερῶ.
Ευ. κακῶς ςύ γ' ἀπόλοι', ὥς μ' ἀπέκτεινας δέει.
Πε. οἴμοι κακοδαίμων, χὡ κολοιός μοἴχεται
ὑπὸ τοῦ δέους.
Ευ. ὦ δειλότατον ςὺ θηρίον,
δείςας ἀφῆκας τὸν κολοιόν.
Πε. εἰπέ μοι,
ςὺ δὲ τὴν κορώνην οὐκ ἀφῆκας καταπεςών;
Ευ. μὰ Δί' οὐκ ἔγωγε.
Πε. ποῦ γάρ ἐςτιν;
Ευ. ἀπέπτατο.
Πε. οὐκ ἆρ' ἀφῆκας; ὦγάθ', ὡς ἀνδρεῖος εἶ.

69 ἀτὰρ R: ἀλλὰ cett. 75 γ', ἅτ' R: γὰρ VMAΓ[pc]L: γὰρ ἅτ' cett.
80 δρᾶςον] δράςεις M, Γ s.l., U 85 ὥς] ὅς EMA 87 θηρίον]
θηρίων RML 90 ἐςτιν] ἐςτ' Bentley

ΕΠΟΨ

ἄνοιγε τὴν ὕλην, ἵν' ἐξέλθω ποτέ.
Πε. ὦ Ἡράκλειc, τουτὶ τί ποτ' ἐcτὶ θηρίον;
τίc ἡ πτέρωcιc; τίc ὁ τρόποc τῆc τριλοφίαc;
Επ. τίνεc εἰcί μ' οἱ ζητοῦντεc;
Πε. οἱ δώδεκα θεοὶ
εἴξαcιν ἐπιτρῖψαί cε.
Επ. μῶν με cκώπτετον
ὁρῶντε τὴν πτέρωcιν; ἦ γάρ, ὦ ξένοι,
ἄνθρωποc.
Πε. οὐ coῦ καταγελῶμεν.
Επ. ἀλλὰ τοῦ;
Πε. τὸ ῥάμφοc ἥμιν cου γέλοιον φαίνεται.
Επ. τοιαῦτα μέντοι Cοφοκλέηc λυμαίνεται
ἐν ταῖc τραγῳδίαιcιν ἐμὲ τὸν Τηρέα.
Πε. Τηρεὺc γὰρ εἶ cύ; πότερον ὄρνιc ἢ ταώc;
Επ. ὄρνιc ἔγωγε.
Πε. κᾆτά coι ποῦ τὰ πτερά;
Επ. ἐξερρύηκε.
Πε. πότερον ὑπὸ νόcου τινόc;
Επ. οὔκ, ἀλλὰ τὸν χειμῶνα πάντα τὤρνεα
πτερορρυεῖ κᾆτ' αὖθιc ἕτερα φύομεν.
ἀλλ' εἴπατόν μοι cφὼ τίν' ἐcτόν;
Πε. νώ; βροτώ.
Επ. ποδαπὼ τὸ γένοc;
Πε. ὅθεν αἱ τριήρειc αἱ καλαί.
Επ. μῶν ἡλιαcτά;
Πε. μἀλλὰ θἀτέρου τρόπου,

93 ἐcτὶ ΕΑΓΛ: ἐcτὶ τὸ RVMU: ἦν τὸ Blaydes 97 ἦ Choeroboscus in Theod. *Can.* 2.119.14: ἦν codd. 100 Cοφοκλέηc RL: -κλῆc cett. 106 πτερορρυεῖ κᾆτ' αὖθιc Dobree: πτερορρυεῖ τε καὖθιc codd. plerique: πτερορρυεῖται καὖθιc A: πτερορρυοῦμεν καὖθιc Cobet 109 ἡλιαcτά VML: ἡ- cett. μἀλλὰ ΕΓ[pc]: μᾶλα R: μάλα VMA, lm. sch.: οὐκ ἀλλὰ UB: οὐ μάλα L

ἀπηλιαϲτά.
Επ. ϲπείρεται γὰρ τοῦτ' ἐκεῖ
τὸ ϲπέρμ';
Πε. ὀλίγον ζητῶν ἂν ἐξ ἀγροῦ λάβοιϲ.
Επ. πράγουϲ δὲ δὴ τοῦ δεομένω δεῦρ' ἤλθετον;
Πε. ϲοὶ ξυγγενέϲθαι βουλομένω.
Επ. τίνοϲ πέρι;
Πε. ὅτι πρῶτα μὲν ἦϲθ' ἄνθρωποϲ ὥϲπερ νώ ποτε,
κἀργύριον ὠφείληϲαϲ ὥϲπερ νώ ποτε,
κοὐκ ἀποδιδοὺϲ ἔχαιρεϲ ὥϲπερ νώ ποτε·
εἶτ' αὖθιϲ ὀρνίθων μεταλλάξαϲ φύϲιν
καὶ γῆν ἐπέπτου καὶ θάλατταν ἐν κύκλῳ,
καὶ πάνθ' ὅϲαπερ ἄνθρωποϲ ὅϲα τ' ὄρνιϲ φρονεῖϲ·
ταῦτ' οὖν ἱκέται νὼ πρὸϲ ϲὲ δεῦρ' ἀφίγμεθα,
εἴ τινα πόλιν φράϲειαϲ ἡμῖν εὔερον
ὥϲπερ ϲιϲύραν ἐγκατακλινῆναι μαλθακήν.
Επ. ἔπειτα μείζω τῶν Κραναῶν ζητεῖϲ πόλιν;
Πε. μείζω μὲν οὐδέν, προϲφορωτέραν δὲ νῷν.
Επ. ἀριϲτοκρατεῖϲθαι δῆλοϲ εἶ ζητῶν.
Πε. ἐγώ;
ἥκιϲτα· καὶ τὸν Ϲκελλίου βδελύττομαι.
Επ. ποίαν τιν' οὖν ἥδιϲτ' ἂν οἰκοῖτ' ἂν πόλιν;
Πε. ὅπου τὰ μέγιϲτα πράγματ' εἴη τοιάδε·
ἐπὶ τὴν θύραν μου πρῴ τιϲ ἐλθὼν τῶν φίλων
λέγοι ταδί· "πρὸϲ τοῦ Διὸϲ τοὐλυμπίου,
ὅπωϲ παρέϲει μοι καὶ ϲὺ καὶ τὰ παιδία
λουϲάμενα πρῴ· μέλλω γὰρ ἑϲτιᾶν γάμουϲ·
καὶ μηδαμῶϲ ἄλλωϲ ποιήϲῃϲ· εἰ δὲ μή,

115 *κἀργύριον ὠφείληϲαϲ*] *κᾆτ' ἀργύριον ὤφειλεϲ* Blaydes 118 *ἐπέπτου καὶ* Beck: *ἐπέτου καὶ τὴν* codd. 122 *ἐγκατακλινῆναι* R, sch.: -*κλιθῆναι* V[ac]EAΓ[pc]UL: -*κλινθῆναι* V[pc]MΓ[ac] *μαλθακήν* RML: *μαλακήν* cett. 126 *καὶ* ⟨*γὰρ*⟩ Kirchhoff: *ἐπεὶ* Blaydes: *γ' ὃϲ καὶ* Heiberg *Ϲκελλίου*] *Ϲκελίου* v.l. ap. sch. 129 *πρῴ τιϲ* Γ[pc]UL, cf. sch.: *πρώτιϲτ'* R: *πρώ* VEAM *ἐλθὼν* RΓ[pc]L: *εἰϲελθὼν* fere cett.

μή μοι τότε γ' ἔλθῃς, ὅταν ἐγὼ πράττω κακῶς."
Επ. νὴ Δία ταλαιπώρων γε πραγμάτων ἐρᾷς.
τί δαὶ σύ;
Ευ. τοιούτων ἐρῶ κἀγώ.
Επ. τίνων;
Ευ. ὅπου ξυναντῶν μοι ταδί τις μέμψεται
ὥςπερ ἀδικηθεὶς παιδὸς ὡραίου πατήρ·
"καλῶς γέ μου τὸν υἱόν, ὦ Ϲτιλβωνίδη,
εὑρὼν ἀπιόντ' ἀπὸ γυμναςίου λελουμένον
οὐκ ἔκυςας, οὐ προςεῖπας, οὐ προςηγάγου,
οὐκ ὠρχιπέδιςας, ὢν ἐμοὶ πατρικὸς φίλος."
Επ. ὦ δειλακρίων cὺ τῶν κακῶν, οἵων ἐρᾷς.
ἀτὰρ ἔςτι γ' ὁποίαν λέγετον εὐδαίμων πόλις
παρὰ τὴν ἐρυθρὰν θάλατταν.
Ευ. οἴμοι, μηδαμῶς
ἡμῖν γε παρὰ θάλατταν, ἵν' ἀνακύψεται
κλητῆρ' ἄγους' ἕωθεν ἡ Ϲαλαμινία.
Ἑλληνικὴν δὲ πόλιν ἔχεις ἡμῖν φράςαι;
Επ. τί οὐ τὸν Ἠλεῖον Λέπρεον οἰκίζετον
ἐλθόνθ';
Ευ. †ὅτι νὴ τοὺς θεοὺς ὃς οὐκ ἰδὼν†
βδελύττομαι τὸν Λέπρεον ἀπὸ Μελανθίου.
Επ. ἀλλ' εἰςὶν ἕτεροι, τῆς Λοκρίδος Ὀπούντιοι,
ἵνα χρὴ κατοικεῖν.
Ευ. ἀλλ' ἔγωγ' Ὀπούντιος
οὐκ ἂν γενοίμην ἐπὶ ταλάντῳ χρυςίου.
οὗτος δὲ δὴ τίς ἐςθ' ὁ μετ' ὀρνίθων βίος;

134 τότε γ'] ποτ' Su. μ 945, Cobet: τότ' Gelenius 136 δαὶ] δὲ ΓUB$^{ac}$PC: δὴ B$^{pc}$ 142 ὠρχιπέδιςας L. Dindorf: -πέδηςας codd. 143 v. ita interpunxit Lenting 146 γε παρὰ Bekker: γε παρὰ τὴν RMAΓ$^{ac}$U: παρὰ τὴν VEΓ$^{pc}$L 149 τί] τί δ' Su. α 302, sch. *Ach.* 724 150 ὅτι] ὁτιὴ L ὃς] ὅς' Bothe; locus multum temptatus: ὅςον γ' pro ὃς οὐκ Blaydes 155 ἐςθ' L: ἐςτιν cett. 155–156a Peisetaero tribuit Terzaghi

ϲὺ γὰρ οἶϲθ' ἀκριβῶϲ.
Επ. οὐκ ἄχαριϲ εἰϲ τὴν τριβήν·
οὗ πρῶτα μὲν δεῖ ζῆν ἄνευ βαλλαντίου.
Ευ. πολλήν γ' ἀφεῖλεϲ τοῦ βίου κιβδηλίαν.
Επ. νεμόμεϲθα δ' ἐν κήποιϲ τὰ λευκὰ ϲήϲαμα
καὶ μύρτα καὶ μήκωνα καὶ ϲιϲύμβρια.
Ευ. ὑμεῖϲ μὲν ἆρα ζῆτε νυμφίων βίον.
Πε. φεῦ φεῦ·
ἦ μέγ' ἐνορῶ βούλευμ' ἐν ὀρνίθων γένει,
καὶ δύναμιν ἣ γένοιτ' ἄν, εἰ πίθοιϲθέ μοι.
Επ. τί ϲοι πιθώμεϲθ';
Πε. ὅ τι πίθηϲθε; πρῶτα μὲν
μὴ περιπέτεϲθε πανταχῇ κεχηνότεϲ·
ὡϲ τοῦτ' ἄτιμον τοὔργον ἐϲτίν. αὐτίκα
ἐκεῖ παρ' ἡμῖν τοὺϲ πετομένουϲ ἢν ἔρῃ,
"τίϲ ἐϲτιν οὗτοϲ;" ὁ Τελέαϲ ἐρεῖ ταδί·
"ἅνθρωποϲ ὄρνιϲ ἀϲτάθμητοϲ πετόμενοϲ,
ἀτέκμαρτοϲ, οὐδὲν οὐδέποτ' ἐν ταὐτῷ μένων."
Επ. νὴ τὸν Διόνυϲον εὖ γε μωμᾷ ταυταγί.
τί οὖν ποιῶμεν;
Πε. οἰκίϲατε μίαν πόλιν.
Επ. ποίαν δ' ἂν οἰκίϲαιμεν ὄρνιθεϲ πόλιν;
Πε. ἄληθεϲ, ὦ ϲκαιότατον εἰρηκὼϲ ἔποϲ;
βλέψον κάτω.
Επ. καὶ δὴ βλέπω.
Πε. βλέπε νυν ἄνω.

156 *τὴν τριβήν*] *διατριβήν* Burges 161 *ἆρα* L, Su. *υ* 107: *ἄρα* cett., Su. *ν* 597 163 *πίθοιϲθέ* Dawes (*πείθοιϲθέ* ed. Iuntina a. 1515): *πείθεϲθέ* fere codd. 164 *πιθώμεϲθ'* AΓ$^{ac}$ et fortasse L$^{pc}$: *πειθ-* R: *π(ε)ιθοίμεϲθ'* fere cett. *πίθηϲθε* Dawes: *πείθοιϲθε* RV$^{pc}$M: *πίθοιϲθε* cett. 167 *τοὺϲ* om. V *τοὺϲ πετομένουϲ*] *τὸν Κλεομένουϲ* Kock: *περὶ Θεογένουϲ* van Leeuwen 168 *ἐϲτιν οὗτοϲ* Dobree: *ὄρνιϲ οὗτοϲ* codd. vett.: *οὗτοϲ ὄρνιϲ* L locus difficilis necdum fortasse sanatus 169 *ἅνθρωποϲ* Hall & Geldart: *ἄ-* codd. 172 *ποιοῖμεν*] *ποιῶμεν* L, quo recepto *ἂν* del. Cobet

Επ. βλέπω.
Πε. περίαγε τὸν τράχηλον.
ΕΠ. νὴ Δία
ἀπολαύϲομαί γ' ⟨ἄρ'⟩, εἰ διαϲτραφήϲομαι·
Πε. εἶδέϲ τι;
Επ. τὰϲ νεφέλαϲ γε καὶ τὸν οὐρανόν.
Πε. οὐχ οὗτοϲ οὖν δήπου 'ϲτὶν ὀρνίθων πόλοϲ;
Επ. πόλοϲ; τίνα τρόπον;
Πε. ὥϲπερ ⟨ἂν⟩ εἴποι τιϲ τόποϲ.
ὅτι δὲ πολεῖται τοῦτο καὶ διέρχεται
ἅπαντα διὰ τούτου, καλεῖται νῦν πόλοϲ.
ἢν δ' οἰκίϲητε τοῦτο καὶ φάρξηθ' ἅπαξ,
ἐκ τοῦ πόλου τούτου κεκλήϲεται πόλιϲ.
ὥϲτ' ἄρξετ' ἀνθρώπων μὲν ὥϲπερ παρνόπων,
τοὺϲ δ' αὖ θεοὺϲ ἀπολεῖτε λιμῷ Μηλίῳ.
Επ. πῶϲ;
Πε. ἐν μέϲῳ δήπουθεν ἀήρ ἐϲτι γῆϲ.
εἶθ' ὥϲπερ ἡμεῖϲ, ἢν ἰέναι βουλώμεθα
Πυθώδε, Βοιωτοὺϲ δίοδον αἰτούμεθα,
οὕτωϲ, ὅταν θύϲωϲιν ἄνθρωποι θεοῖϲ,
ἢν μὴ φόρον φέρωϲιν ὑμῖν οἱ θεοί,
{διὰ τῆϲ πόλεωϲ τῆϲ ἀλλοτρίαϲ καὶ τοῦ χάουϲ}
τῶν μηρίων τὴν κνῖϲαν οὐ διαφρήϲετε.
Επ. ἰοὺ ἰού·
μὰ γῆν, μὰ παγίδαϲ, μὰ νεφέλαϲ, μὰ δίκτυα,
μὴ 'γὼ νόημα κομψότερον ἤκουϲά πω·
ὥϲτ' ἂν κατοικίζοιμι μετὰ ϲοῦ τὴν πόλιν,
εἰ ξυνδοκοίη τοῖϲιν ἄλλοιϲ ὀρνέοιϲ.

177 suppl. Lowe: γ' VEMAΓU: δ' R: ⟨τι⟩ γ' L 179 suppl. Dobree ὥϲπερ ... τιϲ] ὡϲπερεὶ 'πὶ γῆϲ Radermacher 181 τοῦτο] 'νταῦθα Robert 182 τούτου Bergk: τοῦτο codd. vett.: τοῦτό γε L 183 φάρξηθ' Dindorf: φράξ- codd. 190 θύϲωϲιν] θύωϲιν Lenting 191 ὑμῖν A$^{pc}$ΓL: ἡμῶν fere cett. 192 = 1218 v. del. Beck 195 πω] που VEA

Πε. τίϲ ἂν οὖν τὸ πρᾶγμ' αὐτοῖϲ διηγήϲαιτο;
Επ. ϲύ.
ἐγὼ γὰρ αὐτοὺϲ βαρβάρουϲ ὄνταϲ πρὸ τοῦ
ἐδίδαξα τὴν φωνήν, ξυνὼν πολὺν χρόνον.
Πε. πῶϲ δῆτ' ἂν αὐτοὺϲ ξυγκαλέϲειαϲ;
Επ. ῥᾳδίωϲ.
δευρὶ γὰρ ἐμβὰϲ αὐτίκα μάλ' εἰϲ τὴν λόχμην,
ἔπειτ' ἀνεγείραϲ τὴν ἐμὴν ἀηδόνα,
καλοῦμεν αὐτούϲ· οἱ δὲ νῷν τοῦ φθέγματοϲ
ἐάνπερ ἐπακούϲωϲι θεύϲονται δρόμῳ.
Πε. ὦ φίλτατ' ὀρνίθων ϲύ, μή νυν ἕϲταθι·
ἀλλ', ἀντιβολῶ ϲ', ἄγ' ὡϲ τάχιϲτ' εἰϲ τὴν λόχμην
εἴϲβαινε κἀνέγειρε τὴν ἀηδόνα.
Επ. ἄγε, ϲύννομέ μοι, παῦϲαι μὲν ὕπνου,
λῦϲον δὲ νόμουϲ ἱερῶν ὕμνων,
οὓϲ διὰ θείου ϲτόματοϲ θρηνεῖϲ
τὸν ἐμὸν καὶ ϲὸν πολύδακρυν Ἴτυν,
ἐλελιζομένη διεροῖϲ μέλεϲιν
γέννοϲ ξουθῆϲ.
καθαρὰ χωρεῖ διὰ φυλλοκόμου
μίλακοϲ ἠχὼ πρὸϲ Διὸϲ ἕδραϲ,
ἵν' ὁ χρυϲοκόμαϲ Φοῖβοϲ ἀκούων,
τοῖϲ ϲοῖϲ ἐλέγοιϲ ἀντιψάλλων
ἐλεφαντόδετον φόρμιγγα, θεῶν
ἵϲτηϲι χορούϲ· διὰ δ' ἀθανάτων
ϲτομάτων χωρεῖ ξύμφωνοϲ ὁμοῦ
θεία μακάρων ὀλολυγή.

202 ἐμβὰϲ] εἰϲβὰϲ Meineke 204 καλοῦμεν] καλοῖμ' ἂν U, v.l. ap. sch. R: καλοῖμί γ' ἂν v.l. ap. sch. EΓ 205 ἐπακούϲωϲι RΓL: ἀκούϲωϲι VEU: ὑπακούϲωϲι A: ἀκούϲωνται M 210 λῦϲον RΓ$^{ac}$UB, Su. λ 871, v.l. ap. sch.: χῦϲον vel χύϲον cett. 213 ἐλελιζομένη διεροῖϲ] ἐλελιζομένηϲ δ' ἱεροῖϲ H, Meineke, puncto post Ἴτυν addito μέλεϲιν L: μέλεϲ(ϲ)ι cett. 216 μίλακοϲ] ϲμι- R$^{ac}$ post 222 parepigrapham αὐλεῖ praebent vett. plerique, αὐλεῖ τιϲ L, om. AU

Ευ. ὦ Ζεῦ βαϲιλεῦ, τοῦ φθέγματοϲ τοὐρνιθίου·
οἷον κατεμελίτωϲε τὴν λόχμην ὅλην.
Πε. οὗτοϲ.
Ευ. τί ἐϲτιν;
Πε. οὐ ϲιωπήϲει;
Ευ. τί δαί;
Πε. οὔποψ μελῳδεῖν αὖ παραϲκευάζεται.
Επ. ἐποποποῖ ποποποποῖ ποποῖ,
ἰὼ ἰὼ ἰτὼ ἰτὼ ἰτὼ ἰτώ,
ἴτω τιϲ ὧδε τῶν ἐμῶν ὁμοπτέρων·
ὅϲοι τ' εὐϲπόρουϲ ἀγροίκων γύαϲ
νέμεϲθε, φῦλα μυρία κριθοτράγων
ϲπερμολόγων τε γένη
ταχὺ πετόμενα, μαλθακὴν ἱέντα γῆρυν·
ὅϲα τ' ἐν ἄλοκι θαμὰ
βῶλον ἀμφιτιττυβίζεθ' ὧδε λεπτὸν
ἡδομένᾳ φωνᾷ·
τιὸ τιὸ τιὸ τιὸ τιὸ τιὸ τιὸ τιό.
ὅϲα θ' ὑμῶν κατὰ κήπουϲ ἐπὶ κιϲϲοῦ
κλάδεϲι νομὸν ἔχει,
τά τε κατ' ὄρεα τὰ κοτινοτράγα τὰ κομαροφάγα,
ἀνύϲατε πετόμενα πρὸϲ ἐμὰν αὐδάν·
τριοτὸ τριοτὸ τοτοβρίξ·
οἵ θ' ἑλείαϲ παρ' αὐλῶναϲ ὀξυϲτόμουϲ
ἐμπίδαϲ κάπτεθ', ὅϲα τ' εὐδρόϲουϲ γῆϲ τόπουϲ
ἔχετε λειμῶνά τ' ἐρόεντα Μαραθῶνοϲ, †ὄρ-

227 ἐποποποῖ Dunbar: ἐποποῖ ποί R: ἐποποί fere cett. ποποποποῖ ποποῖ R: πο ter vel ποῖ pluries fere cett. 228 ἰτὼ quater fere codd.: ἴτω quater $U^{ac}$B 230 γύαϲ $Γ^{pc}$M: γυίαϲ cett. 240 τὰ ... τὰ Dale: τά τε ... τά τε codd. 241 αὐδάν RA$Γ^{ac}$UL: ἀοιδάν VM9M$Γ^{pc}$$B^{2}$ 242 τριοτὸ τριοτὸ τοτοβρίξ ita praebent R, Su. ε 2807, varie deformatum cett. 244 post αὐλῶναϲ add. τὰϲ L 245 κάπτεθ' vett., B: κάμπτεθ' L, Su. post εὐδρόϲουϲ add. τε L 246 λειμῶνά τ' vett.: καὶ λειμῶνα τὸν L

νις πτεροποίκιλος† ἀτταγᾶς ἀτταγᾶς.
ὧν τ' ἐπὶ πόντιον οἶδμα θαλάςςης
φῦλα μετ' ἀλκυόνεςςι ποτῆται,
δεῦρ' ἴτε πευςόμενοι τὰ νεώτερα·
πάντα γὰρ ἐνθάδε φῦλ' ἀθροΐζομεν
οἰωνῶν ταναοδείρων.
ἥκει γάρ τις δριμὺς πρέςβυς
καινὸς γνώμην
καινῶν ἔργων τ' ἐγχειρητής.
ἀλλ' ἴτ' εἰς λόγους ἅπαντα,
δεῦρο δεῦρο δεῦρο δεῦρο.
τοροτοροτοροτοροτίξ.
κικκαβαῦ κικκαβαῦ.
τοροτοροτοροτορολιλιλίξ.
Πε. ὁρᾷς τιν' ὄρνιν;
Ευ. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ·
καίτοι κέχηνά γ' εἰς τὸν οὐρανὸν βλέπων.
Πε. ἄλλως ἄρ' οὔποψ, ὡς ἔοικ', εἰς τὴν λόχμην
ἐμβὰς ἐπόπωζε χαραδριὸν μιμούμενος.
Επ. τοροτὶξ τοροτίξ.
Πε. ὠγάθ', ἀλλ' ⟨εἷς⟩ οὑτοςὶ καὶ δή τις ὄρνις ἔρχεται.
Ευ. νὴ Δί' ὄρνις δῆτα. τίς ποτ' ἐςτίν; οὐ δήπου ταὧς;
Πε. οὗτος αὐτὸς νῷν φράςει· τίς ἐςτιν οὕρνις οὑτοςί;
Επ. οὗτος οὐ τῶν ἠθάδων τῶνδ' ὧν ὁρᾶθ' ὑμεῖς ἀεί,

248 locus nondum sanatus; de numeris vide Parker, *Songs*, pp. 302–3: ὄρνις ⟨τε⟩ L  πτεροποίκιλος] πτερυγοποίκιλός τ' Wiesler (et sine τ' Fleckeisen): πτερῶν ποικίλος τ' Meineke, cf. fr. com. adesp. 416  251 ποτῆται Cobet, cf. sch.: -ᾶται codd.: πέτονται Γγρ  254 ante ταναοδείρων add. τῶν L  257 τ' om. M, Su. κ 1175, ante ἔργων transp. AB  259 δεῦρο quater AUL, Su. ε 2807 cod. F: quinquies cett.  260, 262 ita praebet R: ceteri codd. paulum discrepant  263 ὁρᾷς V^ac M9Γ^ac L: ὁρῇς cett.  266 ἐμβὰς] εἰςβὰς Meineke  ἐπόπωζε Schroeder: ἐπῷζε vel ἐπῶζε codd.  267 utrumque τοροτίγξ] -τίξ R^ac M9^ac  268 suppl. Hall & Geldart: ⟨οὖν⟩ Bergk: ⟨οὐκ⟩ ἀλλ' Bentley  270 οὕρνις RVM9M (sed spiritu leni), cf. 284: ὄρνις cett.

ἀλλὰ λιμναῖοϲ.  
Ευ. βαβαί, καλόϲ γε καὶ φοινικιοῦϲ.  
Επ. εἰκότωϲ ⟨γε⟩· καὶ γὰρ ὄνομ' αὐτῷ 'ϲτὶ φοινικόπτεροϲ.  
Ευ. οὗτοϲ, ὦ—ϲέ τοι.  
Πε. τί βωϲτρεῖϲ;  
Ευ. ἕτεροϲ ὄρνιϲ οὑτοϲί.  
Πε. νὴ Δί' ἕτεροϲ δῆτα χοὗτοϲ ἔξεδρον χρόαν ἔχων.  
τίϲ ποτ' ἔϲθ' ὁ μουϲόμαντιϲ, ἄτοποϲ ὄρνιϲ, ὀριβάτηϲ;  
Επ. ὄνομα τούτῳ Μῆδόϲ ἐϲτι.  
Ευ. Μῆδοϲ; ὦναξ Ἡράκλειϲ.  
εἶτα πῶϲ ἄνευ καμήλου Μῆδοϲ ὢν εἰϲέπτατο;  
Πε. ἕτεροϲ αὖ λόφον καθειληφώϲ τιϲ ὄρνιϲ οὑτοϲί.  
Ευ. τί τὸ τέραϲ τουτί ποτ' ἐϲτίν; οὐ ϲὺ μόνοϲ ἄρ' ἦϲθ' ἔποψ,  
ἀλλὰ χοὗτοϲ ἕτεροϲ;  
Επ. οὑτοϲὶ μέν ἐϲτι Φιλοκλέουϲ  
ἐξ ἔποποϲ, ἐγὼ δὲ τούτου πάπποϲ, ὥϲπερ εἰ λέγοιϲ  
"Ἱππόνικοϲ Καλλίου κἀξ Ἱππονίκου Καλλίαϲ."  
Ευ. Καλλίαϲ ἄρ' οὗτοϲ οὕρνιϲ ἐϲτίν· ὡϲ πτερορρυεῖ.  
Επ. ἅτε γὰρ ὢν γενναῖοϲ ὑπό ⟨τε⟩ ϲυκοφαντῶν τίλλεται,  
αἵ τε θήλειαι πρὸϲ ἐκτίλλουϲιν αὐτοῦ τὰ πτερά.  
Ευ. ὦ Πόϲειδον, ἕτεροϲ αὖ τιϲ βαπτὸϲ ὄρνιϲ οὑτοϲί.  
τίϲ ὀνομάζεταί ποθ' οὗτοϲ;  
Επ. οὑτοϲὶ κατωφαγᾶϲ.  
Πε. ἔϲτι γὰρ κατωφαγᾶϲ τιϲ ἄλλοϲ ἢ Κλεώνυμοϲ;  
Ευ. πῶϲ ἂν οὖν Κλεώνυμόϲ γ' ὢν οὐκ ἀπέβαλε τὸν λόφον;  
Πε. ἀλλὰ μέντοι τίϲ ποθ' ἡ λόφωϲιϲ ἡ τῶν ὀρνέων;

273 suppl. Koechly post αὐτῷ add. γε L 275 χρόαν Su. ε 1596: χροιὰν sch.: χώραν codd., cf. Soph. fr. 654 276 ὀριβάτηϲ Brunck: ὀρειβάτηϲ codd. 278 εἰϲέπτατο fere vett.: ἐπέπτατο L 279 καθειληφώϲ Sommerstein: κατει- codd. 281 οὑτοϲὶ Blaydes: οὗτοϲ codd. μέν post ἐϲτι transp. L 285 suppl. Koechly: ⟨τῶν⟩ L 286 πρὸϲ ἐκ- ut videtur R: προϲεκ- cett. 287 ἕτεροϲ Bentley: ὡϲ ἕτεροϲ codd. 291 alterum ἡ B[pc], Bentley: ἡ 'πὶ L: ἐϲτ' η 'πι R: ἔϲθ' ἡ 'πὶ fere cett.

    ἦ 'πὶ τὸν δίαυλον ἦλθον;
Επ. ὥϲπερ οἱ Κᾶρεϲ μὲν οὖν
ἐπὶ λόφων οἰκοῦϲιν, ὦγάθ', ἀϲφαλείαϲ οὕνεκα.
Πε. ὦ Πόϲειδον, οὐχ ὁρᾷϲ ὅϲον ϲυνείλεκται κακὸν
ὀρνέων;
Ευ. ὦναξ Ἄπολλον, τοῦ νέφουϲ. ἰοὺ ἰού,
οὐδ' ἰδεῖν ἔτ' ἔϲθ' ὑπ' αὐτῶν πετομένων τὴν εἴϲοδον.
Πε. οὑτοϲὶ πέρδιξ.
Ευ. ἐκεινοϲὶ δὲ νὴ Δί' ἀτταγᾶϲ.
Πε. οὑτοϲὶ δὲ πηνέλοψ.
Ευ. ἐκεινηὶ δέ γ' ἀλκυών.
Πε. τίϲ γάρ ἐϲθ' οὔπιϲθεν αὐτῆϲ;
Επ. ὅϲτιϲ ἐϲτί; κειρύλοϲ.
Πε. κειρύλοϲ γάρ ἐϲτιν ὄρνιϲ;
Επ. οὐ γάρ ἐϲτι Ϲποργίλοϲ;
χαὐτηί γε γλαῦξ.
Πε. τί φῄϲ; τίϲ γλαῦκ' Ἀθήναζ' ἤγαγεν;
Επ. κίττα, τρυγών, κορυδόϲ, ἐλεᾶϲ, ὑποθυμίϲ, περιϲτερά,
νέρτοϲ, ἱέραξ, φάττα, κόκκυξ, ἐρυθρόπουϲ, κεβλήπυριϲ,
πορφυρίϲ, κερχνῄϲ, κολυμβίϲ, ἀμπελίϲ, φήνη, δρύοψ.
Πε. ἰοὺ ἰού, τῶν ὀρνέων, ἰοὺ ἰού, τῶν κοψίχων·
οἷα πιππίζουϲι καὶ τρέχουϲι διακεκραγότεϲ.
ἆρ' ἀπειλοῦϲίν γε νῷν; οἴμοι, κεχήναϲίν γέ τοι
καὶ βλέπουϲιν εἰϲ ϲὲ κἀμέ.
Ευ. τοῦτο μὲν κἀμοὶ δοκεῖ.

ΧΟΡΟϹ

ποποποποποποποπο ποῦ μ' ὃϲ ἐκάλεϲε; τίνα

292 ἦ Brunck: ἡ R: ἢ cett. 293 οἰκοῦϲιν L: -οῦϲ' cett. 297–8 personarum vices ita distinxit Reiske 297 δὲ Elmsley: γε codd. 298 ἐκεινηὶ Leutsch: ἐκεινοϲὶ codd. 299 κειρύλοϲ $\Gamma^{pc}$U, cf. sch.: κηρύλοϲ vel sim. cett. 300 κειρύλοϲ ΓU: κηρύλοϲ vel sim. cett. 302–4 nomina singula alternis vicibus ab Eu. et Pi. pronuntiata esse credidit Reiske 308 ἀπειλοῦϲίν $\Gamma^{pc}$L: -ϲί cett. κεχήναϲιν RL: -ϲι cett. 310 πο octies AL: septies U: novies cett. ποῦ Dindorf: ποῖ ποῦ codd. ὃϲ Haupt: ἄρ' ὃϲ codd.

τόπον ἄρα νέμεται;
Επ. οὑτοςὶ πάλαι πάρειμι κοὐκ ἀποςτατῶ φίλων.
Χο. τιτιτιτιτιτιτιτι τίνα λόγον ἄρα ποτὲ
πρὸς ἐμὲ φίλον ἔχων;
Επ. κοινόν, ἀςφαλῆ, δίκαιον, ἡδύν, ὠφελήςιμον.
ἄνδρε γὰρ λεπτὼ λογιςτὰ δεῦρ' ἀφῖχθον ὡς ἐμέ.
Χο. ποῦ; πᾷ; πῶς φῄς;
Επ. φήμ' ἀπ' ἀνθρώπων ἀφῖχθαι δεῦρο πρεςβύτα δύο·
ἥκετον δ' ἔχοντε πρέμνον πράγματος πελωρίου.
Χο. ὦ μέγιςτον ἐξαμαρτὼν ἐξ ὅτου 'τράφην ἐγώ,
πῶς λέγεις;
Επ. μήπω φοβηθῇς τὸν λόγον.
Χο. τί μ' ἠργάςω;
Επ. ἄνδρ' ἐδεξάμην ἐραςτὰ τῆςδε τῆς ξυνουςίας.
Χο. καὶ δέδρακας τοῦτο τοὔργον;
Επ. καὶ δεδρακώς γ' ἥδομαι.
Χο. κᾆςτὸν ἤδη που παρ' ἡμῖν;
Επ. εἰ παρ' ὑμῖν εἴμ' ἐγώ.

Χο. ἔα ἔα· [ςτρ.
προδεδόμεθ' ἀνόςιά τ' ἐπάθομεν·
ὃς γὰρ φίλος ἦν ὁμότροφά θ' ἡμῖν
ἐνέμετο πεδία παρ' ἡμῖν,
παρέβη μὲν θεςμοὺς ἀρχαίους,
παρέβη δ' ὅρκους ὀρνίθων
εἰς δὲ δόλον ἐκάλεςε,
παρέβαλέ τ' ἐμὲ παρὰ
γένος ἀνόςιον, ὅπερ
ἐξότ' ἐγένετ' ἐμοὶ
πολέμιον ἐτράφη.

312 ἄρα L: ἄρα ποτὲ vett. 314 τι vel τί octies RVM9ΜΓΒ: quater usque ad decies cett. 318 ἀφῖχθον ΓU: ἀφίχθον θ' R: ἀφῖχθον θ' M: ἀφῖχθαι A: ἀφίκονθ' cett. 322 ἐξ ὅτου UL: ἐξόςου vel ἐξ ὅςου cett. 323 μήπω] μηδὲν vel μή μοι/μου Blaydes 324 ἐραςτὰ ML: -ὰς cett. 326 που Bekker: ποῦ cett. ὑμῖν ⟨γ'⟩ Blaydes 334 ἐξότ'] ὅτ' Schroeder: ἐξότου Daubuz ἐμοὶ Blaydes: ἐπ' ἐμοὶ fere codd.

*ἀλλὰ πρὸϲ μὲν τοῦτον ἡμῖν ἐϲτιν ὕϲτεροϲ λόγοϲ·*
*τὼ δὲ πρεϲβύτα δοκεῖ μοι τώδε δοῦναι νῦν δίκην*
*{διαφορηθῆναί θ' ὑφ' ἡμῶν.*

*Πε.* *ὡϲ ἀπωλόμεϲθ' ἄρα}.*

*Ευ.* *αἴτιοϲ μέντοι ϲὺ νῷν εἶ τῶν κακῶν τούτων μόνοϲ.*
*ἐπὶ τί γάρ μ' ἐκεῖθεν ἦγεϲ;*

*Πε.* *ἵν' ἀκολουθοίηϲ ἐμοί.*

*Ευ.* *ἵνα μὲν οὖν κλάοιμι μεγάλα.*

*Πε.* *τοῦτο μὲν ληρεῖϲ ἔχων*
*κάρτα· πῶϲ κλαύϲει γάρ, ἢν ἅπαξ γε τὠφθαλμὼ*
*'κκοπῇϲ;*

*Χο.* *ἰὼ ἰώ,* [*ἀντ.*
*ἔπαγ', ἔπιθ', ἐπίφερε πολέμιον*
*ὁρμὰν φονίαν, πτέρυγά τε παντᾷ*
*περίβαλε, περί τε κύκλωϲαι·*
*ὡϲ δεῖ τώδ' οἰμώζειν ἄμφω*
*καὶ δοῦναι ῥύγχει φορβάν.*
*οὔτε γὰρ ὄροϲ ϲκιερὸν*
*οὔτε νέφοϲ αἰθέριον*
*οὔτε πολιὸν πέλαγοϲ*
*ἔϲτιν, ὅ τι δέξεται*
*τώδ' ἀποφυγόντε με.*

*ἀλλὰ μὴ μέλλωμεν ἤδη τώδε τίλλειν καὶ δάκνειν.*
*ποῦ 'ϲθ' ὁ ταξίαρχοϲ; ἐπαγέτω τὸ δεξιὸν κέραϲ.*

*Ευ.* *τοῦτ' ἐκεῖνο. ποῖ φύγω δύϲτηνοϲ;*

*Πε.* *οὗτοϲ, οὐ μενεῖϲ;*

336 *ἀλλὰ* Su. *υ* 690: om. codd. *πρὸϲ μὲν τοῦτον* Fraenkel: *πρὸϲ μὲν τούτουϲ* Su.: *πρὸϲ μὲν οὖν* (*οὖν* om. VM9Γ²ᵃᶜ) *τὸν ὄρνιν* codd. 337 *νῦν* Dobree: *τὴν* codd. 338 v. del. Dunbar *ἀπωλόμεϲθ'* Bentley: *ἀπολούμε(ϲ)θ'* codd. 342 *'κκοπῇϲ* L: -*ῇ* vett. 345 *παντᾷ* Reisig: *πάντῃ* Γᵖᶜ U, B s.l.: *πάντα* fere cett.: *πάντα γε* L 346 *περίβαλε* Reisig: *ἐπίβαλε* codd. 348 *ῥύγχει*] *ῥάμφει* v.l. ap. sch.

Ευ. ἵν' ὑπὸ τούτων διαφορηθῶ;
Πε. πῶς γὰρ ἂν τούτους δοκεῖς
ἐκφυγεῖν;
Ευ. οὐκ οἶδ' ὅπως ἄν.
Πε. ἀλλ' ἐγώ τοί coι λέγω,
ὅτι μένοντε δεῖ μάχεcθαι λαμβάνειν τε τῶν χυτρῶν.
Ευ. τί δὲ χύτρα νώ γ' ὠφελήcει;
Πε. γλαῦξ μὲν οὐ πρόcειcι νῷν.
Ευ. τοῖc δὲ γαμψώνυξι τοιcδί;
Πε. τὸν ὀβελίcκον ἁρπάcαc
εἶτα κατάπηξον πρὸ cαυτοῦ.
Ευ. τοῖcι δ' ὀφθαλμοῖcι τί;
Πε. ὀξύβαφον ἐντευθενὶ προcθοῦ λαβὼν ἢ τρύβλιον.
Ευ. ὦ coφώτατ', εὖ γ' ἀνηῦρεc αὐτὸ καὶ cτρατηγικῶc·
ὑπερακοντίζειc cύ γ' ἤδη Νικίαν ταῖc μηχαναῖc.
Χο. ἐλελελεῦ· χώρει, κάθεc τὸ ῥύγχοc· οὐ μέλλειν ἐχρῆν.
ἕλκε, τίλλε, παῖε, δεῖρε· κόπτε πρώτην τὴν χύτραν.
Επ. εἰπέ μοι, τί μέλλετ', ὦ πάντων κάκιcτα θηρίων,
ἀπολέcαι παθόντεc οὐδὲν ἄνδρε καὶ διαcπάcαι
τῆc ἐμῆc γυναικὸc ὄντε ξυγγενεῖ καὶ φυλέτα;
Χο. φειcόμεcθα γάρ τι τῶνδε μᾶλλον ἡμεῖc ἢ λύκων;
ἢ τίναc τειcαίμεθ' ἄλλουc τῶνδ' ἂν ἐχθίουc ἔτι;
Επ. εἰ δὲ τὴν φύcιν μὲν ἐχθροί, τὸν δὲ νοῦν εἰcιν φίλοι,
καὶ διδάξοντέc τι δεῦρ' ἥκουcιν ὑμᾶc χρήcιμον;
Χο. πῶc δ' ἂν οἶδ' ἡμᾶc τι χρήcιμον διδάξειάν ποτε
ἢ φράcειαν, ὄντεc ἐχθροὶ τοῖcι πάπποιc τοῖc ἐμοῖc;

355 δοκεῖc RVM9: δοκῇc cett. 359 τοιcδί R: τοῖcδε cett. 360 πρὸ cαυτοῦ Bentley: πρὸc αὐτὸν codd. 361 προcθοῦ Dindorf: πρόcθου codd.: προθοῦ Badham 362 γ' ἀν- VAL: γ' ἂν RM9M: γὰρ ΓUB 364 ἐλελελεῦ L, lm. sch. Γ: ἐλελεῦ vett. μέλλειν] μένειν R, Su. ε 786, ρ 281 368 ξυγγενεῖ Hall & Geldart, duce Bentley: -νέε codd. 369 φειcόμεcθα RVML: -μεθα cett. 370 τειcαίμεθ' edd.: τιcαίμεθ' AUB, Su. φ 253: τιcαίμεcθ' fere cett. 371 εἰcιν RL: εἰcι cett. 372 ὑμᾶc RVL: ἡμᾶc cett. τι ante χρήcιμον iterant RVMA 373 οἶδ' Porson, Brunck: οἵ γ' codd. χρήcιμον L: χρήcιμον ἢ vett.: χρηcτὸν ⟨ἐκ-⟩ Reisig: χρηcτὸν ἢ G. M. Thomas

Επ. ἀλλ' ἀπ' ἐχθρῶν δὴ τὰ πολλὰ μανθάνουϲιν οἱ ϲοφοί.
ἡ γὰρ εὐλάβεια ϲῴζει πάντα. παρὰ μὲν οὖν φίλου
οὐ μάθοιϲ ἂν τοῦθ', ὁ δ' ἐχθρὸϲ εὐθὺϲ ἐξηνάγκαϲεν.
αὐτίχ' αἱ πόλειϲ παρ' ἀνδρῶν γ' ἔμαθον ἐχθρῶν κοὐ φίλων
ἐκπονεῖν θ' ὑψηλὰ τείχη ναῦϲ τε κεκτῆϲθαι μακράϲ·
τὸ δὲ μάθημα τοῦτο ϲῴζει παῖδαϲ, οἶκον, χρήματα.
Χο. ἔϲτι μὲν λόγων ἀκοῦϲαι πρῶτον, ὡϲ ἡμῖν δοκεῖ·
χρήϲιμον μάθοι γὰρ ἄν τι κἀπὸ τῶν ἐχθρῶν ϲοφόϲ.
Πε. οἵδε τῆϲ ὀργῆϲ χαλᾶν εἴξαϲιν. ἄναγ' ἐπὶ ϲκέλοϲ.
Επ. καὶ δίκαιόν γ' ἐϲτί, κἀμοὶ δεῖ νέμειν ὑμᾶϲ χάριν.
Χο. ἀλλὰ μὴν οὐδ' ἄλλο ϲοί πω πρᾶγμ' ἐνηντιώμεθα.
Ευ. μᾶλλον εἰρήνην ἄγουϲιν.
Πε. νὴ Δί', ὥϲτε τὴν χύτραν
τώ τε τρυβλίω καθίει·
καὶ τὸ δόρυ χρή, τὸν ὀβελίϲκον,
περιπατεῖν ἔχονταϲ ἡμᾶϲ
τῶν ὅπλων ἐντόϲ, παρ' αὐτὴν
τὴν χύτραν, μακρὰν ὁρῶνταϲ
κἀγγύϲ· ὡϲ οὐ φευκτέον νῷν.
Ευ. ἐτεόν, ἢν δ' ἄρ' ἀποθάνωμεν,
κατορυχηϲόμεϲθα ποῦ γῆϲ;
Πε. ὁ Κεραμεικὸϲ δέξεται νώ.

375 δὴ τὰ Blaydes: δῆτα L: δὴ vett.: om. Su. α 3104 377 τοῦθ'] malim αὖθ' εὐθὺϲ R: αὐτὸϲ cett., Su.: αὐτίκ' Dunbar: αὐτό ϲ' Bentley 378 γ' RVML: om. cett., Su. 381 post δοκεῖ interpunxerunt Hamaker et Koechly, post χρήϲιμον (382) plerique 382 τι ... ϲοφόϲ Hamaker: τιϲ ... ϲοφόν codd., Su. μ 45 (ϲοφόν etiam ρ 48) 385 πω RMAL: που cett. ἐνηντιώμεθα Bentley: ἠναντ- codd. 386 partes ita distinxit Blaydes νὴ Δί' Meineke: ἡμῖν codd.: ἢ πρὶν Porson: del. van Leeuwen χύτραν ⟨τε⟩ Dawes, ut hinc incipiant numeri trochaici dimetri 387 τώ τε τρυβλίω vett.: τῷ γε τρυβλίῳ L: del. van Leeuwen 390–1 παρ' αὐτὴν τὴν Dawes: παρ' αὐτὴν AM: παρὰ τὴν fere cett. 391 μακρὰν Bothe: ἄκραν αὐτὴν codd.: ἄκραν Dawes 392 κἀγγὺϲ Bothe: ἐγγὺϲ codd. 394 κατορυχηϲόμεϲθα Elmsley: κατορυχθηϲόμεθα vett., -μεϲθα L

δημοϲίᾳ γὰρ ἵνα ταφῶμεν,
φήϲομεν πρὸϲ τοὺϲ ϲτρατηγοὺϲ
μαχομένω τοῖϲ πολεμίοιϲιν
ἀποθανεῖν ἐν Ὀρνεαῖϲ.
Χο. ἄναγ᾽ εἰϲ τάξιν πάλιν εἰϲ ταὐτόν,
καὶ τὸν θυμὸν κατάθου κύψαϲ
παρὰ τὴν ὀργὴν ὥϲπερ ὁπλίτηϲ·
κἀναπυθώμεθα τούϲδε τίνεϲ πόθεν
ἐπὶ τίνα τ᾽ ἐμόλετον ἐπίνοιαν.
ἰώ, ἔποψ, ϲέ τοι καλῶ.
Επ. καλεῖϲ δὲ τοῦ κλύειν θέλων;
Χο. τίνεϲ ποθ᾽ οἵδε καὶ πόθεν;
Επ. ξένω ϲοφῆϲ ἀφ᾽ Ἑλλάδοϲ.
Χο. τύχη δὲ ποία κομίζει ποτ᾽ αὐ-
τὼ πρὸϲ ὄρνιθαϲ ἐλθεῖν;
Επ. ἔρωϲ
βίου διαίτηϲ τέ ϲου καὶ ξυνοι-
κεῖν γέ ϲοι καὶ ξυνεῖναι τὸ πᾶν.
Χο. τί φῄϲ;
λέγει δὲ δὴ τίναϲ λόγουϲ;
Επ. ἄπιϲτα καὶ πέρα κλύειν.
Χο. ὁρᾷ τι κέρδοϲ ἐνθάδ᾽ ἄξιον μονῆϲ,
ὅτῳ πέποιθ᾽ ἐμοὶ ξυνὼν
κρατεῖν ἂν ἢ τὸν ἐχθρὸν ἢ
φίλοιϲιν ὠφελεῖν ἔχειν;
Επ. λέγει μέγαν τιν᾽ ὄλβον οὔτε λεκτὸν οὔ-
τε πιϲτόν· ὡϲ ϲὰ πάντα καὶ τὸ τῇδε καὶ

403 *τίνεϲ πόθεν* Bothe: *τίνεϲ ποτὲ καὶ πόθεν* codd. 404 *ἐπὶ τίνα τ᾽ ἐμόλετον* Dunbar: *ἔμολον ἐπὶ τίνα τ᾽* codd.: alii alia 409 *ξένω* Dindorf: *ξείνω* codd. 413 *ϲου καὶ* Reiske: *καὶ ϲοῦ* fere codd. *γε* Meineke: *τε* codd. 416 *τί φῄϲ;* extra metrum esse censuit Dindorf *λέγει* Dindorf: *λέγουϲι* codd.: *λέγουϲιν* Wilamowitz ut numeri iambici fiant, sed displicet syncope *δὲ* om. U *δὴ* om. R 418 *πέποιθ᾽ ἐμοὶ* Dobree: *πέποιθέ μοι* codd. 420 *τὸν ἐχθρὸν* L: *τῶν ἐχθρῶν* vett.

τὸ κεῖϲε καὶ τὸ δεῦρο προϲβιβᾷ λέγων.
Χο. πότερα μαινόμενοϲ;
Επ. ἄφατον ὡϲ φρόνιμοϲ.
Χο. ἔνι ϲοφόν τι φρενί;
Επ. πυκνότατον κίναδοϲ,
ϲόφιϲμα, κύρμα, τρῖμμα, παιπάλημ᾽ ὅλον.
Χο. λέγειν λέγειν κέλευέ μοι.
κλυὼν γὰρ ὧν ϲύ μοι λέγειϲ
λόγων ἀνεπτέρωμαι.
Επ. ἄγε δὴ ϲὺ καὶ ϲὺ τὴν πανοπλίαν μὲν πάλιν
ταύτην λαβόντε κρεμάϲατον τὐχἀγαθῇ
εἰϲ τὸν ἰπνὸν εἴϲω πληϲίον τοὐπιϲτάτου·
ϲὺ δὲ τούϲδ᾽ ἐφ᾽ οἷϲπερ τοι λόγοιϲ ϲυνέλεξ᾽ ἐγὼ
φράϲον, δίδαξον.
Πε. μὰ τὸν Ἀπόλλω ᾽γὼ μὲν οὔ,
ἢν μὴ διάθωνταί γ᾽ οἵδε διαθήκην ἐμοὶ
ἥνπερ ὁ πίθηκοϲ τῇ γυναικὶ διέθετο,
ὁ μαχαιροποιόϲ, μήτε δάκνειν τούτουϲ ἐμὲ
μήτ᾽ ὀρχίπεδ᾽ ἕλκειν μήτ᾽ ὀρύττειν—
Ευ. οὔτι που
τόμ—;
Πε. οὐδαμῶϲ· οὔκ, ἀλλὰ τὠφθαλμὼ λέγω.
Χο. διατίθεμαι ᾽γώ.
Πε. κατόμοϲόν νυν ταῦτά μοι.
Χο. ὄμνυμ᾽ ἐπὶ τούτοιϲ, πᾶϲι νικᾶν τοῖϲ κριταῖϲ
καὶ τοῖϲ θεαταῖϲ πᾶϲιν.
Πε. ἔϲται ταυταγί.

425 ϲὰ πάντα Bergk: ϲὰ γὰρ ταῦτα πάντα vett.: ϲὰ ταῦτα γὰρ δὴ πάντα L: ϲὰ γὰρ τὰ πάντα Meineke τὸ . . . τὸ . . . τὸ] τὰ . . . τὰ . . . τὰ maluit Blaydes 431 alterum λέγειν post μοι transp. codd. praeter R 432 κλυὼν Sommerstein: κλύων codd. 437 τοι Reiske: τοῖϲ codd. 442–3 personarum vices parum certae; Pisetaerum inde a voce οὔκ incipere haud absonum est 443 τὸμ πρωκτὸν Pisetaerum dicturum fuisse vidit Dunbar: τὸν codd. 444 διατίθεμαι ᾽γὼ Hermann: διατίθεμ᾽ ἐγὼ vett.: διατίθεμ᾽ ἔγωγε L

*Χο.* εἰ δὲ παραβαίην, ἑνὶ κριτῇ νικᾶν μόνον.
*Πε.* ἀκούετε λεῴ· τοὺϲ ὁπλίταϲ νυνμενὶ
ἀνελομένουϲ θὤπλ' ἀπιέναι πάλιν οἴκαδε,
ϲκοπεῖν δ' ὅ τι ἂν προγράφωμεν ἐν τοῖϲ πινακίοιϲ.

*Χο.* δολερὸν μὲν ἀεὶ κατὰ πάντα δὴ τρόπον [ϲτρ.
πέφυκεν ἄνθρωποϲ· ϲὺ δ' ὅμωϲ λέγε μοι. τάχα γὰρ
τύχοιϲ ἂν χρηϲτὸν ἐξειπὼν ὅ τι μοι παρορᾳϲ,
ἢ δύναμίν τινα μείζω
παραλειπομένην ὑπ' ἐμῆϲ φρενὸϲ ἀξυνέτου·
ϲὺ δὲ τοῦθ' οὑρᾳϲ λέγ' εἰϲ κοινόν.
ὃ γὰρ ἂν ϲὺ τύχῃϲ μοι
ἀγαθὸν πορίϲαϲ, τοῦτο κοινὸν ἔϲται.
ἀλλ' ἐφ' ὅτῳπερ πράγματι τὴν ϲὴν ἥκειϲ γνώμην
ἀναπείϲων,
λέγε θαρρήϲαϲ· ὡϲ τὰϲ ϲπονδὰϲ οὐ μὴ πρότεροι
παραβῶμεν.
*Πε.* καὶ μὴν ὀργῶ νὴ τὸν Δία καὶ προπεφύραται λόγοϲ εὖ
μοι,
ὃν διαμάττειν ϲύ μ' ἐκώλυεϲ· φέρε, παῖ, ϲτέφανον·
κατάκειϲθε·
κατὰ χειρὸϲ ὕδωρ φερέτω ταχύ τιϲ.
*Ευ.* δειπνήϲειν μέλλομεν, ἢ τί;
*Πε.* μὰ Δί', ἀλλὰ λέγειν ζητῶ τι πάλαι, μέγα καὶ λαρινὸν
ἔποϲ τι,
ὅ τι τὴν τούτων θραύϲει ψυχήν· οὕτωϲ ὑμῶν
ὑπεραλγῶ,

454 παρορᾳϲ] παροράτ' Bentley 455 φρενὸϲ om. L (add. manus posterior) 457 οὑρᾳϲ Bothe: ὁρᾳϲ codd. 460 πράγματι ... ἥκειϲ Dawes: ἥκειϲ ... πράγματι vett.: ἂν ἥκειϲ ... πράγματι L πράγματι τὴν ϲὴν] τὴν ἡμετέραν Bentley ἀναπείϲων Bentley: ἀναπείϲαϲ codd. 461 πρότεροι Hermann: -ον P48, codd. 462 εὖ Bergk: εἰϲ codd., Su. ο 519 463 ϲύ μ' ἐκώλυεϲ Bergk: οὐ κωλύει codd. (sed οὐ om. R), Su.: τί με κωλύει; Koechly κατάκειϲθε anon. Parisinus, Bentley: καταχεῖϲθαι AU: καταχεῖϲθε cett. 466 οὕτωϲ] ὄντωϲ anon. ap. Blaydes

οἵτινες ὄντες πρότερον βαcιλῆc—
Χο. ἡμεῖc βαcιλῆc; τίνοc;
Πε. ὑμεῖc
πάντων ὁπόc' ἔcτιν, ἐμοῦ πρῶτον, τουδί, καὶ τοῦ Διὸc αὐτοῦ,
ἀρχαιότεροι πρότεροί τε Κρόνου καὶ Τιτάνων ἐγένεcθε καὶ Γῆc.
Χο. καὶ Γῆc;
Πε. νὴ τὸν Ἀπόλλω.
Χο. τουτὶ μὰ Δί' οὐκ ἐπεπύcμην.
Πε. ἀμαθὴc γὰρ ἔφυc κοὐ πολυπράγμων, οὐδ' Αἴcωπον πεπάτηκαc,
ὃc ἔφαcκε λέγων κορυδὸν πάντων πρώτην ὄρνιθα γενέcθαι,
προτέραν τῆc γῆc, κἄπειτα νόcῳ τὸν πατέρ' αὐτῆc ἀποθνῄcκειν·
γῆν δ' οὐκ εἶναι, τὸν δὲ προκεῖcθαι πεμπταῖον· τὴν δ' ἀποροῦcαν
ὑπ' ἀμηχανίαc τὸν πατέρ' αὐτῆc ἐν τῇ κεφαλῇ κατορύξαι.
Ευ. ὁ πατὴρ ἄρα τῆc κορυδοῦ νυνὶ κεῖται τεθνεὼc Κεφαλῆcιν.
Πε. οὔκουν δῆτ', εἰ πρότεροι μὲν γῆc, πρότεροι δὲ θεῶν ἐγένοντο,
ὡc πρεcβυτάτων ὄντων αὐτῶν ὀρθῶc ἐcθ' ἡ βαcιλεία;
Ευ. νὴ τὸν Ἀπόλλω· πάνυ τοίνυν χρὴ ῥύγχοc βόcκειν cε τὸ λοιπόν·
οὐκ ἀποδώcει ταχέωc ὁ Ζεὺc τὸ cκῆπτρον τῷ δρυκολάπτῃ.

468 virgulam post πρῶτον abesse malunt quidam 471 πεπάτηκαc] μεμάθηκαc Galenus *de simpl. med.* 11.37 (K 12.360) 475 αὑτῆc Brunck: αὐτῆc codd. 476–8 personarum vices ita distinxit Bentley 478 αὐτῶν post ὄντων transp. Brunck 479–80 personarum vices parum certae 480 οὐκ] ὡc Bentley; in fine v. notam interrogationis addunt quidam

Πε. ὡϲ δ' οὐχὶ θεοὶ τοίνυν ἦρχον τῶν ἀνθρώπων τὸ παλαιόν,
ἀλλ' ὄρνιθεϲ, κἀβαϲίλευον, πόλλ' ἐϲτὶ τεκμήρια τούτων.
αὐτίκα δ' ὑμῖν πρῶτ' ἐπιδείξω τὸν ἀλεκτρυόν', ὡϲ ἐτυράννει
ἦρχέ τε Περϲῶν πρότερον πολλῷ Δαρείου καὶ Μεγαβάζου,
ὥϲτε καλεῖται Περϲικὸϲ ὄρνιϲ ἀπὸ τῆϲ ἀρχῆϲ ἔτ' ἐκείνηϲ.
διὰ ταῦτ' ἄρ' ἔχων καὶ νῦν ὥϲπερ βαϲιλεὺϲ ὁ μέγαϲ διαβάϲκει
ἐπὶ τῆϲ κεφαλῆϲ τὴν κυρβαϲίαν τῶν ὀρνίθων μόνοϲ ὀρθήν.
οὕτω δ' ἴϲχυέ τε καὶ μέγαϲ ἦν τότε καὶ πολύϲ, ὥϲτ' ἔτι καὶ νῦν
ὑπὸ τῆϲ ῥώμηϲ τῆϲ τότ' ἐκείνηϲ, ὁπόταν μόνον ὄρθριον ᾄϲῃ,
ἀναπηδῶϲιν πάντεϲ ἐπ' ἔργον, χαλκῆϲ, κεραμῆϲ, ϲκυλοδέψαι,
ϲκυτῆϲ, βαλανῆϲ, ἀλφιταμοιβοί, τορνευτολυραϲπιδοπηγοί·
οἱ δὲ βαδίζουϲ' ὑποδηϲάμενοι νύκτωρ.
Ευ. ἐμὲ τοῦτό γ' ἐρώτα.
χλαῖναν γὰρ ἀπώλεϲ' ὁ μόχθηροϲ Φρυγίων ἐρίων διὰ τοῦτον.

481 *ἦρχον* huc revocavit Bentley: post *ἀνθρώπων* praebent codd. 484 *πρότερον* Dindorf: *πρῶτον* codd.: *πρῶτοϲ* Bergk: *πρότεροϲ* Hirschig *πολλῷ* Wilson: *πάντων* codd. *Δαρείου καὶ Μεγαβάζου*] *-ων . . . -ων* Haupt *Μεγαβάζου* RVML: *-βύζου* M9 ΑΓUB 486–7 Euelpidi tribuit Bentley 486 ante *βαϲιλεὺϲ* add. *ὁ* codd. praeter ΓUL 488 *ἴϲχυέ* Elmsley: *ἴϲχυϲε* codd. 489 *ὑπὸ*] *ἀπὸ* Hamaker *μόνον*] *νόμον* Porson *ὄρθριον*] *ὄρθιον* RAUB 490 *ἀναπηδῶϲιν* L: *-ῶϲι* cett. *ϲκυλοδέψαι* Bentley: *ϲκυτο-* codd. *-δέψαι* ΓUL: *-δεψοί* cett. 491 *τορνευτολυραϲπιδοπηγοί* R, Su. τ 793: *τορνευταϲπιδολυροπηγοί* cett. 493 *μόχθηροϲ* hoc accentu codd. praeter AB

εἰϲ δεκάτην γάρ ποτε παιδαρίου κληθεὶϲ ὑπέπινον ἐν ἄϲτει,
κἄρτι καθηῦδον, καὶ πρὶν δειπνεῖν τοὺϲ ἄλλουϲ οὗτοϲ ἄρ' ᾖϲεν·
κἀγὼ νομίϲαϲ ὄρθρον ἐχώρουν Ἁλιμουντάδε, κἄρτι προκύπτω
ἔξω τείχουϲ καὶ λωποδύτηϲ παίει ῥοπάλῳ με τὸ νῶτον·
κἀγὼ πίπτω μέλλω τε βοᾶν, ὁ δ' ἀπέβλιϲε θοἰμάτιόν μου.

Πε. ἰκτῖνοϲ δ' οὖν τῶν Ἑλλήνων ἦρχεν τότε κἀβαϲίλευεν.

Χο. τῶν Ἑλλήνων;

Πε. καὶ κατέδειξέν γ' οὗτοϲ πρῶτοϲ βαϲιλεύων
προκυλινδεῖϲθαι τοῖϲ ἰκτίνοιϲ.

Ευ. νὴ τὸν Διόνυϲον, ἐγὼ γοῦν
ἐκυλινδούμην ἰκτῖνον ἰδών· κᾆθ' ὕπτιοϲ ὢν ἀναχάϲκων
ὀβολὸν κατεβρόχθιϲα· κᾆτα κενὸν τὸν θύλακον οἴκαδ' ἀφεῖλκον.

Πε. Αἰγύπτου δ' αὖ καὶ Φοινίκηϲ πάϲηϲ κόκκυξ βαϲιλεὺϲ ἦν·
χὠπόθ' ὁ κόκκυξ εἴποι "κόκκυ," τότ' ἂν οἱ Φοίνικεϲ ἅπαντεϲ
τοὺϲ πυροὺϲ ἂν καὶ τὰϲ κριθὰϲ ἐν τοῖϲ πεδίοιϲ ἐθέριζον.

Ευ. τοῦτ' ἄρ' ἐκεῖν' ἦν τοὔποϲ ἀληθῶϲ· "κόκκυ, ψωλοὶ πεδίονδε."

Πε. ἦρχον δ' οὕτω ϲφόδρα τὴν ἀρχήν, ὥϲτ' εἴ τιϲ καὶ βαϲιλεύοι
ἐν ταῖϲ πόλεϲιν τῶν Ἑλλήνων Ἀγαμέμνων ἢ Μενέλαοϲ,
ἐπὶ τῶν ϲκήπτρων ἐκάθητ' ὄρνιϲ μετέχων ὅ τι δωροδοκοίη.

496 Ἁλιμουντάδε M9B: Ἀ- cett. 497 τὸ AL, Su. α 3255 codd. AM, α 2968 cod. M: τὸν cett. 499 δ' om. AL ἦρχεν R: -ε cett. τότε] ποτὲ R 500 γ' L: om. vett. 501 ἐγὼ γοῦν p: ἔγωγ' οὖν cett. 502 ἐκυλινδούμην L: -όμην cett. 505 τότ' ἂν Porson: τότ' αὖ B: τότ' vel τόθ' cett.: τότε γ' Kuster 509 πόλεϲιν B: -ϲι cett.

Ευ. τουτὶ τοίνυν οὐκ ᾔδη ’γώ· καὶ δῆτά μ’ ἐλάμβανε θαῦμα,
ὁπότ’ ἐξέλθοι Πρίαμός τις ἔχων ὄρνιν ἐν τοῖcι τραγῳδοῖc,
ὁ δ’ ἄρ’ εἱcτήκει τὸν Λυcικράτη τηρῶν ὅ τι δωροδοκοίη.

Πε. ὃ δὲ δεινότατόν γ’ ἐcτὶν ἁπάντων, ὁ Ζεὺc γὰρ ὁ νῦν βαcιλεύων
αἰετὸν ὄρνιν ἕcτηκεν ἔχων ἐπὶ τῆc κεφαλῆc βαcιλεὺc ὤν,
ἡ δ’ αὖ θυγάτηρ γλαῦχ’, ὁ δ’ Ἀπόλλων ὥcπερ θεράπονθ’ ἱέρακα.

Χο. νὴ τὴν Δήμητρ’ εὖ ταῦτα λέγειc. τίνοc οὕνεκα ταῦτ’ ἄρ’ ἔχουcιν;

Πε. ἵν’ ὅταν θύων τιc ἔπειτ’ αὐτοῖc εἰc τὴν χεῖρ’, ὡc νόμοc ἐcτίν,
τὰ cπλάγχνα διδῷ, τοῦ Διὸc αὐτοὶ πρότεροι τὰ cπλάγχνα λάβωcιν.
ὤμνυ δ’ οὐδεὶc τότ’ ⟨ἂν⟩ ἀνθρώπων θεόν, ἀλλ’ ὄρνιθαc ἅπαντεc·

Ευ. Λάμπων δ’ ὄμνυc’ ἔτι καὶ νυνὶ τὸν χῆν’, ὅταν ἐξαπατᾷ τι.

Πε. οὕτωc ὑμᾶc πάντεc πρότερον μεγάλουc ἁγίουc τ’ ἐνόμιζον,
νῦν δ’ αὖ Μανᾶc.
ᾔδη δ’ ὥcπερ τοὺc μαινομένουc

511 ᾔδη VM9ΑΓ$^{pc}$UB: εἴδ’ R, ᾔδ’ s.l.: ᾔδειν ML  ’γὼ VΑΓUL: ἐγὼ RMp: δ’ ἐγὼ M9  513 εἱcτήκει R: ἑcτ- cett.  Λυcικράτη] -ην RMΓ$^{ac}$U  514 γ’ B: om. cett.  515 ὄρνιν ἕcτηκεν Tyrwhitt, Brunck (ὄρνιν γ’ ἕcτηκεν iam Daubuz): ἕcτηκεν ὄρνιν vett.: ἕcτηκ’ ὄρνιν L  516 ὥcπερ θεράπονθ’ Blaydes, qui etiam ὡc θεράπων ὤν temptavit: ὥcπερ θεράπων codd.: ὡc θεραπεύων Griffin  517 v. Euelpidi tribuere possis  519 διδῷ Brunck: διδοῖ codd.  520 ὤμνυ δ’ Blaydes: ὤμνυ τ’ G, Bentley: ὤμνυέ τ’ vel ὠμνύετ’ cett.  suppl. Tyrwhitt  521 νυνὶ Kuster: νῦν codd.  v. Euelpidi tribuit Tyrwhitt  522 ἁγίουc τ’ RVM9L: θ’ ἁγίουc fere cett.  523 αὖ anon. Jenensis: ἀνδράποδ’, ἠλιθίουc codd.  524 ᾔδη δ’ ὥcπερ van Herwerden: ὥcπερ δ’ ᾔδη codd.

βάλλουϲ' ὑμᾶϲ κἀν τοῖϲ ἱεροῖϲ·
πᾶϲ τιϲ ἐφ' ὑμῖν ὀρνιθευτὴϲ
ἵϲτηϲι βρόχουϲ, παγίδαϲ, ῥάβδουϲ,
ἕρκη, νεφέλαϲ, δίκτυα, πηκτάϲ·
εἶτα λαβόντεϲ πωλοῦϲ' ἀθρόουϲ·
οἱ δ' ὠνοῦνται βλιμάζοντεϲ·
κοὐ μόνον οἷϲπερ ταῦτα δοκεῖ δρᾶν
ὀπτηϲάμενοι παρέθενθ' ὑμᾶϲ,
ἀλλ' ἐπικνῶϲιν τυρόν, ἔλαιον,
ϲίλφιον, ὄξοϲ, καὶ τρίψαντεϲ
κατάχυϲμ' ἕτερον
λιπαρόν, κἄπειτα κατεϲκέδαϲαν
θερμὸν θερμῶν
ἀτεχνῶϲ ὥϲπερ κενεβρείων.

Χο. πολὺ δὴ πολὺ δὴ χαλεπωτάτουϲ λόγουϲ [ἀντ.
ἤνεγκαϲ, ἄνθρωφ'· ὡϲ ἐδάκρυϲά γ' ἐμῶν πατέρων
κάκην, οἳ τάϲδε τὰϲ τιμὰϲ προγόνων παραδόν-
των ἐπ' ἐμοῦ κατέλυϲαν.
ϲὺ δέ μοι κατὰ δαίμονα καί ⟨τινα⟩ ϲυντυχίαν
ἀγαθὴν ἥκειϲ ἐμοὶ ϲωτήρ.
ἀναθεὶϲ γὰρ ἐγώ ϲοι
τὰ νεόττια κἀμαυτὸν οἰκετεύϲω.

ἀλλ' ὅ τι χρὴ δρᾶν, ϲὺ δίδαϲκε παρών· ὡϲ ζῆν οὐκ ἄξιον
ἡμῖν,
εἰ μὴ κομιούμεθα παντὶ τρόπῳ τὴν ἡμετέραν βαϲιλείαν.

525 post ὑμᾶϲ interpungunt quidam 526 ὑμῖν ⟨δ'⟩ Seidler 531 κοὐ μόνον Dunbar, duce van Herwerden: κοὐδ' οὖν codd.: κοὐδ' ὣϲ Blaydes οἷϲπερ Wilson: εἴπερ codd. 532 ὑμᾶϲ] οὕτωϲ van Herwerden 535 post ἕτερον praebent γλυκὺ καὶ codd.: del. Dunbar 537 θερμῶν Dunbar: τοῦτο καθ' ὑμῶν codd. 538 ἀτεχνῶϲ Blaydes: αὐτῶν codd.: πάντων Richards: alii alia κενεβρείων Bentley: -ρίων codd. 539 alterum δὴ om. R$^{pc}$ΓUB 543 ἐμοῦ] ἐμοὶ AM 544 μοι] τοι van Herwerden: καὶ vel που Blaydes suppl. Grynaeus: ⟨κατὰ⟩ Porson, Brunck 547 τὰ L: τά τε vett. οἰκετεύϲω Hermann: οἰκήϲω fere vett.: οἰκήϲω δὴ L 548 ἀλλ' ὅ τι R: ἀλλὰ τί cett.

Πε. καὶ δὴ τοίνυν πρῶτα διδάσκω μίαν ὀρνίθων πόλιν εἶναι,
κἄπειτα τὸν ἀέρα πάντα κύκλῳ καὶ πᾶν τουτὶ τὸ μεταξὺ
περιτειχίζειν μεγάλαις πλίνθοις ὀπταῖς ὥσπερ Βαβυλῶνα.

Χο. ὦ Κεβριόνη καὶ Πορφυρίων, ὡς σμερδαλέον τὸ πόλισμα.

Πε. κἀπειδὰν τοῦτ' ἐπανεστήκῃ, τὴν ἀρχὴν τὸν Δί' ἀπαιτεῖν·
κἂν μὲν μὴ φῇ μηδ' ἐθελήσῃ μηδ' εὐθὺς γνωσιμαχήσῃ,
ἱερὸν πόλεμον πρωὐδᾶν αὐτῷ, καὶ τοῖσι θεοῖσιν ἀπειπεῖν
διὰ τῆς χώρας τῆς ὑμετέρας ἐστυκόσι μὴ διαφοιτᾶν,
ὥσπερ πρότερον μοιχεύσοντες τὰς Ἀλκμήνας κατέβαινον
καὶ τὰς Ἀλόπας καὶ τὰς Σεμέλας· ἤνπερ δ' ἐπίωσ', ἐπιβάλλειν
σφραγῖδ' αὐτοῖς ἐπὶ τὴν ψωλήν, ἵνα μὴ βινῶσ' ἔτ' ἐκείνας.
τοῖς δ' ἀνθρώποις ὄρνιν ἕτερον πέμψαι κήρυκα κελεύω,
ὡς ὀρνίθων βασιλευόντων θύειν ὄρνισι τὸ λοιπόν,
κἄπειτα θεοῖς ὕστερον αὖθις· προσνείμασθαι δὲ πρεπόντως
τοῖσι θεοῖσιν τῶν ὀρνίθων ὃς ἂν ἁρμόττῃ καθ' ἕκαστον·
ἢν Ἀφροδίτῃ θύῃ, κριθὰς ὄρνιθι φαληρίδι θύειν·

553 v. Euelpidi tribuunt quidam Κεβριόνη Brunck: -όνα codd.: (Ἀ)λεκτρυόνα Schroeder 554 κἀπειδὰν Brunck e B (κἄπειδ' ἂν): κἄπειτ' ἂν cett. 557 ὑμετέρας] ἡμ- M9AU ἐστυκόσι RVΓ: ἑστηκόσι(ν) cett. 560 ψωλήν vett.: κωλῆν L 564 θεοῖσιν L: θεοῖς vett. ὃς M9MAL: ὅς' RVΓUB ἁρμόττῃ Lobeck: ἁρμόζῃ codd. post hunc v. lacunam unius v. e sch. collegit Wieseler 565 κριθὰς Brunck: πυροὺς codd.

ἢν δὲ Ποϲειδῶνί τιϲ οἶν θύῃ, νήττῃ πυροὺϲ καθαγίζειν·
ἢν δ' Ἡρακλέει θύῃ τι, λάρῳ ναϲτοὺϲ θύειν
μελιτοῦνταϲ·
κἂν Διὶ θύῃ βαϲιλεῖ κριόν, βαϲιλεύϲ ἐϲτ' ὀρχίλοϲ ὄρνιϲ,
ᾧ προτέρῳ δεῖ τοῦ Διὸϲ αὐτοῦ ϲέρφον ἐνόρχην
ϲφαγιάζειν.
Ευ. ἥϲθην ϲέρφῳ ϲφαγιαζομένῳ. βροντάτω νῦν ὁ μέγαϲ
Ζάν.
Χο. καὶ πῶϲ ἡμᾶϲ νομιοῦϲι θεοὺϲ ἄνθρωποι κοὐχὶ
κολοιούϲ,
οἳ πετόμεϲθα πτέρυγάϲ τ' ἔχομεν;
Πε. ληρεῖϲ. καὶ νὴ Δί' ὅ γ' Ἑρμῆϲ
πέτεται θεὸϲ ὢν πτέρυγάϲ τε φορεῖ, κἄλλοι γε θεοὶ
πάνυ πολλοί.
αὐτίκα Νίκη πέτεται πτερύγοιν χρυϲαῖν καὶ νὴ Δί'
Ἔρωϲ γε·
Ἶριν δέ γ' Ὅμηροϲ ἔφαϲκ' ἰκέλην εἶναι τρήρωνι
πελείῃ.
ὁ Ζεὺϲ δ' ἡμῖν οὐ βροντήϲαϲ πέμπει πτερόεντα
κεραυνόν;
Χο. ἢν δ' οὖν ἡμᾶϲ μὲν ὑπ' ἀγνοίαϲ εἶναι νομίϲωϲι τὸ μηδέν,
τούτουϲ δὲ θεοὺϲ τοὺϲ ἐν Ὀλύμπῳ;
Πε. τότε χρὴ ϲτρούθων νέφοϲ ἀρθὲν
καὶ ϲπερμολόγων ἐκ τῶν ἀγρῶν τὸ ϲπέρμ' αὐτῶν
ἀνακάψαι·
κἄπειτ' αὐτοῖϲ ἡ Δημήτηρ πυροὺϲ πεινῶϲι μετρείτω.
Ευ. οὐκ ἐθελήϲει μὰ Δί', ἀλλ' ὄψει προφάϲειϲ αὐτὴν
παρέχουϲαν.

566 οἶν fere vett.: ὗν L    καθαγίζειν M9UB: καθαγιάζειν Γ: καταγίζειν cett.    567 Ἡρακλέει Bergk: -κλεῖ codd.    τι Brunck: τιϲ vett.: τιϲ βοῦν L    μελιτοῦνταϲ Meineke e sch. et Hsch.: μελιτούταϲ vel sim. codd.    571 ἄνθρωποι Dindorf: ἄ- codd.    573 πέτεται Γγρ: πέταται cett.    574 πέτεται Pierson: πέταται codd.    χρυϲαῖν] -οῖν VMA    575 Ἶριν] Ἔρην M, Bentley    γ' RV$^{ac}$M9Γ$^{2}$: χ' cett.    576–8 personarum vices admodum incertae    576 πέμπει anon. Parisinus, Tyrwhitt: πέμψει codd.    577 ἡμᾶϲ Bergk: ὑμᾶϲ codd.

Πε. *οἱ δ' αὖ κόρακες τῶν ζευγαρίων, οἷϲιν τὴν γῆν καταροῦϲιν,*
*καὶ τῶν προβάτων τοὺϲ ὀφθαλμοὺϲ ἐκκοψάντων ἐπὶ πείρᾳ·*
*εἶθ' Ἀπόλλων ἰατρόϲ ⟨γ'⟩ ὢν ἰάϲθω· μιϲθοφορεῖ δέ.*
Ευ. *μή, πρίν γ' ἂν ἐγὼ τὼ βοιδαρίω τὠμὼ πρώτιϲτ' ἀποδῶμαι.*
Πε. *ἢν δ' ἡγῶνται ϲὲ θεόν, ϲὲ Ζῆνα, ϲὲ Γῆν, ϲὲ Κρόνον, ϲὲ Ποϲειδῶ,*
*ἀγάθ' αὐτοῖϲιν πάντα παρέϲται.*
Χο. *λέγε δή μοι τῶν ἀγαθῶν ἕν.*
Πε. *πρῶτα μὲν αὐτῶν τὰϲ οἰνάνθαϲ οἱ πάρνοπεϲ οὐ κατέδονται,*
*ἀλλὰ γλαυκῶν λόχοϲ εἷϲ αὐτοὺϲ καὶ κερχνήδων ἐπιτρίψει.*
*εἶθ' οἱ κνῖπεϲ καὶ ψῆνεϲ ἀεὶ τὰϲ ϲυκᾶϲ οὐ κατέδονται,*
*ἀλλ' ἀναλέξει πάνταϲ καθαρῶϲ αὐτοὺϲ ἀγέλη μία κιχλῶν.*
Χο. *πλουτεῖν δὲ πόθεν δώϲομεν αὐτοῖϲ; καὶ γὰρ τούτου ϲφόδρ' ἐρῶϲιν.*
Πε. *τὰ μέταλλ' αὐτοῖϲ μαντευομένοιϲ οὗτοι δώϲουϲι τὰ χρηϲτά,*
*τάϲ τ' ἐμπορίαϲ τὰϲ κερδαλέαϲ πρὸϲ τὸν μάντιν κατεροῦϲιν,*
*ὥϲτ' ἀπολεῖται τῶν ναυκλήρων οὐδείϲ.*
Χο. *πῶϲ οὐκ ἀπολεῖται;*
Πε. *προερεῖ τιϲ ἀεὶ τῶν ὀρνίθων μαντευομένῳ περὶ τοῦ πλοῦ·*

582 *οἷϲιν* L: *οἷϲι* vett. 584 *ὅ γ' Ἀπόλλων*] *ὁ Ἀπόλλων* M9[ac]: *Ἀπόλλων* Elmsley suppl. Faber 586 *ϲὲ Ζῆνα, ϲὲ Γῆν* Sommerstein, duce Dunbar; *ϲὲ βίον, ϲὲ δὲ Γῆν* fere codd. (*δὲ* om. M9[ac]*Γ*U, ante *Κρόνον* praebent VM9[pc]M) 587 *αὐτοῖϲιν* L: *-ϲι* vett. 593 *μέταλλ' αὐτοῖϲ* M9, v.l. in sch. $Γ^2$, L: *μέταλλα τοῖϲ* cett. *δώϲουϲι*] *δείξουϲι* Bergk, cf. 599

"νυνὶ μὴ πλεῖ, χειμὼν ἔсται." "νυνὶ πλεῖ, κέρδος ἐπέсται."

*Ευ.* γαῦλον κτῶμαι καὶ ναυκληρῶ, κοὐκ ἂν μείναιμι παρ' ὑμῖν.

*Πε.* τοὺс θηсαυρούс τ' αὐτοῖс δείξουс' οὓс οἱ πρότερον κατέθεντο
τῶν ἀργυρίων· οὗτοι γὰρ ἴсαсι· λέγουсι δέ τοι τάδε πάντεс,
"οὐδεὶс οἶδεν τὸν θηсαυρὸν τὸν ἐμὸν πλὴν εἴ τιс ἄρ' ὄρνιс."

*Ευ.* πωλῶ γαῦλον, κτῶμαι сμινύην, καὶ τὰс ὑδρίαс ἀνορύττω.

*Χο.* πῶс δ' ὑγίειαν δώсουс' αὐτοῖс, οὖсαν παρὰ τοῖсι θεοῖсιν;

*Πε.* ἢν εὖ πράττωс', οὐχ ὑγιεία μεγάλη τοῦτ' ἐсτί; сάφ' ἴсθι,
ὡс ἄνθρωπόс γε κακῶс πράττων ἀτεχνῶс οὐδεὶс ὑγιαίνει.

*Χο.* πῶс δ' εἰс γῆράс ποτ' ἀφίξονται; καὶ γὰρ τοῦτ' ἔсτ' ἐν Ὀλύμπῳ·
ἢ παιδάρι' ὄντ' ἀποθνῄсκειν δεῖ;

*Πε.* μὰ Δί', ἀλλὰ τριακόсι' αὐτοῖс
ἔτι προсθήсουс' ὄρνιθεс ἔτη.

*Χο.* παρὰ τοῦ;

*Πε.* παρὰ τοῦ; παρ' ἑαυτῶν.
οὐκ οἶсθ' ὅτι πέντ' ἀνδρῶν γενεὰс ζώει λακέρυζα κορώνη;

599 πρότερον RV[ac]ΓUB: πρότεροι cett. 600 δέ] γε Elmsley 601 οἶδεν RB: οἶδε cett. 602 γαῦλον] τὴν ναῦν Lenting 603 δώсουс'] δώсομεν Bentley 604 οὐχ ὑγίει' ἢν εὖ πράττωсιν transp. Richards ὑγιεία μεγάλη] -αс -ηс Meineke 604–5 сάφ' ἴсθι . . . ὑγιαίνει Euelpidi tribuunt quidam 607 παιδάρι' RV: παιδάριον cett. ὄντ' ΓU: ἔτ' ὄντ' RV: τ' EL: ὂν B 608 ὄρνιθεс] οὔρνιθεс Blaydes alterum παρὰ τοῦ] παρ' ὅτου Bekker, fortasse recte 609 ὅτι πέντ'] ὁπόсαс Robertson ἀνδρῶν γενεὰс Bentley: γενεὰс ἀνδρῶν codd.

Ευ. αἰβοῖ, πολλῷ κρείττουϲ οὗτοι τοῦ Διὸϲ ἡμῖν
βαϲιλεύειν.
Πε. οὐ γὰρ πολλῷ;
πρῶτον μέν ⟨γ'⟩ οὐχὶ νεὼϲ ἡμᾶϲ
οἰκοδομεῖν δεῖ λιθίνουϲ αὐτοῖϲ,
οὐδὲ θυρῶϲαι χρυϲαῖϲι θύραιϲ,
ἀλλ' ὑπὸ θάμνοιϲ καὶ πρινιδίοιϲ
οἰκήϲουϲιν. τοῖϲ δ' αὖ ϲεμνοῖϲ
τῶν ὀρνίθων δένδρον ἐλάαϲ
ὁ νεὼϲ ἔϲται. κοὐκ εἰϲ Δελφοὺϲ
οὐδ' εἰϲ Ἄμμων' ἐλθόντεϲ ἐκεῖ
θύϲομεν, ἀλλ' ἐν ταῖϲιν κομάροιϲ
καὶ τοῖϲ κοτίνοιϲ ϲτάντεϲ, ἔχοντεϲ
κριθὰϲ πυρούϲ ⟨τ'⟩ εὐξόμεθ' αὐτοῖϲ
ἀνατείνοντεϲ τὼ χεῖρ' ἀγαθῶν
διδόναι τὸ μέροϲ· καὶ ταῦθ' ἡμῖν
παραχρῆμ' ἔϲται
πυροὺϲ ὀλίγουϲ προβαλοῦϲιν.
Χο. ὦ φίλτατ' ἐμοὶ πολὺ πρεϲβυτῶν ἐξ ἐχθίϲτου
μεταπίπτων,
οὐκ ἔϲτιν ὅπωϲ ἂν ἐγώ ποθ' ἑκὼν τῆϲ ϲῆϲ γνώμηϲ ἔτ'
ἀφείμην.
ἐπαυχήϲαϲ δὲ τοῖϲι ϲοῖϲ λόγοιϲ
ἐπηπείληϲα καὶ κατώμοϲα,
ἐὰν ϲὺ παρ' ἐμὲ θέμενοϲ ὁμόφροναϲ λόγουϲ
δίκαιοϲ ἄδολοϲ ὅϲιοϲ ἐπὶ θεοὺϲ ἴῃϲ,
ἐμοὶ φρονῶν ξυνῳδά, μὴ πολὺν χρόνον
θεοὺϲ ἔτι ϲκῆπτρα τἀμὰ τρίψειν.

610 πολλῷ Beck: ὡϲ πολλῷ codd.: ὡϲ πολλῷ δὴ Bentley, αἰβοῖ extra metrum posito 612 suppl. Bentley 616 οἰκήϲουϲιν RVUL: -ϲι cett. 617 ἐλάαϲ Brunck: ἐλαίαϲ codd. 619 εἰϲ] ὡϲ Meineke 620 ταῖϲιν RV: -ϲι cett. 622 suppl. Blaydes 624 τὸ Meineke: τι codd. 629 τοῖϲι L: τοῖϲ vett.; de numeris vide Parker, *Songs*, 314–17 631 ἐὰν Meineke: ἢν codd. 632 δίκαιοϲ . . . ὅϲιοϲ Bergk: δικαίουϲ ἀδόλουϲ ὁϲίουϲ codd.: -ωϲ -ωϲ -ωϲ Blaydes ἴῃϲ Porson, Brunck: ἴοιϲ codd.

ἀλλ' ὅcα μὲν δεῖ ῥώμῃ πράττειν, ἐπὶ ταῦτα τεταξόμεθ' ἡμεῖc·
ὅcα δὲ γνώμῃ δεῖ βουλεύειν, ἐπὶ cοὶ τάδε πάντ' ἀνάκειται.
Πε. καὶ μὴν μὰ τὸν Δί' οὐχὶ νυcτάζειν ⟨γ'⟩ ἔτι
ὥρα 'cτὶν ἡμῖν οὐδὲ μελλονικιᾶν,
ἀλλ' ὡc τάχιcτα δεῖ τι δρᾶν.
Επ. πρῶτον δέ γε
εἰcέλθετ' εἰc νεοττιάν τε τὴν ἐμὴν
καὶ τἀμὰ κάρφη καὶ τὰ παρόντα φρύγανα,
καὶ τοὔνομ' ἡμῖν φράcατον.
Πε. ἀλλὰ ῥᾳδιον.
ἐμοὶ μὲν ὄνομα Πειcέταιροc, τῳδεδὶ
Εὐελπίδηc Κριῶθεν.
Επ. ἀλλὰ χαίρετον
ἄμφω.
Πε. δεχόμεθα.
Επ. δεῦρο τοίνυν εἴcιτον.
Πε. ἴωμεν· εἰcηγοῦ cὺ λαβὼν ἡμᾶc.
Επ. ἴθι.
Πε. ἀτάρ, τὸ δεῖνα, δεῦρ' ἐπανάκρουcαι πάλιν.
φέρ' ἴδω, φράcον νῷν, πῶc ἐγώ τε χοὐτοcὶ
cυνεcόμεθ' ὑμῖν πετομένοιc οὐ πετομένω;
Επ. καλῶc.
Πε. ὅρα νυν, ὡc ἐν Αἰcώπου λόγοιc
ἐcτὶν λεγόμενον δή τι, τὴν ἀλώπεχ', ὡc
φλαύρωc ἐκοινώνηcεν αἰετῷ ποτέ.
Επ. μηδὲν φοβηθῇc· ἔcτι γάρ τι ῥιζίον,

637 ἐπὶ] ἐνὶ Hamaker τάδε] δὴ Blaydes 638–40a Upupae tribuere possis 638 ⟨γ'⟩ ἔτι Porson: ἔτι codd.: γέ πω Plut. *Nic.* 8 640 δέ γε Dobree: δέ τε codd.: δέ τοι Dindorf: δ' ἴτε Reisig 641 τε Reiske: γε codd. 644 et infra Πειcέταιροc Dobree: Πειcθ- fere codd. τῳδεδὶ Dindorf: τῷ δὶ δὲ τί RV$^{ac}$Vγρ: τῷδε δὲ τί V$^{pc}$EMAΓU: τῷ δὲ τί L 645 Κριῶθεν RVE: Θριῆθεν vel sim. MAUL: Θρίωθεν ΓB$^{2}$ 649 ἐγώ τε] ἔγωγε A, Su. π 2185 650 cυνεcόμεθ' UL, Su.: -εcθ' cett. 652 ἐcτὶν RV$^{ac}$EL, Su.: ἐcτὶ cett. δή] που Blaydes

ὃ διατραγόντ' ἔcεcθον ἐπτερωμένω.
Πε. οὕτω μὲν εἰcίωμεν. ἄγε δή, Ξανθία
καὶ Μανόδωρε, λαμβάνετε τὰ cτρώματα.
Χο. οὗτοc, cὲ καλῶ, cὲ λέγω.
Επ. τί καλεῖc;
Χο. τούτουc μὲν ἄγων μετὰ cαυτοῦ
ἀρίcτιcον εὖ· τὴν δ' ἡδυμελῆ ξύμφωνον ἀηδόνα
Μούcαιc
κατάλειφ' ἡμῖν δεῦρ' ἐκβιβάcαc, ἵνα παίcωμεν μετ'
ἐκείνηc.
Πε. ὦ τοῦτο μέντοι νὴ Δί' αὐτοῖcιν πιθοῦ·
ἐκβίβαcον ἐκ τοῦ βουτόμου τοὐρνίθιον.
Ευ. ἐκβίβαcον αὐτοῦ πρὸc θεῶν αὐτήν, ἵνα
καὶ νὼ θεαcώμεcθα τὴν ἀηδόνα.
Επ. ἀλλ' εἰ δοκεῖ cφῷν, ταῦτα χρὴ δρᾶν. ἡ Πρόκνη,
ἔκβαινε καὶ cαυτὴν ἐπιδείκνυ τοῖc ξένοιc.
Πε. ὦ Ζεῦ πολυτίμηθ', ὡc καλὸν τοὐρνίθιον,
ὡc δ' ἁπαλόν, ὡc δὲ λευκόν.
Ευ. ἆρά γ' οἶcθ' ὅτι
ἐγὼ διαμηρίζοιμ' ἂν αὐτὴν ἡδέωc;
Πε. ὅcον δ' ἔχει τὸν χρυcόν, ὥcπερ παρθένοc.
Ευ. ἐγὼ μὲν αὐτὴν κἂν φιλῆcαί μοι δοκῶ.
Πε. ἀλλ', ὦ κακόδαιμον, ῥύγχοc ὀβελίcκοιν ἔχει.
Ευ. ἀλλ' ὥcπερ ᾠὸν νὴ Δί' ἀπολέψαντα χρὴ
ἀπὸ τῆc κεφαλῆc τὸ λέμμα κᾆθ' οὕτω φιλεῖν.
Επ. ἴωμεν.
Πε. ἡγοῦ δὴ cὺ νῷν τύχἀγαθῇ.

657 λαμβάνετε] -ετον B 659 Μούcαιc anon. Parisinus: Μούcηc codd.: Μούcῃc Dawes 661 αὐτοῖcιν RVA$^{pc}$L: -cι cett. 663 αὐτοῦ multis suspectum: ὦ τᾶν vel ὧδε Blaydes: *huc* Divus: malim αὐτίκα αὐτοῦ ... αὐτήν] αὐτὴν δῆτα πρὸc θεῶν Meineke (δεῦρο pro δῆτα malebat Blaydes) 669 αὐτὴν REΓUL: -ῆc cett. 671 κἂν Seager: καὶ codd. 672 ὀβελίcκοιν] -ίcκον AUL: -ίcκων Γ$^{2}$B 675 δὴ] δὲ RA: δεῖ V: om. E

*Χο.* ὦ φίλη, ὦ ξουθή,
ὦ φίλτατον ὀρνέων,
πάντων ξύννομε τῶν ἐμῶν
ὕμνων, ξύντροφ' ἀηδοῖ,
ἦλθες, ἦλθες, ὤφθης,
ἡδὺν φθόγγον ἐμοὶ φέρουϲ'·
ἀλλ', ὦ καλλιβόαν κρέκουϲ'
αὐλὸν φθέγμαϲιν ἠρινοῖϲ,
ἄρχου τῶν ἀναπαίϲτων.

ἄγε δή, φύϲιν ἄνδρεϲ ἀμαυρόβιοι, φύλλων γενεᾷ προϲόμοιοι,
ὀλιγοδρανέεϲ, πλάϲματα πηλοῦ, ϲκιοειδέα φῦλ' ἀμενηνά,
ἀπτῆνεϲ ἐφημέριοι, ταλαοὶ βροτοί, ἀνέρεϲ εἰκελόνειροι,
προϲέχετε τὸν νοῦν τοῖϲ ἀθανάτοιϲ ἡμῖν, τοῖϲ αἰὲν ἐοῦϲιν,
τοῖϲ αἰθερίοιϲ, τοῖϲιν ἀγήρῳϲ, τοῖϲ ἄφθιτα μηδομένοιϲιν,
ἵν' ἀκούϲαντεϲ πάντα παρ' ἡμῶν ὀρθῶϲ περὶ τῶν μετεώρων,
φύϲιν οἰωνῶν γένεϲίν τε θεῶν ποταμῶν τ' Ἐρέβουϲ τε Χάουϲ τε
εἰδότεϲ ὀρθῶϲ, Προδίκῳ παρ' ἐμοῦ κλάειν εἴπητε τὸ λοιπόν.
Χάοϲ ἦν καὶ Νὺξ Ἔρεβόϲ τε μέλαν πρῶτον καὶ Τάρταροϲ εὐρύϲ,

677–8 incertum utrum post *ὀρνέων* an post *πάντων* interpungendum sit 681 *ἡδὺν*] *ἁδὺν* *Γ*UB² 686 *ἀμενηνά*] *-νοί* Clem. Al., *Strom.* 4.45.2 687 hunc v. varie interpungunt edd. *ταλαοί*] *τ' ἀλαοί* v.l. ap. sch. *εἰκελόνειροι* AL: *ἰκελ-* cett. 688 *προϲέχετε*] *πρόϲϲχετε* Bentley, Daubuz 689 alterum *τοῖϲ* B, Daubuz, Bentley: *τοῖϲιν* cett. 692 *Προδίκῳ* post *παρ' ἐμοῦ* praebent R, Su. π 2366, sch. *Nub.* 361

γῆ δ' οὐδ' ἀὴρ οὐδ' οὐρανὸς ἦν· Ἐρέβους δ' ἐν ἀπείροσι κόλποις
τίκτει πρώτιστον ὑπηνέμιον Νὺξ ἡ μελανόπτερος ᾠόν,
ἐξ οὗ περιτελλομέναις ὥραις ἔβλαστεν Ἔρως ὁ ποθεινός,
στίλβων νῶτον πτερύγοιν χρυσαῖν, εἰκὼς ἀνεμώκεσι δίναις.
οὗτος δὲ Χάει πτερόεντι μιγεὶς μύχιος κατὰ Τάρταρον εὐρὺν
ἐνεόττευσεν γένος ἡμέτερον, καὶ πρῶτον ἀνήγαγεν εἰς φῶς.
πρότερον δ' οὐκ ἦν γένος ἀθανάτων, πρὶν Ἔρως ξυνέμειξεν ἅπαντα·
ξυμμειγνυμένων δ' ἑτέρων ἑτέροις γένετ' Οὐρανὸς Ὠκεανός τε
καὶ Γῆ πάντων τε θεῶν μακάρων γένος ἄφθιτον. ὧδε μέν ἐσμεν
πολὺ πρεσβύτατοι πάντων μακάρων ἡμεῖς. ὡς δ' ἐσμὲν Ἔρωτος
πολλοῖς δῆλον· πετόμεσθά τε γὰρ καὶ τοῖσιν ἐρῶσι σύνεσμεν·
πολλοὺς δὲ καλοὺς ἀπομωμοκότας παῖδας πρὸς τέρμασιν ὥρας
διὰ τὴν ἰσχὺν τὴν ἡμετέραν διεμήρισαν ἄνδρες ἐρασταί,
ὁ μὲν ὄρτυγα δούς, ὁ δὲ πορφυρίων', ὁ δὲ χῆν', ὁ δὲ Περσικὸν ὄρνιν.
πάντα δὲ θνητοῖς ἐστιν ἀφ' ἡμῶν τῶν ὀρνίθων τὰ μέγιστα.

698 μύχιος West: μυχίῳ Su. χ 84 codd. SC: νυχίῳ fere codd., Su. cett. codd.: νύχιος Halbertsma, van Herwerden 699 ἐνεόττευσεν RVB: -σε cett. 701 δ' om. RM, Su. γένετ' L: ἐγένετ' fere cett. 703 ἡμεῖς. ὡς δ' Dobree: ἡμεῖς δ' ὡς codd. 704 τε γὰρ Daubuz: γὰρ codd.: γ' ἀεὶ Bentley, cf. Su. α 643

*πρῶτα μὲν ὥρας φαίνομεν ἡμεῖς ἦρος, χειμῶνος, ὀπώρας·*
*ϲπείρειν μέν, ὅταν γέρανος κρώζουϲ' εἰς τὴν Λιβύην μεταχωρῇ—*
*καὶ πηδάλιον τότε ναυκλήρῳ φράζει κρεμάϲαντι καθεύδειν—*
*εἶτα δ' Ὀρέϲτῃ χλαῖναν ὑφαίνειν, ἵνα μὴ ῥιγῶν ἀποδύῃ.*
*ἰκτῖνος ⟨δ'⟩ αὖ μετὰ ταῦτα φανεὶς ἑτέραν ὥραν ἀποφαίνει,*
*ἡνίκα πεκτεῖν ὥρα προβάτων πόκον ἠρινόν· εἶτα χελιδών,*
*ὅτε χρὴ χλαῖναν πωλεῖν ἤδη καὶ ληδάριόν τι πρίαϲθαι.*
*ἐϲμὲν δ' ὑμῖν Ἄμμων, Δελφοί, Δωδώνη, Φοῖβος Ἀπόλλων.*
*ἐλθόντες γὰρ πρῶτον ἐπ' ὄρνις οὕτω πρὸς ἅπαντα τρέπεϲθε,*
*πρός τ' ἐμπορίαν, καὶ πρὸς βιότου κτῆϲιν, καὶ πρὸς γάμον ἀνδρός.*
*ὄρνιν τε νομίζετε πάνθ' ὅϲαπερ περὶ μαντείας διακρίνει·*
*φήμη γ' ὑμῖν ὄρνις ἐϲτί, πταρμόν τ' ὄρνιθα καλεῖτε,*
*ξύμβολον ὄρνιν, φωνὴν ὄρνιν, θεράποντ' ὄρνιν, ὄνον ὄρνιν.*
*ἆρ' οὐ φανερῶς ἡμεῖς ὑμῖν ἐϲμεν μαντεῖος Ἀπόλλων;*
*ἢν οὖν ἡμᾶς νομίϲητε θεούς,*
*ἕξετε χρῆϲθαι μάντεϲι Μούϲαις*
*πάϲαις ὥραις, χειμῶνι, θέρει*

710 *γέρανος*] *γέρανοι* E[ac]MAL *μεταχωρῇ*] -*ρεῖ* V[ac]: -*ρεῖν* AL 711 *φράζει* om. A: *φράζῃ* Bothe: *φράζειν* Cratander (1532) 713 suppl. Kuster 714 *πεκτεῖν* Bentley: *πέκτειν* VA, Su. *π* 920: *πέκειν* cett.: *πείκειν* Bergk: *κείρειν* Blaydes 717 *ἅπαντα*] *πάντα* Γ[pc]U: *ἔργα* Su. *α* 1638 (sed cf. sch.): *τἄργα* Porson 718 *γάμον*] *γόνον* Higham 719 *τε νομίζετε*] *τ' ὀνομάζετε* Bachmann 725 *πάϲαις* Blaydes: *αὔραις* codd.

μετρίῳ, πνίγει· κοὐκ ἀποδράντες
καθεδούμεθ' ἄνω ϲεμνυνόμενοι
παρὰ ταῖϲ νεφέλαιϲ ὥϲπερ χὠ Ζεύϲ·
ἀλλὰ παρόντεϲ δώϲομεν ὑμῖν
αὐτοῖϲ, παιϲίν, παίδων παιϲίν,
πλουθυγίειαν, βίον, εἰρήνην,
νεότητα, γέλωτα, χορούϲ, θαλίαϲ,
γάλα τ' ὀρνίθων. ὥϲτε παρέϲται
κοπιᾶν ὑμῖν ὑπὸ τῶν ἀγαθῶν·
οὕτω πλουτήϲετε πάντεϲ.

Μοῦϲα λοχμαία, [ϲτρ.
τιοτιοτιοτιοτίγξ,
ποικίλη, μεθ' ἧϲ ἐγὼ νά-
παιϲί ⟨τε καὶ⟩ κορυφαῖϲ ἐν ὀρείαιϲ,
τιοτιοτιοτιοτίγξ,
ἱζόμενοϲ μελίαϲ ἔπι φυλλοκόμου,
τιοτιοτιοτιοτίγξ,
δι' ἐμῆϲ γέννοϲ ξουθῆϲ μελέων
Πανὶ νόμουϲ ἱεροὺϲ ἀναφαίνω
ϲεμνά τε Μητρὶ χορεύματ' ὀρείᾳ,
τοτοτοτοτοτοτοτοτοτοτίγξ,
ἔνθεν ὡϲπερεὶ μέλιττα
Φρύνιχοϲ ἀμβροϲίων μελέων ἀπεβόϲκετο καρπὸν ἀεὶ
φέρων γλυκεῖαν ᾠδάν,
τιοτιοτιοτίγξ.

728 χὠ] γ' ὁ Lenting 732 post πλουθυγίειαν add. εὐδαιμονίαν codd.: del. Hamaker, cf. sch. 738 τιο quater VEMAUL: quinquies ΓΒ: septies R -τίγξ del. Dunbar 740 suppl. Hermann κορυφαῖϲ Hermann: -αῖϲ τ' vel -αῖϲί τ' codd., Su. 741 τιο ter usque sexies habent codd. (quater RVEML); cf. 773. 742 ἱζόμενοϲ] ἑζ- Su. μ 500 codd. GM 743 -τίγξ MAB: -τιτίγξ Γ: om. cett.: del. Dunbar; cf. 775 745 ἀναφαίνω] ἀναφωνῶ F. W. Schmidt 747 το novies vett. praeter A (undecies): decies L 748 ὡϲπερεὶ Reiske: ὥϲπερ ἢ codd. 750 φέρων] φαίνων van Herwerden

εἰ μετ' ὀρνίθων τιϲ ὑμῶν, ὦ θεαταί, βούλεται
διαπλέκειν ζῶν ἡδέωϲ τὸ λοιπόν, ὡϲ ἡμᾶϲ ἴτω.
ὅϲα γὰρ ἐνθάδ' ἐϲτὶν αἰϲχρὰ καὶ νόμῳ κρατούμενα,
ταῦτα πάντ' ἐϲτὶν παρ' ἡμῖν τοῖϲιν ὄρνιϲιν καλά.
εἰ γὰρ ἐνθάδ' ἐϲτὶν αἰϲχρὸν τὸν πατέρα τύπτειν νόμῳ,
τοῦτ' ἐκεῖ καλὸν παρ' ἡμῖν ἐϲτιν, ἤν τιϲ τῷ πατρὶ
προϲδραμὼν εἴπῃ πατάξαϲ "αἶρε πλῆκτρον, εἰ μαχεῖ."
εἰ δὲ τυγχάνει τιϲ ὑμῶν δραπέτηϲ ἐϲτιγμένοϲ,
ἀτταγᾶϲ οὗτοϲ παρ' ἡμῖν ποικίλοϲ κεκλήϲεται.
εἰ δὲ τυγχάνει τιϲ ὢν Φρὺξ μηδὲν ἧττον Ϲπινθάρου,
φρυγίλοϲ ὄρνιϲ οὗτοϲ ἔϲται, τοῦ Φιλήμονοϲ γένουϲ.
εἰ δὲ δοῦλόϲ ἐϲτι καὶ Κὰρ ὥϲπερ Ἐξηκεϲτίδηϲ,
φυϲάτω πάππουϲ παρ' ἡμῖν, καὶ φανοῦνται
        φράτερεϲ.
εἰ δ' ὁ Πειϲίου προδοῦναι τοῖϲ ἀτίμοιϲ τὰϲ πύλαϲ
βούλεται, πέρδιξ γενέϲθω, τοῦ πατρὸϲ νεόττιον·
ὡϲ παρ' ἡμῖν οὐδὲν αἰϲχρόν ἐϲτιν ἐκπερδικίϲαι.

τοιάδε κύκνοι, [ἀντ.
τιοτιοτιοτιοτίγξ,
ϲυμμιγῆ βοὴν ὁμοῦ πτε-
ροῖϲι κρέκοντεϲ ἴαχον Ἀπόλλω,
τιοτιοτιοτίγξ,
ὄχθῳ ἐφεζόμενοι παρ' Ἕβρον ποταμόν,

753 μετ' ὀρνίθων] del. Richards, addito in fine v. τὰϲ ἡμέραϲ: γε τὸν βίον van Herwerden 755 ἐνθάδ' post ἐϲτὶν praebent MAL, Su. ε 2546 καὶ Blaydes: τῷ codd. κρατούμενα] κρατουμένοιϲ van Leeuwen: κἀϲχήμονα Blaydes, τῷ retento: an πατούμενα? 756 ἐϲτὶν L, Su.: ἐϲτὶ cett. ὄρνιϲιν RVL: ὄρνιϲι cett. 757 νόμῳ] νέῳ Kock 759 μαχεῖ Reisig: μάχει codd. 763 οὗτοϲ Dobree: ἐνθάδ' codd. 764 καὶ] ἢ Blaydes 765 φράτερεϲ Dindorf: φράτοραϲ codd., Su. φ 869 766 Πειϲίου Daubuz: Πιϲίου codd. 768 ἐκπερδικίϲαι] ἐκπερδικκίϲαι Palmerius 769 τοιάδε] τοιάνδε ΓUL 770 -τίγξ L: om. vett.: del. Dunbar 771 βοὴν ὁμοῦ] βοῇ νόμον Robert 772 πτεροῖϲι RLH: -οῖϲ fere cett.: -οῖϲιν CP ἴαχον] ἴακχον VAM 773 τιο quater AL: ter MΓB: bis RVEU -τίγξ] -τιτίγξ VEM: -τιτίξ R

τιοτιοτιοτιοτίγξ,
διὰ δ' αἰθέριον νέφοϲ ἦλθε βοά·
πτῆξε δὲ ποικίλα φῦλα τὰ θηρῶν,
κύματά τ' ἔϲβεϲε νήνεμοϲ αἴθρη,
τοτοτοτοτοτοτοτοτοτίγξ·
πᾶϲ δ' ἐπεκτύπηϲ' Ὄλυμποϲ·
εἷλε δὲ θάμβοϲ ἄνακταϲ· Ὀλυμπιάδεϲ δὲ μέλοϲ Χάριτεϲ
Μοῦϲαί τ' ἐπωλόλυξαν,
τιοτιοτιοτίγξ.

οὐδέν ἐϲτ' ἄμεινον οὐδ' ἥδιον ἢ φῦϲαι πτερά.
αὐτίχ' ὑμῶν τῶν θεατῶν εἴ τιϲ ἦν ὑπόπτεροϲ,
εἶτα πεινῶν τοῖϲ χοροῖϲι τῶν τραγῳδῶν ἤχθετο,
ἐκπτόμενοϲ ἂν οὗτοϲ ἠρίϲτηϲεν ἐλθὼν οἴκαδε,
κᾆτ' ἂν ἐμπληϲθεὶϲ ἐφ' ὑμᾶϲ αὖθιϲ αὖ κατέπτατο.
εἴ τε Πατροκλείδηϲ τιϲ ὑμῶν τυγχάνει χεζητιῶν,
οὐκ ἂν ἐξίδιϲεν εἰϲ θοἰμάτιον, ἀλλ' ἀνέπτατο,
κἀποπαρδὼν κἀναπνεύϲαϲ αὖθιϲ αὖ καθέζετο.
εἴ τε μοιχεύων τιϲ ὑμῶν ἐϲτιν ὅϲτιϲ τυγχάνει,
κᾆθ' ὁρᾷ τὸν ἄνδρα τῆϲ γυναικὸϲ ἐν βουλευτικῷ,
οὗτοϲ ἂν πάλιν παρ' ὑμῶν πτερυγίϲαϲ ἀνέπτατο,
εἶτα βινήϲαϲ ἐκεῖθεν αὖθιϲ αὖ κατέπτατο.
ἆρ' ὑπόπτερον γενέϲθαι παντόϲ ἐϲτιν ἄξιον;
ὡϲ Διειτρέφηϲ γε πυτιναῖα μόνον ἔχων πτερὰ

775 *τιο* quater fere vett., L: quinquies A: ter UH 777 *τὰ* Bentley: *τε* codd. *φῦλα* ante *τε* traiecit Hermann 778 *αἴθρῃ*] *αἰθήρ* U, v.l. ap. sch. Γ 779 *το* novies Dindorf: decies L: quinquies vel septies cett. 784 *τιο* ter EUL: quater cett. 787 *τραγῳδῶν*] *τρυγῳδῶν* anon. ap. Scaliger (1624) 788 *ἐκπτόμενοϲ* Brunck: *ἐκπετόμενοϲ* codd., Su. χ 414, quo recepto *οὗτοϲ ἠρίϲτηϲ' ἂν* Bentley *οὗτοϲ*] *εὐθὺϲ* Blaydes 789 *ὑμᾶϲ* Blaydes: *ἡμᾶϲ* codd. 792 *αὖθιϲ* Γ$^{pc}$L, Su. χ 182: *αὖτιϲ* cett. *καθέζετο* van Leeuwen, cf. 796: *κατέπτατο* codd. 795 *ἀνέπτατο* B: *ἀνίπτατο* cett. 796 *αὖ* AL, Su. β 288: *ἂν* cett. *κατέπτατο* Su.: *καθέζετο* codd. 798 *Διειτρέφηϲ* Elmsley: *Διι-* codd.

ᾑρέθη φύλαρχος, εἶθ' ἵππαρχος, ὥϲτ' ἐξ οὐδενὸϲ
μεγάλα πράττει κἀϲτὶ νυνὶ ξουθὸϲ ἱππαλεκτρυών.

Πε. ταυτὶ τοιαυτί· μὰ Δί' ἐγὼ μὲν πρᾶγμά πω
γελοιότερον οὐκ εἶδον οὐδεπώποτε.
Ευ. ἐπὶ τῷ γελᾷϲ;
Πε. ἐπὶ τοῖϲι ϲοῖϲ ὠκυπτέροιϲ.
οἶϲθ' ᾧ μάλιϲτ' ἔοικαϲ ἐπτερωμένοϲ;
εἰϲ εὐτέλειαν χηνὶ ϲυγγεγραμμένῳ.
Ευ. ϲὺ δὲ κοψίχῳ γε ϲκάφιον ἀποτετιλμένῳ.
Πε. ταυτὶ μὲν ᾑκάϲμεϲθα κατὰ τὸν Αἰϲχύλον·
τάδ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖϲ αὑτῶν πτεροῖϲ.
Χο. ἄγε δή, τί χρὴ δρᾶν;
Πε. πρῶτον ὄνομα τῇ πόλει
θέϲθαι τι μέγα καὶ κλεινόν, εἶτα τοῖϲ θεοῖϲ
θῦϲαι μετὰ τοῦτο.
Χο. ταῦτα κἀμοὶ ϲυνδοκεῖ.
Ευ. φέρ' ἴδω, τί δ' ἡμῖν ὄνομ' ⟨ἄρ'⟩ ἔϲται τῇ πόλει;
βούλεϲθε τὸ μέγα τοῦτο τοὐκ Λακεδαίμονοϲ
Ϲπάρτην ὄνομα καλῶμεν αὐτήν;
Πε. Ἡράκλειϲ·
ϲπάρτην γὰρ ἂν θείμην ἐγὼ τὴμῇ πόλει;
οὐδ' ἂν χαμεύνῃ.
Ευ. πάνυ γε, κειρίαν γ' ἔχων.
Πε. τί δῆτ' ὄνομ' αὐτῇ θηϲόμεϲθ';
Χο. ἐντευθενὶ
ἐκ τῶν νεφελῶν καὶ τῶν μετεώρων χωρίων
χαῦνόν τι πάνυ.
Πε. βούλει Νεφελοκοκκυγίαν;

799 ὥϲτ' VEΓMU: εἶτ' RAL, Su. δ 1054 801–36 de personarum vicibus parum constat 805 ϲυγγεγραμμένῳ] ϲύ γε γεγραμμένῳ Meineke 807 ᾑκάϲμεϲθα L, Su. τ 183: ᾑκάϲμεθα cett. 808 αὑτῶν EML, Su.: αὐ- cett. 812 ὄνομ'] οὔνομ' L: τοὔνομ' Bentley suppl. Fraenkel 816 πάνυ γε κτλ. Euelpidi tribuit Geissler γ' om. ΓUL, Pollux 10.37 817 θηϲόμεϲθ' ΑΓL: -μέθ' fere cett. 819 totum v. Pisetaero possis tribuere

*Χο.* ἰοὺ ἰού·
καλόν γ' ἀτεχνῶϲ ⟨ϲὺ⟩ καὶ μέγ' ηὗρεϲ τοὔνομα.
*Ευ.* ἆρ' ἐϲτὶν αὕτη γ' ἡ Νεφελοκοκκυγία,
ἵνα καὶ τὰ Θεογένουϲ τὰ πολλὰ χρήματα
τά τ' Αἰϲχίνου γ' ἅπαντα;
*Πε.* †καὶ λῷϲτον† μὲν οὖν
τὸ Φλέγραϲ πεδίον, ἵν' οἱ θεοὶ τοὺϲ γηγενεῖϲ
ἀλαζονευόμενοι καθυπερηκόντιϲαν.
*Χο.* λιπαρὸν τὸ χρῆμα τῆϲ πόλεωϲ. τίϲ δαὶ θεὸϲ
πολιοῦχοϲ ἔϲται; τῷ ξανοῦμεν τὸν πέπλον;
*Ευ.* τί δ' οὐκ Ἀθηναίαν ἐῶμεν Πολιάδα;
*Πε.* καὶ πῶϲ ἂν ἔτι γένοιτ' ἂν εὔτακτοϲ πόλιϲ,
ὅπου θεὸϲ γυνὴ γεγονυῖα πανοπλίαν
ἕϲτηκ' ἔχουϲα, Κλειϲθένηϲ δὲ κερκίδα;
*Χο.* τίϲ δαὶ καθέξει τῆϲ πόλεωϲ τὸ Πελαργικόν;
*Πε.* ὄρνιϲ ἀφ' ὑμῶν, τοῦ γένουϲ τοῦ Περϲικοῦ,
ὅϲπερ λέγεται δεινότατοϲ εἶναι πανταχοῦ
Ἄρεωϲ νεοττόϲ.
*Ευ.* ὦ νεοττὲ δέϲποτα·
ὡϲ δ' ὁ θεὸϲ ἐπιτήδειοϲ οἰκεῖν ἐπὶ πετρῶν.
*Πε.* ἄγε νυν ϲὺ μὲν βάδιζε πρὸϲ τὸν ἀέρα
καὶ τοῖϲι τειχίζουϲι παραδιακόνει,
χάλικαϲ παραφόρει, πηλὸν ἀποδὺϲ ὄργαϲον,
λεκάνην ἀνένεγκε, κατάπεϲ' ἀπὸ τῆϲ κλίμακοϲ,
φυλακὰϲ καταϲτῆϲαι, τὸ πῦρ ἔγκρυπτ' ἀεί,

820 suppl. Bentley 821 *αὕτη γ' ἡ* fere codd.: *αὐτηγὶ* Elmsley: *αὐτηὶ* Dobree 822 *Θεογένουϲ* Dindorf: *Θεα-* codd. 823 *γ' ἅπαντα*] *'ϲθ' ἅπαντα* Hermann: *τάλαντα* Haupt *λῷϲτον*] *λῷον* Bentley, cf. sch. *οὖν* vett.: *ἢ* As.l., L, quo recepto *τὸ* del. Bergk locus perdifficilis; lacunam post 823 statuit van Herwerden; fortasse *κατέλαβον* pro *καὶ λῷϲτον* scribendum 825 *ἀλαζονευόμενοι*] *-μένουϲ* p, Su. *φ* 528 832 *δαὶ* RA: *δὲ* cett. vett.: *δ' ἂν* L: *δὴ* Kock 833 *ὑμῶν* Kock: *ἡμῶν* codd. 836 *ὡϲ*] *πῶϲ* Fritzsche *δ'* del. Elmsley 839 *χάλικαϲ*] *χάλικα* vel *χάλικοϲ* Blaydes 840 *ἀνένεγκε* RVEML: *ἀνένεγκαι* fere cett. 841 *φυλακὰϲ* Blaydes, cf. 1161: *φύλακαϲ* codd.

κωδωνοφορῶν περίτρεχε καὶ κάθευδ' ἐκεῖ·
κήρυκα δὲ πέμψον τὸν μὲν εἰϲ θεοὺϲ ἄνω,
ἕτερον δ' ἄνωθεν αὖ παρ' ἀνθρώπουϲ κάτω,
κἀκεῖθεν αὖθιϲ παρ' ἐμέ.

Ευ. ϲὺ δέ γ' αὐτοῦ μένων
οἴμωζε παρ' ἔμ'.

Πε. ἴθ', ὦγάθ', οἷ πέμπω ϲ' ἐγώ.
οὐδὲν γὰρ ἄνευ ϲοῦ τῶνδ' ἃ λέγω πεπράξεται.
ἐγὼ δ' ἵνα θύϲω τοῖϲι καινοῖϲιν θεοῖϲ,
τὸν ἱερέα πέμψοντα τὴν πομπὴν καλῶ.
παῖ παῖ, τὸ κανοῦν αἴρεϲθε καὶ τὴν χέρνιβα.

Χο. ὁμορροθῶ, ϲυνθέλω, [ϲτρ.
ϲυμπαραινέϲαϲ ἔχω
προϲόδια μεγάλα ϲεμνὰ προϲιέναι θεοῖ-
ϲιν, ἅμα δὲ προϲέτι χάριτοϲ ἕνε-
κα προβάτιόν τι θύειν.
ἴτω ἴτω ἴτω δὲ Πυθιὰϲ βοά,
ϲυναυλείτω δὲ Χαῖριϲ ᾠδᾷ.

Πε. παῦϲαι ϲὺ φυϲῶν. Ἡράκλειϲ, τουτὶ τί ἦν
τὸ κακόν; μὰ Δί' ἐγὼ πολλὰ δὴ καὶ δείν' ἰδὼν
οὔπω κόρακ' εἶδον ἐμπεφορβειωμένον.
ἱερεῦ, ϲὸν ἔργον, θῦε τοῖϲ καινοῖϲ θεοῖϲ.

ΙΕΡΕΥϹ

δράϲω τάδ'. ἀλλὰ ποῦ 'ϲτιν ὁ τὸ κανοῦν ἔχων;
εὔχεϲθε Ἑϲτίᾳ ὀρνιθείῳ καὶ ἰκτίνῳ ἑϲτιούχῳ

843 *κήρυκα*] *κήρυκε* Bentley 845 *αὖθιϲ* AΓUL: *αὖτιϲ* cett. 848 *καινοῖϲιν* R[pc]EAΓL: *-οῖϲι* cett. 855 *προβάτιον* Bentley: *πρόβατον* 857 *βοά* Dindorf: *βοὰ τῷ θεῷ* codd. 858 *ϲυναυλείτω* Hermann: *ϲυνᾳδέτω* codd. *ᾠδᾷ* Hermann; *ᾠδάν* vett.: om. L 860 *τὸ κακόν;* Dobree: *τουτὶ* codd. 861 *εἶδον* EMA, Su. *φ* 587, lm. sch. *Γ*: *ἴδον* cett. *ἐμπεφορβειωμένον* P19, *Γ*[pc], Eustathius 539.18: *-φορβιωμένον* cett., Su. 862 *τοῖϲ* AL: *τοῖϲι(ν)* cett. *καινοῖϲ* P19, AL: *-οῖϲι(ν)* cett. 864 *Ἑϲτίᾳ . . . ἑϲτιούχῳ* Von der Mühll, cf. sch.: *τῇ Ἑ. τῇ ὀ. καὶ τῷ ἰ. τῷ ἑ.* codd.

καὶ ὄρνιϲιν Ὀλυμπίοιϲ καὶ Ὀλυμπίαϲι πᾶϲι καὶ πάϲῃϲι—
Πε. ὦ Ϲουνιέρακε, χαῖρ᾽ ἄναξ Πελαργικέ.
Ιε. καὶ κύκνῳ Πυθίῳ καὶ Δηλίῳ καὶ Λητοῖ Ὀρτυγομήτρᾳ καὶ
Ἀρτέμιδι Ἀκαλανθίδι—
Πε. οὐκέτι Κολαινίϲ, ἀλλ᾽ Ἀκαλανθὶϲ Ἄρτεμιϲ.
Ιε. καὶ φρυγίλῳ Ϲαβαζίῳ καὶ ϲτρουθῷ μεγάλῃ μητρὶ θεῶν
καὶ ἀνθρώπων—
Πε. δέϲποινα Κυβέλη ϲτρουθέ, μῆτερ Κλεοκρίτου.
Ιε. διδόναι Νεφελοκοκκυγιεῦϲιν ὑγίειαν καὶ ϲωτηρίαν αὐτοῖϲι καὶ Χίοιϲι—
Πε. Χίοιϲιν ἥϲθην πανταχοῦ προϲκειμένοιϲ.
Ιε. καὶ ἥρωϲιν ὄρνιϲι καὶ ἡρώων παιϲί, πορφυρίωνι καὶ
πελεκᾶντι καὶ πελεκίνῳ καὶ φλέξιδι καὶ τέτρακι καὶ
ταῶνι καὶ ἐλεᾷ καὶ βαϲκᾷ καὶ ἐλαϲᾷ καὶ ἐδωλίῳ καὶ
καταρράκτῃ καὶ μελαγκορύφῳ καὶ αἰγιθάλλῳ—
Πε. παῦ᾽· ἐϲ κόρακαϲ· παῦϲαι καλῶν. ἰοὺ ἰού,
ἐπὶ ποῖον, ὦ κακόδαιμον, ἱερεῖον καλεῖϲ
ἁλιαιέτουϲ καὶ γῦπαϲ; οὐχ ὁρᾷϲ ὅτι
ἰκτῖνοϲ εἷϲ ἂν τοῦτό γ᾽ οἴχοιθ᾽ ἁρπάϲαϲ;
ἄπελθ᾽ ἀφ᾽ ἡμῶν καὶ ϲὺ καὶ τὰ ϲτέμματα·
ἐγὼ γὰρ αὐτὸϲ τουτογὶ θύϲω μόνοϲ.

866 Ὀλυμπίαϲι . . . πάϲῃϲι Dunbar: -ίῃϲι . . . -ῃϲι fere codd. 867 ante πᾶϲι add. καὶ R[ac]A 868 Πελαργικέ] Πελάργιε dubitanter Sommerstein 879 αὐτοῖϲι] -ϲιν RVp Χίοιϲι MVv17: -ϲιν cett. 881 ἥρωϲιν Hermann: ἥρωϲι καὶ codd. ὄρνιϲι del. Dindorf 885 ἐλεᾷ RΓLB[pc]: ἐλεία B: ἐλαία VEMAU βαϲκᾷ] βαϲιλίϲκῳ sch. ad v. 168 886 ἐδωλίῳ sch., Photius s.v.: ἐρῳδιῷ codd. 888 αἰγιθάλλῳ] -θάλῳ MU, v.l. ap. sch. 893 ἄπελθ᾽] ἄπερρ᾽ van Herwerden 894 τουτογὶ] τουτονὶ ΓUB

Χο. εἶτ' αὖθιϲ αὖ τἄρα ϲοι [ἀντ.
δεῖ με δεύτερον μέλοϲ
χέρνιβι θεοϲεβὲϲ ὅϲιον ἐπιβοᾶν, καλεῖν
δὲ μάκαραϲ, ἕνα μὲν οὖν τιν', εἴ-
περ ἱκανὸν ἕξετ' ὄψον.
τὰ γὰρ παρόντα θύματ' οὐδὲν ἄλλο πλὴν
γένειόν ἐϲτι καὶ κέρατα.

Πε. θύοντεϲ εὐξώμεϲθα τοῖϲ πτερίνοιϲ θεοῖϲ.

ΠΟΙΗΤΗϹ

Νεφελοκοκκυγίαν
τὰν εὐδαίμονα κλῇϲον, ὦ
Μοῦϲα, τεαῖϲ ἐν ὕμνων
ἀοιδαῖϲ.
Πε. τουτὶ τὸ πρᾶγμα ποδαπόν; εἰπέ μοι, τίϲ εἶ;
Πο. ἐγὼ μελιγλώϲϲων ἐπέων ἱεὶϲ ἀοιδὰν
Μουϲάων θεράπων ὀτρη-
ρόϲ, κατὰ τὸν Ὅμηρον.
Πε. ἔπειτα δῆτα δοῦλοϲ ὢν κόμην ἔχειϲ;
Πο. οὔκ, ἀλλὰ πάντεϲ ἐϲμὲν οἱ διδάϲκαλοι
Μουϲάων θεράποντεϲ ὀτρη-
ροί, κατὰ τὸν Ὅμηρον.
Πε. οὐκ ἐτὸϲ ὀτρηρὸν καὶ τὸ ληδάριον ἔχειϲ.
ἀτάρ, ὦ ποιητά, κατὰ τί δεῦρ' ἀνεφθάρηϲ;
Πο. μέλη πεποίηκ' εἰϲ τὰϲ Νεφελοκοκκυγίαϲ
τὰϲ ὑμετέραϲ κύκλιά τε πολλὰ καὶ καλὰ
καὶ παρθένεια καὶ κατὰ τὰ Ϲιμωνίδου.
Πε. ταυτὶ ϲὺ πότ' ἐποίηϲαϲ; ἀπὸ ποίου χρόνου;
Πο. πάλαι πάλαι δὴ τήνδ' ἐγὼ κλῄζω πόλιν.

895 εἶτ'] ἔτ' Blaydes αὖ τἄρα Elmsley: αὖτ' ἄρα codd. 899 μάκαραϲ] μάκαρά ϲ' Blaydes ἕνα μὲν οὖν τιν' Wilson: ἕνα τινὰ μόνον codd. 903 εὐξώμεϲθα L: -μεθα cett. τοῖϲ L: τοῖϲι vett. 906 τεαῖϲ] τεαῖϲιν ΓUB ἀοιδαῖϲ RVU: ἀηδαῖϲ Γ: ᾠδαῖϲ cett. 916 ἀτάρ Γ$^{pc}$L: αὐτάρ cett. 919 παρθένεια anon. Parisinus: -εῖα codd., Su. π 661 920 ποίου] πόϲου Faber, Bentley

Πε. οὐκ ἄρτι θύω τὴν δεκάτην ταύτης ἐγώ,
καὶ τοὔνομ' ὥςπερ παιδίῳ νῦν δὴ 'θέμην;
Πο. ἀλλά τις ὠκεῖα Μουςάων φάτις
οἷάπερ ἵππων ἀμαρυγά.
cὺ δὲ πάτερ, κτίςτορ Αἴτνας,
ζαθέων ἱερῶν ὁμώνυμε,
δὸς ἐμὶν ὅ τι περ τεᾷ κεφαλᾷ θέλῃς
πρόφρων δόμεν {ἐμὶν τεΐν}.
Πε. τουτὶ παρέξει τὸ κακὸν ἡμῖν πράγματα,
εἰ μή τί γ' αὐτῷ δόντες ἀποφευξούμεθα.
οὗτος, cὺ μέντοι ςπολάδα καὶ χιτῶν' ἔχεις,
ἀπόδυθι καὶ δὸς τῷ ποιητῇ τῷ ςοφῷ.
ἔχε τὴν ςπολάδα· πάντως δέ μοι ῥιγῶν δοκεῖς.
Πο. τόδε μὲν οὐκ ἀέκουςα φίλα
Μοῦςα τὸ δῶρον δέχεται·
τὺ δὲ τεᾷ φρενὶ μάθε Πινδάρειον ἔπος—
Πε. ἄνθρωπος ἡμῶν οὐκ ἀπαλλαχθήςεται.
Πο. νομάδεςςι γὰρ ἐν Cκύθαις ἀλᾶται ςτρατῶν
ὃς ὑφαντοδόνητον ἔςθος οὐ πέπαται·
ἀκλεὴς δ' ἔβα
ςπολὰς ἄνευ χιτῶνος.
ξύνες ὅ τοι λέγω.
Πε. ξυνίημ' ὅτι βούλει τὸν χιτωνίςκον λαβεῖν.
ἀπόδυθι· δεῖ γὰρ τὸν ποιητὴν ὠφελεῖν.
ἄπελθε τουτονὶ λαβών.
Πο. ἀπέρχομαι,

922 ταύτης] αὐτῆς Dobree 925 οἷάπερ] οἷαπερ ΓUB, Su. α 1501 926 δὲ R: δ' ὦ cett. 929 κεφαλᾷ Brunck: -λῇ codd. θέλῃς RVEAL: -εις cett. 930 ἐμὶν τεΐν] verba iam Blaydesio suspecta del. West: ἐμὶν τεῶν Kock, numeris parum elegantibus 932 γ' αὐτῷ Hamaker: τούτῳ codd. plerique: τοῦτο R: τούτων A 937 τὸ δῶρον Meineke: δῶρον A: τόδε δῶρον cett. 940 ἄνθρωπος Dindorf: ἄ- codd. 941 ςτρατῶν A, sch.: Cτράτων cett., Su. ν 450, υ 701 942 ὑφαντοδόνητον] -δόνατον V$^{ac}$: -δίνητον AL 945 τοι] τι Up, v.l. ap. Su. υ 701 946 ξυνίημ'] ξυνῆχ' Brunck

κἀϲ τὴν πόλιν γ' ἐλθὼν ποιήϲω τοιαδί·
"κλῇϲον, ὦ χρυϲόθρονε, τὰν τρομερὰν κρυεράν·
νιφόβολα πεδία πολύπορά τ' ἤλυθον."
ἀλαλαί.

Πε. νὴ τὸν Δί', ἀλλ' ἤδη πέφευγαϲ ταυταγὶ
τὰ κρυερὰ τονδὶ τὸν χιτωνίϲκον λαβών.
τουτὶ μὰ Δί' ἐγὼ τὸ κακὸν οὐδέποτ' ἤλπιϲα,
οὕτω ταχέωϲ τοῦτον πεπύϲθαι τὴν πόλιν.
αὖθιϲ ϲὺ περιχώρει λαβὼν τὴν χέρνιβα.
εὐφημία 'ϲτω.

ΧΡΗϹΜΟΛΟΓΟϹ

μὴ κατάρξῃ τοῦ τράγου.

Πε. ϲὺ δ' εἶ τίϲ;

Χρ. ὅϲτιϲ; χρηϲμολόγοϲ.

Πε. οἴμωζέ νυν.

Χρ. ὦ δαιμόνιε, τὰ θεῖα μὴ φαύλωϲ φέρε·
ὡϲ ἔϲτι Βάκιδοϲ χρηϲμὸϲ ἄντικρυϲ λέγων
εἰϲ τὰϲ Νεφελοκοκκυγίαϲ.

Πε. κἄπειτα πῶϲ
ταῦτ' οὐκ ἐχρηϲμολόγειϲ ϲὺ πρὶν ἐμὲ τὴν πόλιν
τήνδ' οἰκίϲαι;

Χρ. τὸ θεῖον ἐνεπόδιζέ με.

Πε. ἀλλ' οὐδὲν οἷον· ἔϲτ' ἀκοῦϲαι τῶν ἐπῶν;

Χρ. "ἀλλ' ὅταν οἰκήϲωϲι λύκοι πολιαί τε κορῶναι
ἐν ταὐτῷ τὸ μεταξὺ Κορίνθου καὶ Ϲικυῶνοϲ—"

949 γ' ἐλθὼν] ἐλθὼν ΓU: γ' ἐθέλων Meineke  τοιαδί Meineke: ταδί vett.: δὴ ταδί L  951 πολύπορά VEMΓ[pc]: πολύπυρά Γ[ac]UB: πολύϲπορά RL  952 ἀλαλαί Bentley: ἀλαλάν codd.  957 τοῦτον] ταύτην van Herwerden, deleta virgula post ἤλπιϲα, cf. 931  963 τὰϲ Νεφελοκοκκυγίαϲ] τοὺϲ -ιεῖϲ Bentley (melius -ιᾶϲ, cf. 1040); sed cf. 917, 1023  966 sic interpunxit Robertson: pro ἔϲτ' ἀκοῦϲαι temptavit εἰϲακοῦϲαι Kock, ἐξακοῦϲαι Blaydes  967 οἰκήϲωϲι] οἰκίϲωϲι V[pc]EMΓL

Πε. τί οὖν προϲήκει δῆτ' ἐμοὶ Κορινθίων;
Χρ. ἠνίξαθ' ὁ Βάκιϲ τοῦτο πρὸϲ τὸν ἀέρα.
"πρῶτον Πανδώρᾳ θῦϲαι λευκότριχα κριόν·
ὃϲ δέ κ' ἐμῶν ἐπέων ἔλθῃ πρώτιϲτα προφήτηϲ,
τῷ δόμεν ἱμάτιον καθαρὸν καὶ καινὰ πέδιλα—"
Πε. ἔνεϲτι καὶ τὰ πέδιλα;
Χρ. λαβὲ τὸ βυβλίον.
"καὶ φιάλην δοῦναι, καὶ ϲπλάγχνων χεῖρ'
ἐνιπλῆϲαι."
Πε. καὶ ϲπλάγχνα διδόν' ἔνεϲτι;
Χρ. λαβὲ τὸ βυβλίον.
"κἂν μέν, θέϲπιε κοῦρε, ποιῇϲ ταῦθ' ὡϲ ἐπιτέλλω,
αἰετὸϲ ἐν νεφέλῃϲι γενήϲεαι· αἰ δέ κε μὴ δῷϲ,
οὐκ ἔϲει οὐ τρυγών, οὐ λάϊοϲ, οὐ δρυκολάπτηϲ."
Πε. καὶ ταῦτ' ἔνεϲτ' ἐνταῦθα;
Χρ. λαβὲ τὸ βυβλίον.
Πε. οὐδὲν ἄρ' ὅμοιόϲ ἐϲθ' ὁ χρηϲμὸϲ τουτῳί,
ὃν ἐγὼ παρὰ τἀπόλλωνοϲ ἐξεγραψάμην·
"αὐτὰρ ἐπὴν ἄκλητοϲ ἰὼν ἄνθρωποϲ ἀλαζὼν
λυπῇ θύονταϲ καὶ ϲπλαγχνεύειν ἐπιθυμῇ,
δὴ τότε χρὴ τύπτειν αὐτὸν πλευρῶν τὸ μεταξὺ—"
Χρ. οὐδὲν λέγειν οἶμαί ϲε.
Πε. λαβὲ τὸ βυβλίον.
"καὶ φείδου μηδὲν μηδ' αἰετοῦ ἐν νεφέλῃϲιν,
μήτ' ἢν Λάμπων ᾖ μήτ' ἢν ὁ μέγαϲ Διοπείθηϲ."
Χρ. καὶ ταῦτ' ἔνεϲτ' ἐνταῦθα;
Πε. λαβὲ τὸ βυβλίον.

970 πρὸϲ] γ' εἰϲ Blaydes 974 et 980 βυβλίον] βιβ- A, Γ s.l., p: de hac re argute egit Dunbar, quam dubitanter secutus sum 975 ἐνιπλῆϲαι Cobet: ἐπιπλῆϲαι codd. 976 διδόν' M[pc]L: διδόναι cett. βυβλίον] βιβ- A 977 κἂν] κἢν Cobet 979 ἔϲει vel ἔϲῃ codd.: ἔϲε' van Leeuwen (ἔϲεαι, deleto οὐ, iam Blaydes) οὐ λάϊοϲ Meineke: οὐδ' (οὐκ A) αἰετόϲ codd.: οὐκ αἴγιθοϲ Wieseler 986 βυβλίον] βιβ- A, Γ s.l.

οὐκ εἶ θύραζ'; ἐϲ κόρακαϲ.
Χρ. οἴμοι δείλαιοϲ.
Πε. οὔκουν ἑτέρωϲε χρηϲμολογήϲειϲ ἐκτρέχων;

ΜΕΤΩΝ

ἥκω παρ' ὑμᾶϲ—
Πε. ἕτερον αὖ τουτὶ κακόν.
τί δ' αὖ ϲὺ δράϲων; τίϲ ἰδέα βουλεύματοϲ;
τίϲ ἡ 'πίνοια, τίϲ ποθ' οὔρνιϲ τῆϲ ὁδοῦ;
Με. γεωμετρῆϲαι βούλομαι τὸν ἀέρα
ὑμῖν διελεῖν τε κατὰ γύαϲ.
Πε. πρὸϲ τῶν θεῶν,
ϲὺ δ' εἶ τίϲ ἀνδρῶν;
Με. ὅϲτιϲ εἴμ' ἐγώ; Μέτων,
ὃν οἶδεν Ἑλλὰϲ χὡ Κολωνόϲ.
Πε. εἰπέ μοι,
ταυτὶ δέ ϲοι τί ἐϲτι;
Με. κανόνεϲ ἀέροϲ.
αὐτίκα γὰρ ἀήρ ἐϲτι τὴν ἰδέαν ὅλοϲ
κατὰ πνιγέα μάλιϲτα. προϲθεὶϲ οὖν ἐγὼ
τὸν κανόν' ἄνωθεν τουτονὶ τὸν καμπύλον,
ἐνθεὶϲ διαβήτην—μανθάνειϲ;
Πε. οὐ μανθάνω.
Με. ὀρθῷ μετρήϲω κανόνι προϲτιθείϲ, ἵνα
ὁ κύκλοϲ γένηταί ϲοι τετράγωνοϲ κἀν μέϲῳ
ἀγορά, φέρουϲαι δ' ὦϲιν εἰϲ αὐτὴν ὁδοὶ
ὀρθαὶ πρὸϲ αὐτὸ τὸ μέϲον, ὥϲπερ δ' ἀϲτέροϲ

991 ἐκτρέχων] ἀποτρέχων Hamaker: ποι τρέχων Dindorf 992 τουτὶ EL: τουτὶ τὸ cett. 993 δ' αὖ] δαὶ Bentley: αὖ Sommerstein τίϲ R: τίϲ δ' cett. βουλεύματοϲ Bergk: βουλήματοϲ codd. 994 τίϲ ποθ' οὔρνιϲ Blaydes, duce van Eldik: τίϲ ὁ κόθορνοϲ codd.: τῆϲ κοθορνωτῆϲ dubitanter Sommerstein 996 κατὰ γύαϲ Dawes: κατ' ἀγυιάϲ codd., sed in R iota supra lineam addita est 1001 προϲθεὶϲ L: προϲτιθεὶϲ vett. 1007 ἀϲτέροϲ ΓUB[ac], sch. ad v. 1008: ἀϲτέρεϲ cett., sch. ad v. 1007

αὐτοῦ κυκλοτεροῦϲ ὄντοϲ ὀρθαὶ πανταχῇ
ἀκτῖνεϲ ἀπολάμπωϲιν.
Πε. ἅνθρωποϲ Θαλῆϲ.
Μέτων—
Με. τί ἐϲτιν;
Πε. ἴϲθ' ὁτιὴ φιλῶ ϲ' ἐγώ,
κἀμοὶ πιθόμενοϲ ὑπαποκίνει τῆϲ ὁδοῦ.
Με. τί δ' ἐϲτὶ δεινόν;
Πε. ὥϲπερ ἐν Λακεδαίμονι
ξενηλατοῦμεν κἀκκεκίνηνταί τινεϲ·
πληγαὶ ϲυχναὶ κατ' ἄϲτυ.
Με. μῶν ϲταϲιάζετε;
Πε. μὰ τὸν Δί' οὐ δῆτ'.
Με. ἀλλὰ πῶϲ;
Πε. ὁμοθυμαδὸν
ϲποδεῖν ἅπανταϲ τοὺϲ ἀλαζόναϲ δοκεῖ.
Με. ὑπάγοιμι γ' ἆρ' ἄν.
Πε. νὴ Δί', ὡϲ οὐκ οἶδ' ἂν εἰ
φθαίηϲ ἄν· ἐπίκεινται γὰρ ἐγγὺϲ αὑταιί.
Με. οἴμοι κακοδαίμων.
Πε. οὐκ ἔλεγον ἐγὼ πάλαι;
οὐκ ἀναμετρήϲει ϲαυτὸν ἀπιὼν ἀλλαχῇ;

ΕΠΙϹΚΟΠΟϹ

ποῦ πρόξενοι;
Πε. τίϲ ὁ Ϲαρδανάπαλλοϲ οὑτοϲί;

1009 ἅνθρωποϲ Dobree: ἄ- codd. 1010 ἴϲθ' Meineke: οἶϲθ' codd. 1011 πιθόμενοϲ Bentley: πειθόμενοϲ vett.: γε πειθόμενοϲ L, qui ὑποκίνει pro ὑπαποκίνει praebet 1013 ξενηλατοῦμεν Dindorf: -λατοῦνται codd.: -λατοῦϲι Elmsley κἀκκεκίνηνταί Blaydes: καὶ κεκίνηνται codd., quod si recipias, punctum post τινεϲ tollere possis 1017 γ' ἆρ' Dobree: γὰρ codd.: τἆρ' Elmsley οἶδ' ἂν Δ[pc], sch. Γ: οἶδ' ἄρ' fere vett., L: οἶδά γ' Elmsley 1018 ἂν] ἔτ' Dindorf 1020 ἀναμετρήϲειϲ] -ήϲει VM ϲαυτὸν L: ἑαυτὸν R: ϲεαυτὸν cett. 1021 Ϲαρδανάπαλλοϲ RA, v.l. ap. sch.: -παλοϲ cett.

Επιcκ. ἐπίcκοπος ἥκω δεῦρο τῷ κυάμῳ λαχὼν
εἰς τὰς Νεφελοκοκκυγίας.
Πε. ἐπίcκοπος;
ἔπεμψε δὲ τίς cε δεῦρο;
Επιcκ. φαῦλον βιβλίον
Τελέου τι.
Πε. βούλει δῆτα τὸν μιcθὸν λαβὼν
μὴ πράγματ' ἔχειν ἀλλ' ἀπιέναι;
Επιcκ. νὴ τοὺς θεούς.
ἐκκληcιάcαι γοῦν ἐδεόμην οἴκοι μένων.
ἔcτιν γὰρ ἅ δι' ἐμοῦ πέπρακται Φαρνάκῃ.
Πε. ἄπιθι λαβών· ἔcτιν δ' ὁ μιcθὸς οὑτοcί.
Επιcκ. τουτὶ τί ἦν;
Πε. ἐκκληcία περὶ Φαρνάκου.
Επιcκ. μαρτύρομαι τυπτόμενος ὢν ἐπίcκοπος.
Πε. οὐκ ἀποcοβήcεις; οὐκ ἀποίcεις τὼ κάδω;
οὐ δεινά; καὶ πέμπουcιν ἤδη 'πιcκόπους
εἰς τὴν πόλιν, πρὶν καὶ τεθύcθαι τοῖς θεοῖς.

ΨΗΦΙϹΜΑΤΟΠΩΛΗϹ
ἐὰν δ' ὁ Νεφελοκοκκυγιεὺς τὸν Ἀθηναῖον
ἀδικῇ—
Πε. τουτὶ τί ἐcτιν αὖ κακόν, τὸ βυβλίον;
Ψη. ψηφιcματοπώλης εἰμὶ καὶ νόμους νέους
ἥκω παρ' ὑμᾶς δεῦρο πωλήcων.
Πε. τὸ τί;
Ψη. χρῆcθαι Νεφελοκοκκυγιᾶς τοῖς αὐτοῖς μέτροιcι
καὶ cταθμοῖcι καὶ ψηφίcμαcι καθάπερ Ὀλοφύξιοι.

1024 *βιβλίον* vett.: *βυβ-* L; de vocis forma vide ad v. 974 1025 *τι* Inspectori continuavit Elmsley 1027 *γοῦν* Dobree: *δ' οὖν* codd. 1028 *ἔcτιν* RVL: *ἔcτι* cett. 1029 *ἔcτιν* RVEL: *ἔcτι* cett. 1033 *ἤδη 'πιcκόπους* $\Gamma^{pc}$B, sch. E: *ἤδ' ἐπ-* vel sim. RE$\Gamma^{ac}$U: *νὴ Δί' ἐπ-* V: *οἶδ' ἐπ-* AML 1037 *βυβλίον*] *βιβ-* AE 1040 *Νεφελοκοκκυγιᾶς* RV$^{pc}$: *-ιέας* $\Gamma^{pc}$U: *-ίας* cett. *τοῖς αὐτοῖς* Boissonade, Cobet: *τοῖcδε τοῖς* vett.: *καὶ τοῖcδε τοῖς* L, ut duo trimetri efficerentur *ψηφίcμαcι*] *νομίcμαcι* Bergk

Πε. ϲὺ δέ γ' οἷϲίπερ ὠτοτύξιοι χρήϲει τάχα.
Ψη. οὗτοϲ, τί πάϲχειϲ;
Πε. οὐκ ἀποίϲειϲ τοὺϲ νόμουϲ;
πικροὺϲ ἐγώ ϲοι τήμερον δείξω νόμουϲ.
Επιϲκ. καλοῦμαι Πειϲέταιρον ὕβρεωϲ εἰϲ τὸν Μουνιχιῶνα μῆνα.
Πε. ἄληθεϲ, οὗτοϲ; ἔτι γὰρ ἐνταῦθ' ἦϲθα ϲύ;
Ψη. ἐὰν δέ τιϲ ἐξελαύνῃ τοὺϲ ἄρχονταϲ καὶ μὴ δέχηται κατὰ τὴν ϲτήλην—
Πε. οἴμοι κακοδαίμων, καὶ ϲὺ γὰρ ἐνταῦθ' ἦϲθ' ἔτι;
Επ. ἀπολῶ ϲε γράψομαί τε μυρίαϲ δραχμάϲ—
Πε. ἐγὼ δὲ ϲοῦ γε τὼ κάδω διαϲκεδῶ.
Ψη. μέμνηϲ' ὅτε τῆϲ ϲτήληϲ κατετίλαϲ ἑϲπέραϲ;
Πε. αἰβοῖ· λαβέτω τιϲ αὐτόν. οὗτοϲ, οὐ μενεῖϲ;
ἀπίωμεν ἡμεῖϲ ὡϲ τάχιϲτ' ἐντευθενὶ
θύϲοντεϲ εἴϲω τοῖϲ θεοῖϲι τὸν τράγον.

Χο. ἤδη 'μοὶ τῷ παντόπτᾳ [ϲτρ.
καὶ παντάρχᾳ θνητοὶ πάντεϲ
θύϲουϲ' εὐκταίαιϲ εὐχαῖϲ.
πᾶϲαν μὲν γὰρ γᾶν ὀπτεύω,
ϲῴζω δ' εὐθαλεῖϲ καρποὺϲ
κτείνων παμφύλων γένναν
θηρῶν, ἃ πᾶν τ' ἐν γαίᾳ
ἐκ κάλυκοϲ αὐξανόμενον γένυϲι παμφάγοιϲ

1043 οἷϲίπερ] οἷϲπερ Dindorf ὠτοτύξιοι Dindorf: ωτο- R: ω τὸ V: ὠτο- ALH: ὀτο- cett. 1045 v. om. R 1046–7 Decretorum institori, 1049–50 Inspectori tribuit Wilamowitz 1047 Μουνιχιῶνα A, cf. titulos: Μουνυχ- cett. 1051 ἦϲθ'] ἦϲ VML 1052 γράψομαί τε Blaydes: καὶ γράφω (γράψω Mehler) ϲε codd. 1057 τοῖϲ MU: τοῖϲι cett. 1058 'μοὶ Meineke: μοι codd. 1060 εὐχαῖϲ Bentley, Daubuz: -ϲιν EUL: -ϲι cett. 1064 ἃ Brunck: ἣ U s.l.: οἳ P12, cett. πᾶν τ' Dunbar, duce Dindorf: πάντ' P12, codd. 1065 αὐξανόμενον ΓU: -όμενα vel -ούμενα cett.: [P12] παμφάγοιϲ Dobree: πολυφάγοιϲ codd.

δένδρεcί τ' ἐφημμένον
καρπὸν ἀποβόcκεται.
κτείνω δ' οἳ κήπουc εὐώδειc
φθείρουcιν λύμαιc ἐχθίcταιc·
ἑρπετά τε καὶ δάκετα ⟨πάνθ'⟩ ὅcαπερ
ἔcτιν, ὑπ' ἐμᾶc πτέρυγοc
ἐν φοναῖc ὄλλυται.

τῇδε μέντοι θἠμέρᾳ μάλιcτ' ἐπαναγορεύεται,
ἢν ἀποκτείνῃ τιc ὑμῶν Διαγόραν τὸν Μήλιον,
λαμβάνειν τάλαντον, ἤν τε τῶν τυράννων τίc τινα
τῶν τεθνηκότων ἀποκτείνῃ, τάλαντον λαμβάνειν.
βουλόμεcθ' οὖν νῦν ἀνειπεῖν ταῦτα χἠμεῖc ἐνθάδε·
ἢν ἀποκτείνῃ τιc ὑμῶν Φιλοκράτη τὸν Cτρούθιον,
λήψεται τάλαντον, ἢν δὲ ζῶντά ⟨γ'⟩ ἀγάγῃ, τέτταρα,
ὅτι cυνείρων τοὺc cπίνουc πωλεῖ καθ' ἑπτὰ τοὐβολοῦ,
εἶτα φυcῶν τὰc κίχλαc δείκνυcι καὶ λυμαίνεται,
τοῖc τε κοψίχοιcιν εἰc τὰc ῥῖναc ἐγχεῖ τὰ πτερά,
τὰc περιcτεράc θ' ὁμοίωc ξυλλαβὼν εἵρξαc ἔχει,
κἀπαναγκάζει παλεύειν δεδεμέναc ἐν δικτύῳ.
ταῦτα βουλόμεcθ' ἀνειπεῖν· κεἴ τιc ὄρνιθαc τρέφει
εἰργμένουc ὑμῶν ἐν αὐλῇ, φράζομεν μεθιέναι.
ἢν δὲ μὴ πείθηcθε, cυλληφθέντεc ὑπὸ τῶν ὀρνέων
αὖθιc ὑμεῖc αὖ παρ' ἡμῖν δεδεμένοι παλεύcετε.

1066 *τ'* P12, EMUB[pc]: *θ' Γ*B[ac]: *δ'* cett. *ἐφημμένον* Hermann: *ἐφεζόμενοι Γ*s.l., U, Bs.l.: *ἐφεζόμενα* cett.: ]*φιζομεν*[ P12: *ἐφημένα* Dobree 1068 *φθείρουcιν* L: -*cι* cett. 1069 suppl. Dissen, Dobree (tale quid praebebat P12) 1070 non post *ἔcτιν* sed post *πτέρυγοc* interpunxit Kock 1071 *ἐν φοναῖc ὄλλυται* L: *φοναῖcιν ἐξόλλυται* vett. 1075 *τεθνηκότων*] *πεφευγότων* vel *προcηκόντων* Reiske 1076 *βουλόμεcθ'* RL: -*μεθ'* cett. *ἀνειπεῖν*] *ἂν εἰπεῖν* RVE *ταὐτὰ* Meineke: *ταῦτα* codd. 1078 suppl. Burges *ἀγάγῃ* codd.: *ἀπαγάγῃ* P12, Bergk: *ἀγάγῃ τιc* Bentley 1080 *καὶ* P12, L: *πᾶcι καὶ* vett., Su. *φ* 381 1084 *ἀνειπεῖν Γ*U: *ἂν εἰπεῖν* cett. vett.: *ἄνειπειν* (sic) L 1085 *εἰργμένουc*] -*μέναc Γ* U: *εἰργομένουc* AL 1086 *πίθηcθε* Dindorf: *πείθεcθε* Vp: *πείθηcθε* cett. 1087 *παλεύcετε Γ*UL et fortasse sch.: *παλεύετε* RVAEM

εὔδαιμον φῦλον πτηνῶν [ἀντ.
οἰωνῶν, οἳ χειμῶνος μὲν
χλαίνας οὐκ ἀμπιςχνοῦνται·
οὐδ' αὖ θερμὴ πνίγους ἡμᾶς
ἀκτὶς τηλαυγὴς θάλπει·
ἀλλ' ἀνθηρῶν λειμώνων
φύλλ' ἐν κόλποις ἐνναίω,
ἡνίκ' ἂν ὁ θεςπέςιος ὀξὺ μέλος ἀχέτας
θάλπεςι μεςημβρινοῖς
ἡλιομανὴς βοᾷ.
χειμάζω δ' ἐν κοίλοις ἄντροις
νύμφαις οὐρείαις ξυμπαίζων·
ἠρινά τε βοςκόμεθα παρθένια
λευκότροφα μύρτα Χαρί-
των τε κηπεύματα.

τοῖς κριταῖς εἰπεῖν τι βουλόμεςθα τῆς νίκης πέρι,
ὅς' ἀγάθ', ἢν κρίνωςιν ἡμᾶς, πᾶςιν αὐτοῖς δώςομεν,
ὥςτε κρείττω δῶρα πολλῷ τῶν Ἀλεξάνδρου λαβεῖν.
πρῶτα μὲν γάρ, οὗ μάλιςτα πᾶς κριτὴς ἐφίεται,
γλαῦκες ὑμᾶς οὔποτ' ἐπιλείψουςι Λαυρειωτικαί·
ἀλλ' ἐνοικήςουςιν ἔνδον, ἔν τε τοῖς βαλλαντίοις
ἐννεοττεύςουςι κἀκλέψουςι μικρὰ κέρματα.
εἶτα πρὸς τούτοιςιν ὥςπερ ἐν ἱεροῖς οἰκήςετε·
τὰς γὰρ ὑμῶν οἰκίας ἐρέψομεν πρὸς αἰετόν·
κἂν λαχόντες ἀρχίδιον εἶθ' ἁρπάςαι βούληςθέ τι,

1090 *ἀμπιςχνοῦνται* E^ac L: *ἀμπιςχοῦνται* cett. 1091 *θερμὴ πνίγους* RVEL, *Γ*^pc?: *θέρμη πνίγους'* MUB, *Γ*^ac?, cf. sch. 1094 *φύλλ'* Desrousseaux: *φύλλων* codd.: *εὐφύλλοις*, deleto *ἐν*, Totaro *ἐνναίω* vett.: *ναίω* L, quo recepto *φύλλων* ⟨*τ'*⟩ Bentley 1095 *ὀξὺ μέλος* Brunck: *ὀξυμελὴς* fere vett. (sed -*βελὴς* RM): *ὀξυομελὴς* L 1096 *ἡλιομανὴς* Su. *η* 232: *ὑφηλιομανὴς* R: *ὑφ' ἡλίῳ μανεὶς* cett. 1103 *ὅς'* Dawes: *οἷς* codd. 1105 *πρῶτα*] *πρῶτον* ML 1106 *Λαυρειωτικαί* Kock e Phot. et lexicis: *Λαυρι*- P12, codd. 1108 *κἀκλέψουςι*] *κἀκκλέψουςι* V^pc EB, lm. sch. *Γ*: *καὶ κλέψουςι* A 1109 *ἐν* om. *Γ*UB 1110 *αἰετόν*] *ἀετόν* P12, R, Su. *α* 578, Pollux 7.119 1111 *βούληςθέ τι*] *βούληςθ' ἔτι* R^pc VE*Γ*

ὀξὺν ἱερακίcκον εἰc τὰc χεῖραc ὑμῖν δώcομεν.
ἢν δέ που δειπνῆτε, πρηγορεῶναc ὑμῖν πέμψομεν.
ἢν δὲ μὴ κρίνητε, χαλκεύεcθε μηνίcκουc φορεῖν
ὥcπερ ἀνδριάντεc· ὡc ὑμῶν ὃc ἂν μὴ μῆν' ἔχῃ,
ὅταν ἔχητε χλανίδα λευκήν, τότε μάλιcθ' οὕτω δίκην
δώcεθ' ἡμῖν, πᾶcι τοῖc ὄρνιcι κατατιλώμενοι.

Πε. τὰ μὲν ἱέρ' ἡμῖν ἐcτιν, ὦρνιθεc, καλά·
ἀλλ' ὡc ἀπὸ τοῦ τείχουc πάρεcτιν ἄγγελοc
οὐδείc, ὅτου πευcόμεθα τἀκεῖ πράγματα.
ἀλλ' οὑτοcὶ τρέχει τιc Ἀλφειὸν πνέων.

ΑΓΓΕΛΟC Α'

ποῦ ποῦ 'cτι, ποῦ ποῦ ποῦ 'cτι, ποῦ ποῦ ποῦ 'cτι, ποῦ,
ποῦ Πειcέταιρόc ἐcτιν ἄρχων;
Πε. οὑτοcί.
Αγ$^{α}$. ἐξῳκοδόμηταί cοι τὸ τεῖχοc.
Πε. εὖ λέγειc.
Αγ$^{α}$. κάλλιcτον ἔργον καὶ μεγαλοπρεπέcτατον·
ὥcτ' ἂν ἐπάνω μὲν Προξενίδηc ὁ Κομπαcεὺc
καὶ Θεογένηc ἐναντίω δύ' ἅρματε,
ἵππων ὑπόντων μέγεθοc ὅcον ὁ δούριοc,
ὑπὸ τοῦ πλάτουc ἂν παρελαcαίτην.
Πε. Ἡράκλειc.
Αγ$^{α}$. τὸ δὲ μῆκόc ἐcτι, καὶ γὰρ ἐμέτρηc' αὔτ' ἐγώ,
ἑκατοντορόγυιον.
Πε. ὦ Πόcειδον, τοῦ μάκρουc.
τίνεc ᾠκοδόμηcαν αὐτὸ τηλικουτονί;

1115 ἀνδριάντεc Dobree: ἁ- codd. μῆν' G (cf. Phot.), Dobree, Seidler: μήνην vett., L 1118 ὦρνιθεc] ὄρν- P12, RAM: ὦ 'ρν- L 1119 ὡc P12, codd.: οὐκ Meineke, Dobree 1123 ἄρχων Bothe: ἅ- codd. 1127 Θεογένηc Dindorf: Θεα- codd., Su. ε 1831 1128 δούριοc $Γ^{pc}$, Su.: δούρειοc R$Γ^{ac}$UL, Su. δ 1429, sch.: δουρίεοc VA: δουριεύc E, lm. sch. V 1131 ἑκατοντορόγυιον Burney, Hotchkis: -όργυιον fere codd., Su.

Αγ<sup></sup>. ὄρνιθες, οὐδεὶς ἄλλος—οὐκ Αἰγύπτιος
πλινθοφόρος, οὐ λιθουργός, οὐ τέκτων παρῆν—
ἀλλ' αὐτόχειρες, ὥςτε θαυμάζειν ἐμέ.
ἐκ μέν γε Λιβύης ἧκον ὡς τριςμύριαι
γέρανοι θεμελίους καταπεπωκυῖαι λίθους.
τούτους δ' ἐτύχιζον αἱ κρέκες τοῖς ῥύγχεςιν.
ἕτεροι δ' ἐπλινθούργουν πελαργοὶ μύριοι·
ὕδωρ δ' ἐφόρουν κάτωθεν εἰς τὸν ἀέρα
οἱ χαραδριοὶ καὶ τἆλλα ποτάμι' ὄρνεα.
Πε. ἐπηλοφόρουν δ' αὐτοῖςι τίνες;
Αγ. ἐρῳδιοὶ
λεκάναιςι.
Πε. τὸν δὲ πηλὸν ἐνεβάλλοντο πῶς;
Αγ. τοῦτ', ὦγάθ', ἐξηύρητο καὶ coφώτατα·
οἱ χῆνες ὑποτύπτοντες ὥςπερ ταῖς ἄμαις
εἰς τὰς λεκάνας ἐνέβαλλον αὐτὸν τοῖν ποδοῖν.
Πε. τί δῆτα πόδες ἂν οὐκ ἂν ἐργαςαίατο;
Αγ. καὶ νὴ Δί' αἱ νῆτταί γε περιεζωμέναι
ἐπλινθοβόλουν· ἄνω δὲ τὸν ὑπαγωγέα
ἐπέτοντ' ἔχουςαι κατόπιν ὥςπερ παιδία,
καὶ πηλὸν ἐν τοῖς ςτόμαςιν αἱ χελιδόνες.
Πε. τί δῆτα μιςθωτοὺς ἂν ἔτι μιςθοῖτό τις;
φέρ' ἴδω, τί δαί; τὰ ξύλινα τοῦ τείχους τίνες
ἀπηργάςαντ';
Αγ. ὄρνιθες ἦςαν τέκτονες
coφώτατοι πελεκᾶντες, οἳ τοῖς ῥύγχεςιν
ἀπεπελέκηςαν τὰς πύλας· ἦν δ' ὁ κτύπος

1138 *ἐτύχιζον* Maas: *ἐτύκιζον* codd. 1139 *ἐπλινθούργουν* Bergk: *ἐπλινθοφόρουν* codd. 1146 *ἐνέβαλλον* REΓUB: *ἐνέβαλον* cett. *αὐτοῖς*] *αὐτὸν* ΓUB: *αὐτοῖν* M 1148 *περιεζωμέναι* van Leeuwen: -*ωςμέναι* codd., Su. *υ* 142 1149 *ἐπλινθοβόλουν* Higham: -*οφόρουν* codd. *ὑπαγωγέα*] *ἐπαγωγέα* sch. M 1150 post *κατόπιν* lacunam statuit Dobree *ὥςπερ παιδία* suspectum: *ὡργαζόν θ' ἅμα* ex. gr. Robert 1151 *καὶ* Lenting: *τὸν* codd.

αὐτῶν πελεκώντων ὥcπερ ἐν ναυπηγίῳ.
καὶ νῦν ἅπαντ' ἐκεῖνα πεπύλωται πύλαις
καὶ βεβαλάνωται καὶ φυλάττεται κύκλῳ,
ἐφοδεύεται, κωδωνοφορεῖται, πανταχῇ
φυλακαὶ καθεcτήκαcι καὶ φρυκτωρίαι
ἐν τοῖcι πύργοις. ἀλλ' ἐγὼ μὲν ἀποτρέχων
ἀπονίψομαι· cὺ δ' αὐτὸς ἤδη τἄλλα δρᾶ.

*Χο.* οὗτος, τί ποιεῖc; ἆρα θαυμάζεις ὅτι
οὕτω τὸ τεῖχος ἐκτετείχιcται ταχύ;

*Πε.* νὴ τοὺc θεοὺc ἔγωγε· καὶ γὰρ ἄξιον·
ἴcα γὰρ ἀληθῶc φαίνεταί μοι ψεύδεcιν.
ἀλλ' ὅδε φύλαξ γὰρ τῶν ἐκεῖθεν ἄγγελοc
εἰcθεῖ πρὸc ἡμᾶc δεῦρο πυρρίχην βλέπων.

ΑΓΓΕΛΟC Β'

ἰοὺ ἰού, ἰοὺ ἰού, ἰοὺ ἰού.

*Πε.* τί τὸ πρᾶγμα τουτί;

*Αγ$^β$.* δεινότατα πεπόνθαμεν.
τῶν γὰρ θεῶν τιc ἄρτι τῶν παρὰ τοῦ Διὸc
διὰ τῶν πυλῶν εἰcέπτατ' εἰc τὸν ἀέρα,
λαθὼν κολοιοὺc φύλακαc ἡμεροcκόπουc.

*Πε.* ὦ δεινὸν ἔργον καὶ cχέτλιον εἰργαcμένοc.
τίc τῶν θεῶν;

*Αγ$^β$.* οὐκ ἴcμεν· ὅτι δ' εἶχε πτερά,
τοῦτ' ἴcμεν.

*Πε.* οὔκουν δῆτα περιπόλουc ἐχρῆν
πέμψαι κατ' αὐτὸν εὐθύc;

*Αγ$^β$.* ἀλλ' ἐπέμψαμεν
τριcμυρίουc ἱέρακαc ἱπποτοξόταc,
χωρεῖ δὲ πᾶc τιc ὄνυχαc ἠγκυλωμένοc,
κερχνῄc, τριόρχηc, γύψ, κύμινδιc, αἰετόc·

1157 πελεκώντων VEΓUB: πελεκάντων RAML 1172 ἄρτι τῶν] ἀρτίωc vel ἄρτι νῦν Blaydes τοῦ Διὸc] τῷ Διὶ Blaydes an περὶ τὸν Δία? 1177 οὔκουν EML: οὐκοῦν cett., Su. π 1260

ῥύμῃ τε καὶ πτεροῖϲι καὶ ῥοιζήμαϲιν
αἰθὴρ δονεῖται τοῦ θεοῦ ζητουμένου·
κἄϲτ' οὐ μακρὰν ἄπωθεν, ἀλλ' ἐνταῦθά που
ἤδη 'ϲτίν.
Πε. οὐκοῦν ϲφενδόναϲ δεῖ λαμβάνειν
καὶ τόξα; χώρει δεῦρο πᾶϲ ὑπηρέτηϲ·
τόξευε, παῖε· ϲφενδόνην τίϲ μοι δότω.

Χο. πόλεμοϲ αἴρεται, πόλεμοϲ οὐ φατὸϲ [ϲτρ.
πρὸϲ ἐμὲ καὶ θεούϲ. ἀλλὰ φύλαττε πᾶϲ
ἀέρα περινέφελον, ὃν ἔρεβοϲ ἐτέκετο,
μή ϲε λάθῃ θεῶν τιϲ ταύτῃ περῶν·

⟨ϲιγᾶτε ϲῖγ'.⟩ ἄθρει δὲ πᾶϲ κύκλῳ ϲκοπῶν,
ὡϲ ἐγγὺϲ ἤδη δαίμονοϲ πεδαρϲίου
δίνηϲ πτερωτὸϲ φθόγγοϲ ἐξακούεται.
Πε. αὕτη ϲύ, ποῖ ποῖ ποῖ πέτει; μέν' ἥϲυχοϲ,
ἔχ' ἀτρέμαϲ· αὐτοῦ ϲτῆθ'· ἐπίϲχεϲ τοῦ δρόμου.
τίϲ εἶ; ποδαπή; λέγειν ἐχρῆν ὁπόθεν ποτ' εἶ.

ΙΡΙϹ

παρὰ τῶν θεῶν ἔγωγε τῶν Ὀλυμπίων.
Πε. ὄνομα δέ ϲοι τί; Πάραλοϲ ἢ Ϲαλαμινία;
Ιρ. Ἶριϲ ταχεῖα.
Πε. ⟨πότερα⟩ πλοῖον ἢ κύων;
Ιρ. τί δὲ τοῦτο;
Πε. ταυτηνί τιϲ οὐ ξυλλήψεται
ἀναπτάμενοϲ τρίορχοϲ;
Ιρ. ἐμὲ ξυλλήψεται;

1185 οὔκουν M: οὐκοῦν cett. 1187 παῖε VΓUB: πᾶϲ RAM: πᾶϲ τιϲ EL 1196 suppl. Hermann; πᾶϲ ⟨τιϲ πανταχῇ⟩ Reisig 1200 post αὐτοῦ, non ante, interpungunt quidam 1201 ποτ' εἶ] πέτῃ ΓUB 1203 τί; . . . Ϲαλαμινία; Robert: τί ἐϲτι; πλοῖον ἢ κυνῆ; codd. 1204 ⟨πότερα⟩ . . . κύων; Robert: Πάραλοϲ ἢ Ϲαλαμινία; codd. 1206 ἀναπτάμενοϲ] -πτόμενοϲ UB

τί ποτ᾽ ἐϲτὶ τουτὶ τὸ κακόν;
Πε. οἰμώξει μακρά.
Ιρ. ἄτοπόν γε τουτὶ πρᾶγμα.
Πε. κατὰ ποίαϲ πύλαϲ
εἰϲῆλθεϲ εἰϲ τὸ τεῖχοϲ, ὦ μιαρωτάτη;
Ιρ. οὐκ οἶδα μὰ Δί᾽ ἔγωγε κατὰ ποίαϲ πύλαϲ.
Πε. ἤκουϲαϲ αὐτῆϲ, οἷον εἰρωνεύεται;
πρὸϲ τοὺϲ κολοιάρχουϲ προϲῆλθεϲ;
Ιρ. πῶϲ λέγειϲ;
Πε. ϲφραγῖδ᾽ ἔχειϲ παρὰ τῶν πελαργῶν;
Ιρ. τί τὸ κακόν;
Πε. οὐκ ἔλαβεϲ;
Ιρ. ὑγιαίνειϲ μέν;
Πε. οὐδὲ ϲύμβολον
ἐπέβαλεν ὀρνίθαρχοϲ οὐδείϲ ϲοι παρών;
Ιρ. μὰ Δί᾽ οὐκ ἔμοιγ᾽ ἐπέβαλεν οὐδείϲ, ὦ μέλε.
Πε. κἄπειτα δῆθ᾽ οὕτω ϲιωπῇ διαπέτει
διὰ τῆϲ πόλεωϲ τῆϲ ἀλλοτρίαϲ καὶ τοῦ χάουϲ;
Ιρ. ποίᾳ γὰρ ἄλλῃ χρὴ πέτεϲθαι τοὺϲ θεούϲ;
Πε. οὐκ οἶδα μὰ Δί᾽ ἔγωγε· τῇδε μὲν γὰρ οὔ.
ἀδικεῖϲ δὲ καὶ νῦν. ἆρά γ᾽ οἶϲθα τοῦθ᾽, ὅτι
δικαιότατ᾽ ἂν ληφθεῖϲα παϲῶν Ἰρίδων
ἀπέθανεϲ, εἰ τῆϲ ἀξίαϲ ἐτύγχανεϲ;
Ιρ. ἀλλ᾽ ἀθάνατόϲ εἰμ᾽.
Πε. ἀλλ᾽ ὅμωϲ ἂν ἀπέθανεϲ.
δεινότατα γάρ τοι πειϲόμεϲθ᾽, ἐμοὶ δοκεῖν,
εἰ τῶν μὲν ἄλλων ἄρξομεν, ὑμεῖϲ δ᾽ οἱ θεοὶ

1207 οἰμώξει] -ώζει R[ac]V: -ώζειν A μακρά] μακράν RVAE 1208 τουτὶ Daubuz: τουτὶ τὸ vett.: τοῦτο τὸ L 1212 πρὸϲ] πῶϲ Bergk κολοιάρχουϲ RM, v.l. ap. sch. E: κολοιοὺϲ cett. vett.: κολιάρχαϲ L προϲῆλθεϲ L: πῶϲ προϲῆλθεϲ vett.: παρῆλθεϲ Bergk πῶϲ λέγειϲ; Iridi tribuit Bachmann: οὐ λέγειϲ; Pisetaero continuatum codd.: οὐκ ἐρεῖϲ van Herwerden 1219 ποίᾳ] ποῖ R, V in linea, sed γρ. ποίᾳ 1221 δὲ] με R 1225 γάρ τοι ΓML: γάρ μοι RVE: γὰρ A δοκεῖν Cobet: δοκεῖ codd. 1226 ἄρξομεν Cobet: ἄρχομεν codd.

ἀκολαϲτανεῖτε, κοὐδέπω γνώϲεϲθ' ὅτι
ἀκροατέον ὑμῖν ἐν μέρει τῶν κρειττόνων.
φράϲον δὲ δή μοι, τὼ πτέρυγε ποῖ ναυϲτολεῖϲ;
Ιρ. ἐγὼ πρὸϲ ἀνθρώπουϲ πέτομαι παρὰ τοῦ πατρὸϲ
φράϲουϲα θύειν τοῖϲ Ὀλυμπίοιϲ θεοῖϲ
μηλοϲφαγεῖν τε βουθύτοιϲ ἐπ' ἐϲχάραιϲ
κνιϲᾶν τ' ἀγυιάϲ.
Πε. τί ϲὺ λέγειϲ; ποίοιϲ θεοῖϲ;
Ιρ. ποίοιϲιν; ἡμῖν, τοῖϲ ἐν οὐρανῷ θεοῖϲ.
Πε. θεοὶ γὰρ ὑμεῖϲ;
Ιρ. τίϲ γάρ ἐϲτ' ἄλλοϲ θεόϲ;
Πε. ὄρνιθεϲ ἀνθρώποιϲι νῦν εἰϲιν θεοί,
οἷϲ θυτέον αὐτούϲ, ἀλλὰ μὰ Δί' οὐ τῷ Διί.
Ιρ. ὦ μῶρε μῶρε, μὴ θεῶν κίνει φρέναϲ
δεινάϲ, ὅπωϲ μή ϲου γένοϲ πανώλεθρον
Διὸϲ μακέλλῃ πᾶν ἀναϲτρέψει Δίκη,
λιγνὺϲ δὲ ϲῶμα καὶ δόμων περιπτυχὰϲ
καταιθαλώϲει ϲου Λικυμνίοιϲ βολαῖϲ.
Πε. ἄκουϲον, αὕτη· παῦε τῶν παφλαϲμάτων·
ἔχ' ἀτρέμα. φέρ' ἴδω, πότερα Λυδὸν ἢ Φρύγα
ταυτὶ λέγουϲα μορμολύττεϲθαι δοκεῖϲ;
ἆρ' οἶϲθ' ὅτι Ζεὺϲ εἴ με λυπήϲει πέρα,
μέλαθρα μὲν αὐτοῦ καὶ δόμουϲ Ἀμφίονοϲ
καταιθαλώϲω πυρφόροιϲιν αἰετοῖϲ,
πέμψω δὲ πορφυρίωναϲ εἰϲ τὸν οὐρανὸν
ὄρνιϲ ἐπ' αὐτόν, παρδαλᾶϲ ἐνημμένουϲ
πλεῖν ἑξακοϲίουϲ τὸν ἀριθμόν; καὶ δή ποτε
εἷϲ Πορφυρίων αὐτῷ παρέϲχε πράγματα.

1229 δὲ δή Bentley: δέ τοι codd.: δ' ἔτυμον Dunbar 1230 ἐγώ; edd. plerique 1233 ἀγυιάϲ] Ἀγυιᾶϲ Harpocratio s.v. 1236 ὄρνιθεϲ] οὖρν- Blaydes εἰϲὶν A s.l., L: εἰϲὶ fere cett. 1237 αὐτούϲ R: αὐτοῖϲ cett. 1240 ἀναϲτρέψει Porson: -ψῃ codd. μακέλλῃ] -η VAL Δίκη] -ῃ $\Gamma^{ac}$UL 1242 καταιθαλώϲει RL, Su. λ 502: -ϲῃ fere cett. Λικυμνίοιϲ Callimachus ap. sch. VM, Hsch.: -ίαιϲ(ι) codd., Su. 1251 πλεῖν] πλὴν $\Gamma^{ac}$U: πλὴν ἢ v.l. ap. sch. Γ

ϲὺ δ' εἴ με λυπήϲειϲ τι, τῆϲ διακόνου
πρώτηϲ ἀνατείναϲ τὼ ϲκέλει διαμηριῶ
τὴν Ἶριν αὐτήν, ὥϲτε θαυμάζειν ὅπωϲ
οὕτω γέρων ὢν ϲτύομαι τριέμβολον.
*Ιρ.* διαρραγείηϲ, ὦ μέλ', αὐτοῖϲ ῥήμαϲιν.
*Πε.* οὐκ ἀποϲοβήϲειϲ; οὐ ταχέωϲ; εὐρὰξ πατάξ.
*Ιρ.* ἦ μήν ϲε παύϲει τῆϲ ὕβρεωϲ οὑμὸϲ πατήρ.
*Πε.* οἴμοι τάλαϲ. οὔκουν ἑτέρωϲε πετομένη
καταιθαλώϲειϲ τῶν νεωτέρων τινά;

*Χο.* ἀποκεκλῄκαμεν διογενεῖϲ θεοὺϲ [ἀντ.
μηκέτι τὴν ἐμὴν διαπερᾶν πόλιν,
μηδέ τιν' ἱερόθυτον ἀνά ⟨τι⟩ δάπεδον ἔτι
τῇδε βροτῶν θεοῖϲι πέμπειν καπνόν.

*Πε.* δεινόν γε τὸν κήρυκα τὸν παρὰ τοὺϲ βροτοὺϲ
οἰχόμενον, εἰ μηδέποτε νοϲτήϲει πάλιν.

*ΚΗΡΥΞ*

ὦ Πειϲέταιρ', ὦ μακάρι', ὦ ϲοφώτατε,
ὦ κλεινότατ', ὦ ϲοφώτατ', ὦ γλαφυρώτατε,
ὦ τριϲμακάρι', ὦ—κατακέλευϲον.
*Πε.* τί ϲὺ λέγειϲ;
*Κη.* ϲτεφάνῳ ϲε χρυϲῷ τῷδε ϲοφίαϲ οὕνεκα
ϲτεφανοῦϲι καὶ τιμῶϲιν οἱ πάντεϲ λεῴ.
*Πε.* δέχομαι. τί δ' οὕτωϲ οἱ λεῴ τιμῶϲί με;
*Κη.* ὦ κλεινοτάτην αἰθέριον οἰκίϲαϲ πόλιν,
οὐκ οἶϲθ' ὅϲην τιμὴν παρ' ἀνθρώποιϲ φέρει,

1254 *ϲκέλει* RH: *ϲκέλη* cett. 1255 *Ἶριν αὐτήν* obelis notavit van Leeuwen, qui ex. gr. *τὴν ϲεμνόμυθον* vel *αὐτοῖϲι κόμποιϲ* temptavit ⟨ϲ'⟩ *ὅπωϲ* Blaydes 1259 *ἦ μὴν* Bentley: *ἢν μὴ* codd. 1260 *οὔκουν* ΕΓUB: *οὐκοῦν* cett. 1267 suppl. Burges 1271 *ὦ Πειϲέταιρ'⟨ὦ Πειϲέταιρ'⟩* Dobree, deleto *ὦ ϲοφώτατε* 1272 ante *ὦ κλεινότατ'* add. *τριϲμακάρι'* R, *τρίϲμακαρ* Su. κ 57: *ὦ ϲοφώτατ'* om. U, del. Meineke, quem secutus *ὦ τριϲμακάρι', ὦ κλεινότατ', ὦ γλαφυρώτατε,* | *ὦ κατακέλευϲον ⟨κατακέλευϲον⟩* van Leeuwen 1277 *οἰκίϲαϲ*] *οἰκήϲαϲ* R[ac]VAΓ[ac]U

ὅϲουϲ τ’ ἐραϲτὰϲ τῆϲδε τῆϲ χώραϲ ἔχειϲ.
πρὶν μὲν γὰρ οἰκίϲαι ϲε τήνδε τὴν πόλιν,
ἐλακωνομάνουν ἅπαντεϲ ἄνθρωποι τότε,
ἐκόμων, ἐπείνων, ἐρρύπων, ἐϲωκράτων,
ϲκυτάλι’ ἐφόρουν, νυνὶ δ’ ὑποϲτρέψαντεϲ αὖ
ὀρνιθομανοῦϲι, πάντα δ’ ὑπὸ τῆϲ ἡδονῆϲ
ποιοῦϲιν ἅπερ ὄρνιθεϲ ἐκμιμούμενοι.
πρῶτον μὲν εὐθὺϲ πάντεϲ ἐξ εὐνῆϲ ἅμα
ἐπέτονθ’ ἕωθεν ὥϲπερ ἡμεῖϲ ἐπὶ νομόν·
κἀκεῖθεν ἂν κατῆραν εἰϲ τὰ βιβλία·
εἶτ’ ἂν ἐνέμοντ’ ἐνταῦθα τὰ ψηφίϲματα.
ὠρνιθομάνουν δ’ οὕτω περιφανῶϲ ὥϲτε καὶ
πολλοῖϲιν ὀρνίθων ὀνόματ’ ἦν κείμενα.
Πέρδιξ μὲν εἷϲ κάπηλοϲ ὠνομάζετο
χωλόϲ, Μενίππῳ δ’ ἦν Χελιδὼν τοὔνομα,
Ὀπουντίῳ δ’ ὀφθαλμὸν οὐκ ἔχων Κόραξ,
Κορυδὸϲ Φιλοκλέει, Χηναλώπηξ Θεογένει,
Ἶβιϲ Λυκούργῳ, Χαιρεφῶντι Νυκτερίϲ,
Ϲυρακοϲίῳ δὲ Κίττα· Μειδίαϲ δέ γε
Ὄρτυξ ἐκαλεῖτο· καὶ γὰρ ᾔκειν ὄρτυγι
ὑπὸ ϲτυφοκόπου τὴν κεφαλὴν πεπληγμένῳ.
ᾖδον δ’ ὑπὸ φιλορνιθίαϲ πάντεϲ μέλη,
ὅπου χελιδὼν ἦν τιϲ ἐμπεποιημένη

1280 οἰκίϲαι] οἰκῆϲαι VΓ$^{ac}$  1282 ἐϲωκράτων R: -άτουν cett. 1283 ϲκυτάλι’ . . . νυνὶ] ἐϲκυταλιοφόρουν· νῦν δ’ Porson  1284 δ’] θ’ Blaydes  1285 ὄρνιθεϲ] οὔρν- Blaydes  1286 ἅμ’ ⟨ἂν⟩ Blaydes 1288 κατῆραν] κατῇρον Kappeyne van de Coppello  βιβλία R$^{pc}$EAM: βυβ- cett.  1289 ἂν ἐνέμοντ’ Kappeyne van de Coppello: ἀνενέμοντ’ sch.: ἀπενέμοντ’ codd.  1295 Θεογένει Dindorf: Θεα- codd. 1297 Ϲυρακοϲίῳ Γ, sch. VE: Ϲυρακουϲίῳ cett.  Μειδίαϲ] Μιδίαϲ RML  δέ γε Blaydes: δ’ ἐκεῖ codd.  1298–9 καὶ γὰρ . . . πεπληγμένῳ Pisetaero tribuit Bentley  1298 ᾔκειν sch. VΓ, Photius: ᾔκει Su. η 169: ἧκεν fere codd.  1299 ϲτυφοκόπου Brunck: ϲτυφοκόμπου codd., Su. ϲ 1266: ὀρτυγοκόμπου Dionysius ap. sch. VEΓ: ὀρτυγοκόπου Bentley  1301 ἐμπεποιημένη fere vett., L: ἐμπεπλεγμένη ΓB: ἐπτερωμένη U

ἢ πηνέλοψ ἢ χήν τις ἢ περιστερὰ
ἢ πτέρυγες, ἢ πτεροῦ τι καὶ σμικρὸν προσῆν.
τοιαῦτα μὲν τἀκεῖθεν. ἓν δέ σοι λέγω·
ἥξουσ' ἐκεῖθεν δεῦρο πλεῖν ἢ μύριοι
πτερῶν δεόμενοι καὶ τρόπων γαμψωνύχων.
ὥστε πτερῶν σοι τοῖς ἐποίκοις δεῖ ποθέν.

Πε. οὐκ ἆρα μὰ Δί' ἡμῖν ἔτ' ἔργον ἑστάναι.
ἀλλ' ὡς τάχιστα σὺ μὲν ἰὼν τὰς ἀρρίχους
καὶ τοὺς κοφίνους ἅπαντας ἐμπίμπλη πτερῶν·
Μανῆς δὲ φερέτω μοι θύραζε τὰ πτερά·
ἐγὼ δ' ἐκείνων τοὺς προσιόντας δέξομαι.

Χο. τάχα δὴ πολυάνορα τάνδε πόλιν [στρ.
καλεῖ τις ἀνθρώπων.

Πε. τύχη μόνον προσείη.

Χο. κατέχουσι δ' ἔρωτες ἐμᾶς πόλεως.

Πε. θᾶττον φέρειν κελεύω.

Χο. τί γὰρ οὐκ ἔνι ταύτῃ
καλὸν ἀνδρὶ μετοικεῖν;
Σοφία, Πόθος, ἀμβρόσιαι Χάριτες
τό τε τῆς ἀγανόφρονος Ἡσυχίας
εὐήμερον πρόσωπον.

Πε. ὡς βλακικῶς διακονεῖς·
οὐ θᾶττον ἐγκονήσεις;

Χο. φερέτω κάλαθον ταχύ τις πτερύγων, [ἀντ.
σὺ δ' αὖθις ἐξόρμα—

Πε. τύπτων γε τοῦτον ὡδί.

1305 μύριοι] μυρίοι R 1308 οὐκ ἆρα B, Kuster: οὐκ ἄρα cett.: οὔ τἄρα Elmsley 1310 ἐμπίμπλη Cobet: ἐμπίπλη codd. 1313 τάχα Blaydes: ταχὺ codd. δὴ Porson: δ' ἂν codd. 1314 καλεῖ] καλοῖ Γ s.l., Bp ἀνθρώπων ⟨ἂν⟩ suppl. L 1320 ἀμβροσίαι A: -ία cett.: Εὐφροσύνα Blaydes 1321 τῆς] τᾶς Dindorf 1322 εὐήμερον] εὐά- B, Brunck 1325 πτερύγων Porson: πτερῶν P78, codd. 1326 αὖθις Brunck: αὖτις vett.: αὖτις αὖ γ' L

*Χο* *πάνυ γὰρ βραδύϲ ἐϲτί τιϲ ὥϲπερ ὄνοϲ.*
*Πε.* *Μανῆϲ γάρ ἐϲτι δειλόϲ.*
*Χο.* *ϲὺ δὲ τὰ πτερὰ πρῶτον*
*διάθεϲ τάδε κόϲμῳ,*
*τά τε μουϲίχ' ὁμοῦ τά τε μαντικὰ καὶ*
*τὰ θαλάττι'. ἔπειτα δ' ὅπωϲ φρονίμωϲ*
*πρὸϲ ἄνδρ' ὁρῶν πτερώϲειϲ.*
*Πε.* *οὔ τοι μὰ τὰϲ κερχνῆδαϲ ἔτι ϲου ϲχήϲομαι,*
*οὕτωϲ ὁρῶν ϲε δειλὸν ὄντα καὶ βραδύν.*

*ΠΑΤΡΑΛΟΙΑϹ*
*γενοίμαν*
*αἰετὸϲ ὑψιπέταϲ,*
*ὡϲ ἀμποταθείην ὑπὲρ ἀτρυγέτου*
*γλαυκᾶϲ ἐπ' οἶδμα λίμναϲ.*
*Πε.* *ἔοικεν οὐ ψευδαγγελῆϲαι γ' ἄγγελοϲ·*
*ᾄδων γὰρ ὅδε τιϲ αἰετοὺϲ προϲέρχεται.*
*Πα.* *αἰβοῖ·*
*οὐκ ἔϲτιν οὐδὲν τοῦ πέτεϲθαι γλυκύτερον·*
*Πε.* ⟨× – ∪ – × – ∪ – × – ∪ –⟩ 1343a
*Πα.* {*ἐρῶ δ' ἐγώ τι τῶν ἐν ὄρνιϲιν νόμων.*} 1343b
*ὀρνιθομανῶ γὰρ καὶ πέτομαι καὶ βούλομαι*
*οἰκεῖν μεθ' ὑμῶν κἀπιθυμῶ τῶν νόμων.*
*Πε.* *ποίων νόμων; πολλοὶ γὰρ ὀρνίθων νόμοι.*
*ΠΑ.* *πάντων· μάλιϲτα δ' ὅτι καλὸν νομίζεται*
*τὸν πατέρα τοῖϲ ὄρνιϲιν ἄγχειν καὶ δάκνειν.*

1328 *ἐϲτί τιϲ* P78 ut videtur, Bentley: *τιϲ ἐϲτὶν* vett.: *ἐϲτὶν* L 1334 post hunc v. lacunam duo vv. statuunt quidam 1338 *ἀμποταθείην* Shilleto: *ἂν ποτ-* codd. *ὑπὲρ* om. L: *ὕπαρ* Bergk *ἀτρυγέτου* quibusdam suspectum 1340 *ψευδαγγελῆϲαί γ'* Richards: *ψευδαγγελῆϲ εἶν'* codd.: *ψευδαγγελήϲειν* Bentley *ἄγγελοϲ* Dindorf: *ἄ-* codd. 1341 *αἰετοὺϲ*] *αἰετὸϲ* A$\Gamma^{ac}$MB 1343a lacunam statuit Kakridis 1343b v. spurium del. Dobree *ἐγώ τι*] *ἔγωγε* ΓL, sch. EΓ *ὄρνιϲιν* L: -*ϲι* cett. *νόμων*] *νομῶν* $B^{2}$: *νόμῶν* EΓ 1345 *νόμων*] *νομῶν* L: *νόμῶν* $EM^{pc}U$ 1346 *νόμων*] *νομῶν* $V^{ac}\Gamma^{pc}L$: *νόμῶν* EMU *νόμοι*] *νομοί* $RV^{ac}M^{ac}L$: *νόμοί* EΓ 1347 *ὅτι*] *ᾧ* Reiske

Πε. καὶ νὴ Δί' ἀνδρεῖόν γε πάνυ νομίζομεν,
ὃϲ ἂν πεπλήγῃ τὸν πατέρα νεοττὸϲ ὤν.
Πα. διὰ ταῦτα μέντοι δεῦρ' ἀνοικιϲθεὶϲ ἐγὼ
ἄγχειν ἐπιθυμῶ τὸν πατέρα καὶ πάντ' ἔχειν.
Πε. ἀλλ' ἔϲτιν ἡμῖν τοῖϲιν ὄρνιϲιν νόμοϲ
παλαιὸϲ ἐν ταῖϲ τῶν πελαργῶν κύρβεϲιν·
"ἐπὴν ὁ πατὴρ ὁ πελαργὸϲ ἐκπετηϲίμουϲ
πάνταϲ ποιήϲῃ τοὺϲ πελαργιδέαϲ τρέφων,
δεῖ τοὺϲ νεοττοὺϲ τὸν πατέρα πάλιν τρέφειν."
Πα. ἀπέλαυϲά γ' ἆρα νὴ Δί' ἐλθὼν ἐνθαδί,
εἴπερ γέ μοι καὶ τὸν πατέρα βοϲκητέον.
Πε. οὐδέν γ'· ἐπειδήπερ γὰρ ἦλθεϲ, ὦ μέλε,
εὔνουϲ, πτερώϲω ϲ' ὥϲπερ ὄρνιν ὀρφανόν.
ϲοὶ δ', ὦ νεανίϲκ', οὐ κακῶϲ ὑποθήϲομαι,
ἀλλ' οἷάπερ αὐτὸϲ ἔμαθον ὅτε παῖϲ ἦ. ϲὺ γὰρ
τὸν μὲν πατέρα μὴ τύπτε· ταυτηνδὶ λαβὼν
τὴν πτέρυγα καὶ τουτὶ τὸ πλῆκτρον θἠτέρᾳ,
νομίϲαϲ ἀλεκτρυόνοϲ ἔχειν τονδὶ λόφον,
φρούρει, ϲτρατεύου, μιϲθοφορῶν ϲαυτὸν τρέφε.
τὸν πατέρ' ἔα ζῆν· ἀλλ' ἐπειδὴ μάχιμοϲ εἶ,
εἰϲ τἀπὶ Θρᾴκηϲ ἀποπέτου κἀκεῖ μάχου.
Πα. νὴ τὸν Διόνυϲον εὖ γέ μοι δοκεῖϲ λέγειν,
καὶ πείϲομαί ϲοι.
Πε. νοῦν ἄρ' ἕξειϲ νὴ Δία.

ΚΙΝΗϹΙΑϹ

ἀναπέτομαι δὴ πρὸϲ Ὄλυμπον πτερύγεϲϲι κούφαιϲ·

1351 ἀνοικιϲθεὶϲ] ἂν οἰκ- RAL 1353 ὄρνιϲιν VL: -ϲι cett. 1354 ταῖϲ RA, lm. sch. RE: τοῖϲ cett. 1356 πελαργιδέαϲ Sobolevski: -ιδεῖϲ codd. 1358 γ' ἆρα Dobree: γὰρ ἂν RVEΓU et fortasse P78: γὰρ MAL νὴ ⟨τὸν⟩ Δί' L 1359 καὶ post πατέρα transp. van Herwerden 1363 ἦ] ἦν AMU, v.l. ap. sch. V 1364 ταυτηνδὶ Elmsley: ταύτην δὲ vett.: ταύτην δέ γε L 1365 τουτὶ L: τοῦτο vett. 1366 τονδὶ Dindorf: τόνδε τὸν vett.: γε τὸν L 1372 πτερύγεϲϲι] -εϲι $V^{ac}$ML

*πέτομαι δ' ὁδὸν ἄλλοτ' ἐπ' ἄλλαν μελέων—*
Πε. *τουτὶ τὸ πρᾶγμα φορτίου δεῖται πτερῶν.*
Κι. *ἀφόβῳ φρενὶ cώματί τε νέαν ἐφέπων—*
Πε. *ἀcπαζόμεcθα φιλύρινον Κινηcίαν.*
*τί δεῦρο πόδα cὺ κυλλὸν ἀνὰ κύκλον κυκλεῖc;*
Κι. *ὄρνιc γενέcθαι βούλομαι*
*λιγύφθογγοc ἀηδών.*
Πε. *παῦcαι μελῳδῶν, ἀλλ' ὅ τι λέγειc εἰπέ μοι.*
Κι. *ὑπὸ cοῦ πτερωθεὶc βούλομαι μετάρcιοc*
*ἀναπτόμενοc ἐκ τῶν νεφελῶν καινὰc λαβεῖν*
*ἀεροδονήτουc καὶ νιφοβόλουc ἀναβολάc.*
Πε. *ἐκ τῶν νεφελῶν γὰρ ἄν τιc ἀναβολὰc λάβοι;*
Κι. *κρέμαται μὲν οὖν ἐντεῦθεν ἡμῶν ἡ τέχνη.*
*τῶν διθυράμβων γὰρ τὰ λαμπρὰ γίγνεται*
*ἀέρια καὶ cκότι' ἄττα καὶ κυαναυγέα*
*καὶ πτεροδόνητα· cὺ δὲ κλυὼν εἴcει τάχα.*
Πε. *οὐ δῆτ' ἔγωγε.*
Κι. *νὴ τὸν Ἡρακλέα cύ γε.*
*ἅπαντα γὰρ δίειμί cοι τὸν ἀέρα.*
*εἴδωλα πετηνῶν*
*αἰθεροδρόμων*
*οἰωνῶν ταναοδείρων—*
Πε. *ὢ ὄπ.*
Κι. *ἁλίδρομον ἁλάμενοc*
*ἅμ' ἀνέμων πνοαῖcι βαίην.*

1373–4, 1376–7 numeri incerti  1377 *τε νέαν*] *γενεὰν* L, sch. *ἐφέπων*] *ἐπέων* v.l. ap. sch.  1378 *φιλύρινον*] *φελ-* RVL: *φελλ-* E  1380 *λιγύφθογγοc*] *λιγύμυθοc* ML, v.l. ap. sch.: *λιγύμοχθοc* v.l. ap. sch.  1388 *γίγνεται* Brunck: *γιν-* codd.  1389 *cκότι' ἄττα* Dobree: *cκότια* vett.: *cκότιά γε* L: *cκοτεινὰ* Hermann  1390 *κλυὼν* hoc accentu Sommerstein  1393 *πετηνῶν*] *πετεινῶν* Rs.l., AMU  1396 ante *ἁλίδρομον* praebent *τὸν* codd.: del. Dunbar  *ἁλίδρομον* Blaydes: *ἁλάδρομον* vel sim. RVAE: *ἅλα δρόμον* cett.: *ἅλαδε δρόμον* Hermann: (*τὰν*) *ἀναδρομὰν* Sommerstein  *ἁλάμενοc* Laur. ut videtur, AEΓL: *αλα-* R: *ἀλα-* cett.

Πε. νὴ τὸν Δί' ἢ 'γώ ϲου καταπαύϲω τὰϲ πνοάϲ.
Κι. τοτὲ μὲν νοτίαν ϲτείχων πρὸϲ ὁδόν,
τοτὲ δ' αὖ βορέᾳ ϲῶμα πελάζων
ἀλίμενον αἰθέροϲ αὔλακα τέμνων.
χαρίεντά γ', ὦ πρεϲβῦτ', ἐϲοφίϲω καὶ ϲοφά.
Πε. οὐ γὰρ ϲὺ χαίρειϲ πτεροδόνητοϲ γενόμενοϲ;
Κι. ταυτὶ πεποίηκαϲ τὸν κυκλιοδιδάϲκαλον,
ὃϲ ταῖϲι φυλαῖϲ περιμάχητόϲ εἰμ' ἀεί;
Πε. βούλει διδάϲκειν καὶ παρ' ἡμῖν οὖν μένων
Λεωτροφίδῃ χορὸν πετομένων ὀρνέων,
Κρεκοπίδα φυλήν;
Κι. καταγελᾷϲ μου, δῆλοϲ εἶ.
ἀλλ' οὖν ἔγωγ' οὐ παύϲομαι, τοῦτ' ἴϲθ' ὅτι,
πρὶν ἂν πτερωθεὶϲ διαδράμω τὸν ἀέρα.

ϹΥΚΟΦΑΝΤΗϹ

ὄρνιθεϲ τίνεϲ οἵδ' οὐδὲν ἔχοντεϲ πτεροποίκιλοι,
τανυϲίπτερε ποικίλα χελιδοῖ;
Πε. τουτὶ τὸ κακὸν οὐ φαῦλον ἐξεγρήγορεν.
ὅδ' αὖ μινυρίζων δεῦρό τιϲ προϲέρχεται.
Ϲυ. τανυϲίπτερε ποικίλα μάλ' αὖθιϲ.
Πε. εἰϲ θοἰμάτιον τὸ ϲκόλιον ᾄδειν μοι δοκεῖ,
δεῖϲθαι δ' ἔοικεν οὐκ ὀλίγων χελιδόνων.
Ϲυ. τίϲ ὁ πτερῶν δεῦρ' ἐϲτὶ τοὺϲ ἀφικνουμένουϲ;
Πε. ὁδὶ πάρεϲτιν· ἀλλ' ὅτου δεῖ χρὴ λέγειν.
Ϲυ. πτερῶν πτερῶν δεῖ· μὴ πύθῃ τὸ δεύτερον.
Πε. μῶν εὐθὺ Πελλήνηϲ πέτεϲθαι διανοεῖ;
Ϲυ. μὰ Δί', ἀλλὰ κλητήρ εἰμι νηϲιωτικὸϲ
καὶ ϲυκοφάντηϲ—
Πε. ὦ μακάριε τῆϲ τέχνηϲ.
Ϲυ. καὶ πραγματοδίφηϲ. εἶτα δέομαι πτερὰ λαβὼν
κύκλῳ περιϲοβεῖν τὰϲ πόλειϲ καλούμενοϲ.

1397 ἢ 'γώ Dindorf: ἠγώ RVU: ἢ γώ EM: ἐγώ ΓL: γώ A 1407 Κρεκοπίδα Blaydes: Κεκροπίδα codd. 1410 τίνεϲ] τινεϲ Dindorf 1419 δεῖ χρὴ] χρὴ δεῖ Laur. AEML

Πε. ὑπαὶ πτερύγων τι προϲκαλεῖ ϲοφώτερον;
Ϲυ. μὰ Δί', ἀλλ' ἵν' οἱ λῃϲταί τε μὴ λυπῶϲί με,
μετὰ τῶν γεράνων τ' ἐκεῖθεν ἀναχωρῶ πάλιν,
ἀνθ' ἕρματοϲ πολλὰϲ καταπεπωκὼϲ δίκαϲ.
Πε. τουτὶ γὰρ ἐργάζει ϲὺ τοὔργον; εἰπέ μοι,
νεανίαϲ ὢν ϲυκοφαντεῖϲ τοὺϲ ξένουϲ;
Ϲυ. τί γὰρ πάθω; ϲκάπτειν γὰρ οὐκ ἐπίϲταμαι.
Πε. ἀλλ' ἔϲτιν ἕτερα νὴ Δί' ἔργα ϲώφρονα,
ἀφ' ὧν διαζῆν ἄνδρα χρῆν τοϲουτονὶ
ἐκ τοῦ δικαίου μᾶλλον ἢ δικορραφεῖν.
Ϲυ. ὦ δαιμόνιε, μὴ νουθέτει μ', ἀλλὰ πτέρου.
Πε. νῦν τοι λέγων πτερῶ ϲε.
Ϲυ. καὶ πῶϲ ἂν λόγοιϲ
ἄνδρα πτερώϲειαϲ ϲύ;
Πε. πάντεϲ τοι λόγοιϲ
ἀναπτεροῦνται.
Ϲυ. πάντεϲ;
Πε. οὐκ ἀκήκοαϲ,
ὅταν λέγωϲιν οἱ πατέρεϲ ἑκάϲτοτε
τῶν μειρακίων ἐν τοῖϲι κουρείοιϲ ταδί;
"δεινῶϲ γέ μου τὸ μειράκιον Διειτρέφηϲ
λέγων ἀνεπτέρωκεν ὥϲθ' ἱππηλατεῖν."
ὁ δέ τιϲ τὸν αὑτοῦ φηϲιν ἐπὶ τραγῳδίᾳ
ἀνεπτερῶϲθαι καὶ πεποτῆϲθαι τὰϲ φρέναϲ.
Ϲυ. λόγοιϲι γ' ἆρα καὶ πτεροῦνται;
Πε. φήμ' ἐγώ.

1426 ὑπαὶ Laur. et codd. plerique: ὑπὸ AB$^{ac}$ τι R Laur. E: τί cett. προϲκαλεῖ vett.: προϲκαλεῖν L 1427 τε Hermann: γε codd. λυπῶϲί με Laur. AEL: λυπῶϲί γ' ἐμέ R: λυπῶϲί γε με VM: λυπῶϲιν ἐμέ U 1434 χρῆν] χρὴ AMC 1437 τοι] τι U: ταῦτα L 1438 τοι Dobree, Elmsley: τοῖϲ codd. 1441 τῶν μειρακίων Dobree: τοῖϲ μειρακίοιϲ codd.: τοῖϲ φυλέταιϲ Meineke: τοῖϲ δημόταιϲ Kock 1442 γε Bentley: τε codd., Su. δ 1053, π 3259 Διειτρέφηϲ Elmsley: ὁ Διιτρέφηϲ codd., Su. π 3259 1444 αὑτοῦ B: αὐτοῦ cett. 1446 γ' ἆρα Vv17B: τ' ἆρα vel τ' ἄρα vett. L

ὑπὸ γὰρ λόγων ὁ νοῦς τε μετεωρίζεται
ἐπαίρεταί τ' ἄνθρωπος. οὕτω καὶ c' ἐγὼ
ἀναπτερώcας βούλομαι χρηcτοῖς λόγοις
τρέψαι πρὸς ἔργον νόμιμον.
Cυ. ἀλλ' οὐ βούλομαι.
Πε. τί δαὶ ποιήcεις;
Cυ. τὸ γένος οὐ καταιcχυνῶ.
παππῷος ὁ βίος cυκοφαντεῖν ἐcτί μοι.
ἀλλὰ πτέρου με ταχέcι καὶ κούφοις πτεροῖς
ἱέρακος ἢ κερχνῇδος, ὡς ἂν τοὺς ξένους
καλεcάμενος κᾆτ' ἐγκεκληκὼς ἐνθαδὶ
κατ' αὖ πέτωμαι πάλιν ἐκεῖcε.
Πε. μανθάνω.
ὡδὶ λέγεις· ὅπως ἂν ὠφλήκῃ δίκην
ἐνθάδε πρὶν ἥκειν ὁ ξένος.
Cυ. πάνυ μανθάνεις.
Πε. κᾄπειθ' ὁ μὲν πλεῖ δεῦρο, cὺ δ' ἐκεῖc' αὖ πέτει
ἁρπαcόμενος τὰ χρήματ' αὐτοῦ.
Cυ. πάντ' ἔχεις.
βέμβικος οὐδὲν διαφέρειν δεῖ.
Πε. μανθάνω
βέμβικα. καὶ μὴν ἔcτι μοι νὴ τὸν Δία
κάλλιcτα Κορκυραῖα τοιαυτὶ πτερά.
Cυ. οἴμοι τάλας, μάcτιγ' ἔχεις.
Πε. πτερὼ μὲν οὖν,
οἷcί cε ποιήcω τήμερον βεμβικιᾶν.
Cυ. οἴμοι τάλας.
Πε. οὐ πτερυγιεῖς ἐντευθενί;

1447 τε Musurus: γε B, Orion *Flor.* 251: om. vett. L 1448 τ' ἄ-] θ' ἄ- Hirschig 1453 πτέρου με] πτεροῦμαι RA 1454 ὡς] τὼς Laur.: ὅπως Dunbar 1456 κατ' Dobree: κᾆτ' codd. 1457 ὠφλήκῃ RV: -κει A: ὀφλήcῃ UL 1458 μανθάνεις AUL: μανθάνω cett. 1459 ἐκεῖc' UL: ἐκεῖ cett. 1463 Κορκυραῖα RVEL: Κερκ- AMU

οὐκ ἀπολιβάξειϲ, ὦ κάκιϲτ᾿ ἀπολούμενοϲ;
πικρὰν τάχ᾿ ὄψει ϲτρεψοδικοπανουργίαν.
ἀπίωμεν ἡμεῖϲ ξυλλαβόντεϲ τὰ πτερά.

Χο. πολλὰ δὴ καὶ καινὰ καὶ θαυ- [ϲτρ.
μάϲτ᾿ ἐπεπτόμεϲθα καὶ
δεινὰ πράγματ᾿ εἴδομεν.
ἔϲτι γὰρ δένδρον πεφυκὸϲ
ἔκτοπόν τι Καρδίαϲ ἀ-
πωτέρω Κλεώνυμοϲ,
χρήϲιμον μὲν οὐδέν, ἄλ-
λωϲ δὲ δειλὸν καὶ μέγα.
τοῦτο ⟨τοῦ⟩ μὲν ἦροϲ ἀεὶ
βλαϲτάνει καὶ ϲυκοφαντεῖ,
τοῦ δὲ χειμῶνοϲ πάλιν τὰϲ
ἀϲπίδαϲ φυλλορροεῖ.

ἔϲτι δ᾿ αὖ χώρα πρὸϲ αὐτῷ [ἀντ.
τῷ ϲκότῳ πόρρω τιϲ ἐν
τῇ λύχνων ἐρημίᾳ,
ἔνθα τοῖϲ ἥρωϲιν ἄνθρω-
ποι ξυναριϲτῶϲι καὶ ξύν-
ειϲι πλὴν τῆϲ ἑϲπέραϲ.
τηνικαῦτα δ᾿ οὐκέτ᾿ ἦν
ἀϲφαλὲϲ ξυντυγχάνειν.
εἰ γὰρ ἐντύχοι τιϲ ἥρῳ
τῶν βροτῶν νύκτωρ Ὀρέϲτῃ,
γυμνὸϲ ἦν πληγεὶϲ ὑπ᾿ αὐτοῦ
πάντα τἀπιδέξια.

1467 ἀπολιβάξειϲ RE, Su. α 3392 codd. plerique, ο 856 codd. plerique: -λιβάζειϲ cett., Su. α 3392 codd. FS, ο 856 cod. S   ἀπολούμενοϲ] -μενε G, Su. α 3392 cod. M$^{pc}$   1477 δειλὸν] δεινὸν Su. ε 669   1478 suppl. Grynaeus   μέν ⟨γε⟩ L: μὲν οὖν Su.   1485 ἄνθρωποι] ἄ- van Herwerden   1490 ἐντύχοι RVA, Su. ο 538: ἐντύχῃ EMUL   ἥρῳ Bentley: ἥρωι codd.   1493 τἀπιδέξια] ταπίδεξια R: τἀντιδέξια ΓΒ

ΠΡΟΜΗΘΕΥϹ

οἴμοι τάλαϲ, ὁ Ζεὺϲ ὅπωϲ μή μ' ὄψεται.
ποῦ Πειϲέταιρόϲ ἐϲτ';
Πε. ἔα, τουτὶ τί ἦν;
τίϲ ὁ ϲυγκαλυμμόϲ;
Πρ. τῶν θεῶν ὁρᾷϲ τινα
ἐμοῦ κατόπιν ἐνταῦθα;
Πε. μὰ Δί' ἐγὼ μὲν οὔ.
τίϲ δ' εἶ ϲύ;
Πρ. πηνίκ' ἐϲτὶν ἄρα τῆϲ ἡμέραϲ;
Πε. ὁπηνίκα; ϲμικρόν τι μετὰ μεϲημβρίαν.
ἀλλὰ ϲὺ τίϲ εἶ;
Πρ. βουλυτὸϲ ἢ περαιτέρω;
Πε. οἴμ' ὡϲ βδελύττομαί ϲε.
Πρ. τί γὰρ ὁ Ζεὺϲ ποιεῖ;
ἀπαιθριάζει τὰϲ νεφέλαϲ ἢ ξυννέφει;
Πε. οἴμωζε μεγάλ'.
Πρ. οὕτω μὲν ἐκκεκαλύψομαι.
Πε. ὦ φίλε Προμηθεῦ.
Πρ. παῦε παῦε, μὴ βόα.
Πε. τί γάρ ἐϲτι;
Πρ. ϲίγα, μὴ κάλει μου τοὔνομα·
ἀπὸ γὰρ ὀλεῖϲ, εἴ μ' ἐνθάδ' ὁ Ζεὺϲ ὄψεται.
ἀλλ' ἵνα φράϲω ϲοι πάντα τἄνω πράγματα,
τουτὶ λαβών μου τὸ ϲκιάδειον ὑπέρεχε,
ἄνωθεν ὡϲ ἂν μή μ' ὁρῶϲιν οἱ θεοί.
Πε. ἰοὺ ἰού·
εὖ γ' ἐπενόηϲαϲ αὐτὸ καὶ προμηθικῶϲ.
ὑπόδυθι ταχὺ δὴ κᾆτα θαρρήϲαϲ λέγε.

1495 ἐϲτ' Bentley: ἐϲτι(ν) codd., quod recipere possis si aut vox ἔα monosyllaba est aut scissum quem vocant anapaestum toleres 1496 ὁ ϲυγκαλυμμόϲ] οὑγκαλυμμόϲ Dawes 1502 ξυννέφει Cobet: ξυννεφεῖ (vel ϲυν-) codd., Su. α 2957 1503 ἐκκεκαλύψομαι] ἐκκαλύψομαι RML, lm. sch. RE 1506 ὀλεῖϲ Brunck, Porson: μ' ὀλέϲει R: ὀλέϲει cett. vett.: ὀλέϲειϲ L 1508 post ὑπέρεχε interpunxit Schnitzer

*Πρ.* ἄκουε δή νυν.
*Πε.* ὡς ἀκούοντος λέγε.
*Πρ.* ἀπόλωλεν ὁ Ζεύς.
*Πε.* πηνίκ' ἄττ' ἀπώλετο;
*Πρ.* ἐξ οὗπερ ὑμεῖς ᾠκίςατε τὸν ἀέρα.
θύει γὰρ οὐδεὶς οὐδὲν ἀνθρώπων ἔτι
θεοῖςιν, οὐδὲ κνῖςα μηρίων ἄπο
ἀνῆλθεν ὡς ἡμᾶς ἀπ' ἐκείνου τοῦ χρόνου,
ἀλλ' ὡςπερεὶ Θεςμοφορίοις νηςτεύομεν
ἄνευ θυηλῶν· οἱ δὲ βάρβαροι θεοὶ
πεινῶντες ὥςπερ Ἰλλυριοὶ κεκριγότες
ἐπιςτρατεύςειν φάς' ἄνωθεν τῷ Διί,
εἰ μὴ παρέξει τἀμπόρι' ἀνεῳγμένα,
ἵν' εἰςάγοιντο ςπλάγχνα κατατετμημένα.
*Πε.* εἰςὶν γὰρ ἕτεροι βάρβαροι θεοί τινες
ἄνωθεν ὑμῶν;
*Πρ.* οὐ γάρ εἰςι βάρβαροι,
ὅθεν ὁ πατρῷός ἐςτιν Ἐξηκεςτίδῃ;
*Πε.* ὄνομα δὲ τούτοις τοῖς θεοῖς τοῖς βαρβάροις
τί ἐςτιν;
*Πρ.* ὅ τι ἐςτίν; Τριβαλλοί.
*Πε.* μανθάνω.
ἐντεῦθεν ἆρα τοὐπιτριβείης ἐγένετο;
*Πρ.* μάλιςτα πάντων. ἓν δέ ςοι λέγω ςαφές·
ἥξουςι πρέςβεις δεῦρο περὶ διαλλαγῶν
παρὰ τοῦ Διὸς καὶ τῶν Τριβαλλῶν τῶν ἄνω·
ὑμεῖς δὲ μὴ ςπένδεςθ', ἐὰν μὴ παραδιδῷ
τὸ ςκῆπτρον ὁ Ζεὺς τοῖςιν ὄρνιςιν πάλιν,

1514 ἄττ' fere vett.: ἄρ' U: ἆρ' L 1519 ὡςπερεὶ] ὥςπερ ἐν Su. θ 270 Θεςμοφορίοις L: -φόροις E: -φορίοιςι fere cett. 1522 ἐπιςτρατεύςειν RVAE: -εύειν cett. 1524 εἰςάγοιντο] εἰςάγοιτο V 1525 εἰςὶν RL: εἰςὶ cett. 1527 Ἐξηκεςτίδῃ Brunck: -ίδης codd. 1529 alterum ἐςτίν REL: ἐςτί cett. 1534 ςπένδεςθ' Γ, cf. sch. U: ςπένδηςθ' cett. 1535 ὄρνιςιν A, E s.l., L: -ςι cett.

καὶ τὴν Βαϲίλειάν ϲοι γυναῖκ' ἔχειν διδῷ.
Πε. τίϲ ἐϲτιν ἡ Βαϲίλεια;
Πρ. καλλίϲτη κόρη,
ἥπερ ταμιεύει τὸν κεραυνὸν τοῦ Διὸϲ
καὶ τἄλλ' ἁπαξάπαντα, τὴν εὐβουλίαν,
τὴν εὐνομίαν, τὴν ϲωφροϲύνην, τὰ νεώρια,
τὴν λοιδορίαν, τὸν κωλακρέτην, τὰ τριώβολα.
Πε. ἅπαντα γ' ἆρ' αὐτῷ ταμιεύει;
Πρ. φήμ' ἐγώ.
ἣν γ' ἢν ϲὺ παρ' ἐκείνου παραλάβῃϲ, πάντ' ἔχειϲ.
τούτων ἕνεκα δεῦρ' ἦλθον, ἵνα φράϲαιμί ϲοι.
ἀεί ποτ' ἀνθρώποιϲ γὰρ εὔνουϲ εἴμ' ἐγώ.
Πε. μόνον θεῶν γὰρ διὰ ϲ' ἀπανθρακίζομεν.
Πρ. μιϲῶ δ' ἅπανταϲ τοὺϲ θεούϲ, ὡϲ οἶϲθα ϲύ.
Πε. νὴ τὸν Δί' ἀεὶ δῆτα θεομιϲὴϲ ἔφυϲ,
Τίμων καθαρόϲ.
Πρ. ἀλλ' ὡϲ ἂν ἀποτρέχω πάλιν
φέρε τὸ ϲκιάδειον, ἵνα με κἂν ὁ Ζεὺϲ ἴδῃ
ἄνωθεν, ἀκολουθεῖν δοκῶ κανηφόρῳ.
Πε. καὶ τὸν δίφρον γε διφροφόρει τονδὶ λαβών.

Χο. πρὸϲ δὲ τοῖϲ Ϲκιάποϲιν λί- [ϲτρ.
μνῃ τιϲ ἔϲτ', ἄλουτοϲ οὗ
ψυχαγωγεῖ Ϲωκράτηϲ·
ἔνθα καὶ Πείϲανδροϲ ἦλθε
δεόμενοϲ ψυχὴν ἰδεῖν ἣ
ζῶντ' ἐκεῖνον προὔλιπε,
ϲφάγι' ἔχων κάμηλον ἀ-
μνόν τιν', ἧϲ λαιμοὺϲ τεμὼν ὥϲ-

1536 Βαϲίλειαν R: Βαϲιλείαν cett. 1537 Βαϲίλεια R: Βαϲιλεία cett. 1538 ταμιεύει vett.: κεραμεύει L 1542 γ' ἆρ' VAΓUL: γὰρ REM 1543 παραλάβῃϲ] λάβῃϲ ΓUL πάντ'] ἅπαντ' L 1548 Δί' ἀεὶ (vel αἰεὶ) ΓUL: Δί' εἰ A: Δία εἰ cett. 1549 Τίμων καθαρόϲ Pisetaero continuavit Kock, Prometheo plerique 1550 φέρε Brunck: φέρε μοι codd. τὸ vett.: om. L

*περ ⟨ποθ'⟩ οὐδυϲϲεὺϲ ἀπῆλθε,*
*κᾆτ' ἀνῆλθ' αὐτῷ κάτωθεν*
*πρὸϲ τὸ λαῖτμα τῆϲ καμήλου*
*Χαιρεφῶν ἡ νυκτερίϲ.*

*ΠΟϹΕΙΔΩΝ*

*τὸ μὲν πόλιϲμα τῆϲ Νεφελοκοκκυγίαϲ*
*ὁρᾶν τοδὶ πάρεϲτιν, οἶ πρεϲβεύομεν.*
*οὗτοϲ, τί δρᾷϲ; ἐπαρίϲτερ' οὕτωϲ ἀμπέχει;*
*οὐ μεταβαλεῖϲ θοἰμάτιον ὧδ' ἐπιδέξια;*
*τί, ὦ κακόδαιμον; Λαιϲποδίαϲ εἶ τὴν φύϲιν;*
*ὦ δημοκρατία, ποῖ προβιβᾷϲ ἡμᾶϲ ποτε,*
*εἰ τουτονὶ κεχειροτονήκαϲ' οἱ θεοί;*
*ἕξειϲ ἀτρέμαϲ; οἴμωζε· πολὺ γὰρ δή ϲ' ἐγὼ*
*ἑόρακα πάντων βαρβαρώτατον θεῶν.*
*ἄγε δή, τί δρῶμεν, Ἡράκλειϲ;*

*ΗΡΑΚΛΗϹ*

*ἀκήκοαϲ*
*ἐμοῦ γ', ὅτι τὸν ἄνθρωπον ἄγχειν βούλομαι,*
*ὅϲτιϲ ποτ' ἔϲθ' ὁ τοὺϲ θεοὺϲ ἀποτειχίϲαϲ.*

*Πο.* *ἀλλ', ὠγάθ', ᾑρήμεϲθα περὶ διαλλαγῶν*
*πρέϲβειϲ.*

*Ηρ.* *διπλαϲίωϲ μᾶλλον ἄγχειν μοι δοκεῖ.*

*Πε.* *τὴν τυρόκνηϲτίν τιϲ δότω· φέρε ϲίλφιον·*
*τυρὸν φερέτω τιϲ· πυρπόλει τοὺϲ ἄνθρακαϲ.*

*Πο.* *τὸν ἄνδρα χαίρειν οἱ θεοὶ κελεύομεν*

1561 suppl. Hermann *οὐδυϲϲεὺϲ* Bentley: *Ὀδυϲϲεὺϲ* codd. 1563 *λαῖτμα* V, lm. sch. R, Su. *λ* 185 cod. A: *λαῖμα* cett.: *δέρμα* v.l. ap. sch.: (*τὸν*) *ἀμνὸν* Alink 1566 *οἶ*] *ᾗ* *Γ*UL 1567 *ἐπαρίϲτερ'* AE: *ἐπαριϲτέρ'* RV: *ἐπ' ἀριϲτέρ'* cett. 1568 *ὧδ'* V: *ὡϲ δ'* Α*Γ*MU: *ὡϲ* REL *ἐπιδέξια* A: *ἐπιδεξιά* R[ac]L: *ἐπιδεξιάν* R[pc]: *ἐπὶ δεξιάν* V: *ἐπὶ δεξιά* cett. 1572 *ἕξειϲ ἀτρέμαϲ;* Neptuno continuavit Lenting 1573 *ἑόρακα* V[ac]E: *ἑώρακα* cett. 1575 *γ'* *Γ*UL: om. R: *θ'* cett. 1579 *τιϲ* L: *τίϲ μοι* *Γ*U: *μοι* cett.

τρεῖc ὄντεc ἡμεῖc.
Πε. ἀλλ' ἐπικνῶ τὸ cίλφιον.
Ηρ. τὰ δὲ κρέα τοῦ ταῦτ' ἐcτίν;
Πε. ὄρνιθέc τινεc
ἐπανιcτάμενοι τοῖc δημοτικοῖcιν ὀρνέοιc
ἔδοξαν ἀδικεῖν.
Ηρ. εἶτα δῆτα cίλφιον
ἐπικνῇc πρότερον αὐτοῖcιν;
Πε. ὦ χαῖρ', Ἡράκλειc.
τί ἐcτι;
Πο. πρεcβεύοντεc ἡμεῖc ἥκομεν
παρὰ τῶν θεῶν περὶ πολέμου καταλλαγῆc.
Πε. ἔλαιον οὐκ ἔνεcτιν ἐν τῇ ληκύθῳ.
Ηρ. καὶ μὴν τά γ' ὀρνίθεια λιπάρ' εἶναι πρέπει.
Πο. ἡμεῖc τε γὰρ πολεμοῦντεc οὐ κερδαίνομεν,
ὑμεῖc τ' ἂν ἡμῖν τοῖc θεοῖc ὄντεc φίλοι
ὄμβριον ὕδωρ ἂν εἴχετ' ἐν τοῖc τέλμαcιν,
ἀλκυονίδαc τ' ἂν ἤγεθ' ἡμέραc ἀεί.
τούτων πέρι πάντων αὐτοκράτορεc ἥκομεν.
Πε. ἀλλ' οὔτε πρότερον πώποθ' ἡμεῖc ἤρξαμεν
πολέμου πρὸc ὑμᾶc, νῦν τ' ἐθέλομεν, εἰ δοκεῖ,
ἐὰν τὸ δίκαιον ἀλλὰ νῦν ἐθέλητε δρᾶν,
cπονδὰc ποιεῖcθαι. τὰ δὲ δίκαι' ἐcτὶν ταδί·
τὸ cκῆπτρον ἡμῖν τοῖcιν ὄρνιcιν πάλιν
τὸν Δί' ἀποδοῦναι· κἂν διαλλαττώμεθα
ἐπὶ τοῖcδε, τοὺc πρέcβειc ἐπ' ἄριcτον καλῶ.
Ηρ. ἐμοὶ μὲν ἀποχρῇ ταῦτα, καὶ ψηφίζομαι.

1582 ἐπικνῶ] ἐπίκνη scholiastam legisse censuit Meineke 1584 δημοτικοῖcιν L: -ικοῖc vett. 1586 ἐπικνῇc Cobet: ἐπίκνηc vett.: ἐπικνᾷc L 1588 πολέμου L: τοῦ πολέμου καὶ fere vett.: τοῦ πολέμου καὶ τῆc R 1590 ὀρνίθεια Bentley: ὀρνίθια codd. 1598 τὸ Elmsley e sch.: τι codd. ἀλλὰ Tyrwhitt: ἄλλο codd. 1599 ἐcτὶν REΓ$^{pc}$L: ἐcτὶ VAMΓ$^{ac}$ 1600 ὄρνιcιν Γ$^{pc}$L: -cι cett. 1601 κἂν Seager: καὶ codd. διαλλαττώμεθα] -όμεθα ΑΓU: -οίμεθ' ἂν B 1603 ἀποχρῇ Elmsley: ἀπόχρη codd.

Πο. τί, ὦ κακόδαιμον; ἠλίθιοϲ καὶ γάϲτριϲ εἶ.
ἀποϲτερεῖϲ τὸν πατέρα τῆϲ τυραννίδοϲ;
Πε. ἄληθεϲ; οὐ γὰρ μεῖζον ὑμεῖϲ οἱ θεοὶ
ἰϲχύϲετ', ἢν ὄρνιθεϲ ἄρξωϲιν κάτω;
νῦν μέν γ' ὑπὸ ταῖϲ νεφέλαιϲιν ἐγκεκρυμμένοι
κύψαντεϲ ἐπιορκοῦϲιν ὑμᾶϲ οἱ βροτοί·
ἐὰν δὲ τοὺϲ ὄρνιϲ ἔχητε ϲυμμάχουϲ,
ὅταν ὀμνύῃ τιϲ τὸν κόρακα καὶ τὸν Δία,
ὁ κόραξ παρελθὼν τοὐπιορκοῦντοϲ λάθρᾳ
προϲπτάμενοϲ ἐκκόψει τὸν ὀφθαλμὸν θενών.
Πο. νὴ τὸν Ποϲειδῶ ταῦτά γέ τοι καλῶϲ λέγειϲ.
Ηρ. κἀμοὶ δοκεῖ.
Πε. τί δαὶ ϲὺ φῄϲ;

ΤΡΙΒΑΛΛΟϹ

νά, Βαιϲατρεῦ.
Ηρ. ὁρᾷϲ, ἐπαινεῖ χοὗτοϲ.
Πε. ἕτερόν νυν ἔτι
ἀκούϲαθ' ὅϲον ὑμᾶϲ ἀγαθὸν ποιήϲομεν.
ἐάν τιϲ ἀνθρώπων ἱερεῖόν τῳ θεῶν
εὐξάμενοϲ εἶτα διαϲοφίζηται λέγων·
"μενετοὶ θεοί", καὶ μἀποδιδῷ μιϲητίᾳ,
ἀναπράξομεν καὶ ταῦτα.
Πο. φέρ' ἴδω, τῷ τρόπῳ;
Πε. ὅταν διαριθμῶν ἀργυρίδιον τύχῃ
ἄνθρωποϲ οὗτοϲ, ἢ καθῆται λούμενοϲ,

1605 τυραννίδοϲ] βαϲιλείαϲ R 1607 ὄρνιθεϲ] οὗρν- Blaydes ἄρξωϲιν REUL: -ϲι cett. 1609 κύψαντεϲ] κλέψαντεϲ van Herwerden 1612–13 om. L, add. in margine manus recentior 1612 παρελθὼν] παρ' αὐτῶν van Herwerden 1613 θενών Dindorf: θένων codd. plerique: ϲθένων V: θέλων M 1615 νά, Βαιϲατρεῦ Bayard: ναβαιϲατρεῦ fere vett. (νά- V) L: μαβαιϲατρεῦ U: βαβακατρεῦ Su. β 2 1618 τῳ $B^{pc}$: τῶ vel τῷ cett. θεῶν B: θεῷ cett. 1620 μιϲητίᾳ Bentley e Su. μ 607 codd. $A^{pc}$F: μιϲητίαν fere codd. 1623 ἄνθρωποϲ Dindorf: ἅ- codd.

*καταπτάμενοc ἰκτῖνοc ἀναρπάcαc λάθρᾳ*
*προβάτοιν δυοῖν τιμὴν ἀνοίcει τῷ θεῷ.*
Ηρ. *τὸ cκῆπτρον ἀποδοῦναι πάλιν ψηφίζομαι*
*τούτοιc ἐγώ.*
Πο. *καὶ τὸν Τριβαλλόν νυν ἐροῦ.*
Ηρ. *ὁ Τριβαλλόc, οἰμώζειν δοκεῖ coι;*
Τρ. *caὺ νάκα*
*βακτᾶρι κροῦcα.*
Ηρ. *φηcί μ' εὖ λέγειν πάνυ.*
Πο. *εἴ τοι δοκεῖ cφῷν ταῦτα, κἀμοὶ cυνδοκεῖ.*
*οὗτοc, δοκεῖ δρᾶν ταῦτα τοῦ cκήπτρου πέρι.*
Πε. *καὶ νὴ Δί' ἕτερόν γ' ἐcτὶν οὗ 'μνήcθην ἐγώ.*
*τὴν μὲν γὰρ Ἕραν παραδίδωμι τῷ Διί,*
*τὴν δὲ Βαcίλειαν τὴν κόρην γυναῖκ' ἐμοὶ*
*ἐκδοτέον ἐcτίν.*
Πο. *οὐ διαλλαγῶν ἐρᾷc.*
*ἀπίωμεν οἴκαδ' αὖθιc.*
Πε. *ὀλίγον μοι μέλει.*
*μάγειρε, τὸ κατάχυcμα χρὴ ποιεῖν γλυκύ.*
Ηρ. *ὦ δαιμόνι' ἀνθρώπων Πόcειδον, ποῖ φέρει;*
*ἡμεῖc περὶ γυναικὸc μιᾶc πολεμήcομεν;*
Πο. *τί δαὶ ποιῶμεν;*
Ηρ. *ὅ τι; διαλλαττώμεθα.*
Πο. *τί, ᾠζύρ'; οὐκ οἶcθ' ἐξαπατώμενοc πάλαι;*
*βλάπτειc δέ τοι cὺ cαυτόν. ἢν γὰρ ἀποθάνῃ*
*ὁ Ζεὺc παραδοὺc τούτοιcι τὴν τυραννίδα,*
*πένηc ἔcει cύ· coῦ γὰρ ἅπαντα γίγνεται*

1624 *ἀναρπάcαc* Bergk: *κἀναρπάcαc* vel sim. RVAEM: *ἁρπάcαc* ΓUL 1628 *caὺ νάκα* distinxit van Leeuwen: *caύνακα* vel *cauνάκα* fere codd. 1629 *βακταρικροῦcα* sine distinctione codd. praeter ΓU *φηcί μ'* Dobree: *φηcὶν* codd. 1630 *τοι* RAΓE: *τι* VMU: *τινι* L 1631 v. Herculi tribuere possis *οὗτοc*] *οὕτωc* Brunck 1634 *Βαcίλειαν* R: *Βαcιλείαν* cett. 1636 *αὖθιc* L: *αὖτιc* vett. 1639 *περὶ* post *γυναικὸc* transp. Meineke 1641 *τί*] *τί δαί* R: *τί δ'* Bergk 1644 *coῦ*] *coὶ* B: *cὰ* Lenting *γίγνεται* Brunck: *γίνεται* codd.

τὰ χρήμαθ', ὅς' ἂν ὁ Ζεὺς ἀποθνῄςκων καταλίπῃ.
Πε. οἴμοι τάλας, οἷόν ςε περιςοφίζεται.
δεῦρ' ὡς ἔμ' ἀποχώρηςον, ἵνα τί ςοι φράςω.
διαβάλλεταί ς' ὁ θεῖος, ὦ πόνηρε ςύ.
τῶν γὰρ πατρῴων οὐδ' ἀκαρῆ μέτεςτί ςοι
κατὰ τοὺς νόμους· νόθος γὰρ εἶ κοὐ γνήςιος.
Ηρ. ἐγὼ νόθος; τί λέγεις;
Πε. ςὺ μέντοι νὴ Δία
ὤν γ' ἐκ ξένης γυναικός. ἢ πῶς ἄν ποτε
ἐπίκληρον εἶναι τὴν Ἀθηναίαν δοκεῖς,
οὖςαν θυγατέρ', ὄντων ἀδελφῶν γνηςίων;
Ηρ. τί δ' ἢν ὁ πατὴρ ἐμοὶ διδῷ τὰ χρήματα
νοθεῖ' ἀποθνῄςκων;
Πε. ὁ νόμος αὐτὸν οὐκ ἐᾷ.
οὗτος ὁ Ποςειδῶν πρῶτος, ὃς ἐπαίρει ςε νῦν,
ἀνθέξεταί ςοι τῶν πατρῴων χρημάτων,
φάςκων ἀδελφὸς αὐτὸς εἶναι γνήςιος.
ἐρῶ δὲ δὴ καὶ τὸν Cόλωνός ςοι νόμον·
"νόθῳ δὲ μὴ εἶναι ἀγχιςτείαν παίδων ὄντων
γνηςίων· ἐὰν δὲ παῖδες μὴ ὦςι γνήςιοι, τοῖς
ἐγγυτάτω γένους μετεῖναι τῶν χρημάτων."
Ηρ. ἐμοὶ δ' ἄρ' οὐδὲν τῶν πατρῴων χρημάτων
μέτεςτιν;
Πε. οὐ μέντοι μὰ Δία. λέξον δέ μοι,
ἤδη ς' ὁ πατὴρ εἰςήγαγ' εἰς τοὺς φράτερας;
Ηρ. οὐ δῆτ' ἐμέ γε. καὶ τοῦτ' ἐθαύμαζον πάλαι.
Πε. τί δῆτ' ἄνω κέχηνας ᾄκειαν βλέπων;

1652 γ' ἐκ Cobet: γε codd. 1656 νοθεῖ' ἀπο- Dаubuz e sch., Poll. 3.21, Harpocr., Su. ν 448: νόθῳ 'ξαπο- vel sim. codd. 1658 ςοι Kock: ςου codd. 1661 παίδων ὄντων γνηςίων del. Hamaker: sed verba praebent codd. et P69 1666 ἐγγυτάτω] ἐγγύτατα P69 ante γένους add. τοῦ UL 1669 φράτερας P69, Dindorf: φράτορες codd. 1670 τοῦτ' P69, E: δῆτ' ΓUL: δῆτά τ' RVA 1671 αἴκειαν (sic) P69, Lenting: αἰκίαν fere vett.: αἰτίαν AL

ἀλλ' ἣν μεθ' ἡμῶν ᾖϲ, καταϲτήϲαϲ ϲ' ἐγὼ
τύραννον ὀρνίθων παρέξω ϲοι γάλα.
Ηρ. δίκαι' ἔμοιγε καὶ πάλαι δοκεῖϲ λέγειν
περὶ τῆϲ κόρηϲ, κἄγωγε παραδίδωμί ϲοι.
Πε. τί δαὶ ϲὺ φῄϲ;
Πο. τἀναντία ψηφίζομαι.
Πε. ἐν τῷ Τριβαλλῷ πᾶν τὸ πρᾶγμα. τί ϲὺ λέγειϲ;
Τρ. καλάνι κόραυνα καὶ μεγάλα βαϲιλιναῦ
ὄρνιτο παραδίδωμι.
Ηρ. παραδοῦναι λέγει.
Πο. μὰ τὸν Δί' οὐχ οὗτόϲ γε παραδοῦναι λέγει,
εἰ μὴ βαβάζει γ' ὥϲπερ αἱ χελιδόνεϲ.
Πε. οὐκοῦν παραδοῦναι ταῖϲ χελιδόϲιν λέγει.
Πο. ϲφώ νυν διαλλάττεϲθε καὶ ξυμβαίνετε·
ἐγὼ δ', ἐπειδὴ ϲφῷν δοκεῖ, ϲιγήϲομαι.
Ηρ. ἡμῖν ἃ λέγειϲ ϲὺ πάντα ϲυγχωρεῖν δοκεῖ.
ἀλλ' ἴθι μεθ' ἡμῶν αὐτὸϲ εἰϲ τὸν οὐρανόν,
ἵνα τὴν Βαϲίλειαν καὶ τὰ πάντ' ἐκεῖ λάβηϲ.
Πε. εἰϲ καιρὸν ἆρα κατεκόπηϲαν οὑτοιὶ
εἰϲ τοὺϲ γάμουϲ.
Ηρ. βούλεϲθε δῆτ' ἐγὼ τέωϲ
ὀπτῶ τὰ κρέα ταυτὶ μένων; ὑμεῖϲ δ' ἴτε.
Πο. ὀπτᾷϲ ϲὺ κρέα; πολλήν γε τενθείαν λέγειϲ.
οὐκ εἶ μεθ' ἡμῶν;
Ηρ. εὖ γε μένταν διετέθην.

1672 καταϲτήϲαϲ P69, Hirschig: καταϲτήϲω codd. 1674 πάλαι P69 et codd. plerique: πάλιν RV 1678 καλάνι] καλαν R: καλὰ νι- E 1679 ὄρνιτο RV: ὀρνίτω ΑΕΓU: ὄρνιθι L: ὄρνιτ' ὁ (i.e. οὐ) van Herwerden λέγει Bentley: λέγειϲ codd. 1681 βαβάζει γ' Bentley (βαβάζειν iam Faber, βαβάζει anon. Parisinus): βαδίζειν vett. L: βαδίζοι γ' B: alii alia 1682 v. Herculi fortasse tribuendus, cf. sch. ad v. 1679, si huc spectat χελιδόϲιν RVEL: -όϲι cett. 1684 ϲιγήϲομαι] ϲυμβήϲομαι VE, v.l. ap. sch. 1687 Βαϲίλειαν R: Βαϲιλείαν cett. 1690 μένων om. ΓUL, unde ⟨γ'⟩ ὑμεῖϲ δὲ ⟨νῦν⟩ L 1691 ϲὺ E, Blaydes: τὰ A: ϲὺ τὰ cett. 1692 διετέθην] διετίθην Hamaker

Πε. γαμήλιον χλανίδα δότω τιϲ δεῦρό μοι.

Χο. ἔϲτι δ' ἐν Φάναιϲι πρὸϲ τῇ [ἀντ.
Κλεψύδρᾳ πανοῦργον Ἐγ-
γλωττογαϲτόρων γένοϲ,
οἳ θερίζουϲίν τε καὶ ϲπεί-
ρουϲι καὶ τρυγῶϲι ταῖϲ γλώτ-
ταιϲι ϲυκάζουϲί τε·
βάρβαροι δ' εἰϲὶν γένοϲ,
Γοργίαι τε καὶ Φίλιπποι.
κἀπὸ τῶν Ἐγγλωττογαϲτό-
ρων ἐκείνων τῶν φιλίππων
πανταχοῦ τῆϲ Ἀττικῆϲ ἡ
γλῶττα χωρὶϲ τέμνεται.

ΑΓΓΕΛΟϹ

ὦ πάντ' ἀγαθὰ πράττοντεϲ, ὦ μείζω λόγου,
ὦ τριϲμακάριον πτηνὸν ὀρνίθων γένοϲ,
δέχεϲθε τὸν τύραννον ὀλβίοιϲ δόμοιϲ.
προϲέρχεται γὰρ οἷοϲ οὔτε παμφαὴϲ
ἀϲτὴρ ἰδεῖν ἔλαμψε χρυϲαυγεῖ δρόμῳ
οὔθ' ἡλίου τηλαυγὲϲ ἀκτίνων ϲέλαϲ
τοιοῦτον ἐξέλαμψεν, οἷοϲ ἔρχεται
ἔχων γυναικὸϲ κάλλοϲ οὐ φατὸν λέγειν,
πάλλων κεραυνόν, πτεροφόρον Διὸϲ βέλοϲ·
ὀϲμὴ δ' ἀνωνόμαϲτοϲ εἰϲ βάθοϲ κύκλου
χωρεῖ, καλὸν θέαμα· θυμιαμάτων δ'
αὖραι διαψαίρουϲι πλεκτάνην καπνοῦ.

1693 γαμήλιον Bentley: γαμικὴν vett.: ἀλλὰ γαμικὴν L δότω ΓUL: διδότω cett. 1694 ἐν Φάναιϲι Dindorf: ἐμφαναῖϲι RV: ἐν φαναῖϲι cett. 1697 θερίζουϲίν RV$^{ac}$L: -ϲί cett. 1700 εἰϲὶν RVL: εἰϲὶ cett. 1709 οὔτε] οὐδὲ Meineke 1710 ἰδεῖν post ἔλαμψε transp. codd. praeter AEL δρόμῳ Ep: δόμῳ cett.: πόλῳ vel κύκλῳ dubitanter Blaydes 1711 οὔθ'] οὐδ' Meineke 1712 οἷοϲ Blaydes: ἔνδον R: οἷον δ' UL: οἷον cett. 1716 θέαμα] τ' ἄημα, deleto puncto, Faber δ' vett. (in initio v. 1717): om. L

ὁδὶ δὲ καὐτόϲ ἐϲτιν. ἀλλὰ χρὴ θεᾶϲ
Μούϲηϲ ἀνοίγειν ἱερὸν εὔφημον ϲτόμα.

Χο. ἄναγε, δίεχε, πάραγε, πάρεχε. [ϲτρ.
περιπέτεϲθε μάκαρα μάκαρι ϲὺν τύχᾳ.
ὦ φεῦ φεῦ τῆϲ ὥραϲ, τοῦ κάλλουϲ.
ὦ μακαριϲτὸν ϲὺ γάμον τῇδε πόλει γήμαϲ.

μεγάλαι μεγάλαι κατέχουϲι τύχαι
γένοϲ ὀρνίθων
διὰ τόνδε τὸν ἄνδρ᾽. ἀλλ᾽ ὑμεναίοιϲ
καὶ νυμφιδίοιϲι δέχεϲθ᾽ ᾠδαῖϲ
αὐτὸν καὶ τὴν Βαϲίλειαν.

Ἥρᾳ ποτ᾽ Ὀλυμπίᾳ [ϲτρ.
τὸν ἠλιβάτων θρόνων
ἄρχοντα θεοῖϲ μέγαν
Μοῖραι ξυνεκοίμιϲαν
ἐν τοιῷδ᾽ ὑμεναίῳ.
Ὑμὴν ὦ Ὑμέναι᾽ ὦ,
⟨Ὑμὴν ὦ Ὑμέναι᾽ ὦ.⟩

ὁ δ᾽ ἀμφιθαλὴϲ Ἔρωϲ [ἀντ.
χρυϲόπτεροϲ ἡνίαϲ
ηὔθυνε παλιντόνουϲ,
Ζηνὸϲ πάροχοϲ γάμων
τῆϲ τ᾽ εὐδαίμονοϲ Ἥραϲ.
Ὑμὴν ὦ Ὑμέναι᾽ ὦ,
Ὑμὴν ὦ Ὑμέναι᾽ ὦ.

1721 μάκαρα Dindorf: τὸν μάκαρα codd., Su. μ 53 1728 ὑμεναίοιϲ L: -οιϲι(ν) cett. 1729 νυμφιδίοιϲι fere vett.: -ιδίοιϲ L 1730 Βαϲίλειαν RU: Βαϲίλείαν Γ: Βαϲιλείαν cett. 1732 τὸν] τῶν AEL 1733 θεοῖϲ] θεαὶ dubitanter Brunck 1734 Μοῖραι] Μοῖρα RV$^{ac}$: Μοίρα V$^{pc}$ ξυνεκοίμιϲαν Bentley: ξυνεκόμιϲαν codd., Su. ϲ 1482 1736 v. om. ΓUL 1736a suppl. Dindorf

Πε. ἐχάρην ὕμνοις, ἐχάρην ᾠδαῖς·
ἄγαμαι δὲ λόγων.
Χο. ἄγε νυν αὐτοῦ
καὶ τὰς χθονίας κλῄσατε βροντὰς
τάς τε πυρώδεις Διὸς ἀστεροπὰς
δεινόν τ' ἀργῆτα κεραυνόν.
Χο. ὦ μέγα χρύσεον ἀστεροπῆς φάος,
ὦ Διὸς ἄμβροτον ἔγχος
πυρφόρον, ὦ χθόνιαι βαρυαχέες
ὀμβροφόροι θ' ἅμα βρονταί,
αἷς ὅδε νῦν χθόνα σείει·
Δῖα δὲ πάντα κρατήσας
καὶ πάρεδρον Βασίλειαν ἔχει Διός.
Ὑμὴν ὦ Ὑμέναι' ὦ.
Πε. ἕπεσθέ νυν γάμοισιν, ὦ φῦλα πάντα συννόμων
πτεροφόρ' ἐπὶ δάπεδον Διὸς καὶ λέχος γαμήλιον.
ὄρεξον, ὦ μάκαιρα, σὴν χεῖρα καὶ πτερῶν ἐμῶν
λαβοῦσα συγχόρευσον· αἴρων δὲ κουφιῶ σ' ἐγώ.
Χο. ἀλαλαλαί, ἰὴ παιών,
τήνελλα καλλίνικος, ὦ δαιμόνων ὑπέρτατε.

1743 ἐχάρην ᾠδαῖς del. Helbig 1744 personarum vices distinxit Kock 1746 ante 1745 transp. Blaydes 1752 Δῖα δὲ πάντα Haupt: διὰ σὲ πάντα vett.: διὰ σὲ τὰ πάντα L 1753 Βασίλειαν R: -είαν cett. 1755–8 coryphaeo tribuunt quidam 1755 γάμοισιν] -σι RV 1757 ἐπὶ δάπεδον Meineke: ἐπὶ πέδον codd.: ἴτ' ἐπὶ πέδον Dindorf 1763 ἀλαλαλαί] ἀλαλαί AU: ἀλλαλαί L